ἀνὰ μέσον τούτων τετράγωνος χρυσοῦς. [3] καὶ πάλιν Σάτυροι, στεφάνους ἔχοντες κισσίνους χρυσοῦς, φοινικίδας περιβεβλημένοι· ἔφερον δ' οἱ μὲν οἰνοχόην χρυσῆν, οἱ δὲ καρχήσιον. Μεθ' οὓς ἐπορεύετο Φιλίσκος ὁ ποιητὴς, ἱερεὺς ὢν Διονύσου, καὶ πάντες οἱ περὶ τὸν Διόνυσον τεχνῖται. τούτων δ' ἐφεξῆς ἐφέροντο Δελφικοὶ τρίποδες, ἆθλα τοῖς τῶν ἀθλητῶν χορηγοῖς. ὁ μὲν παιδίσκων, ἐννέα πηχῶν τὸ ὕψος· ὁ δὲ πηχῶν δώδεκα, ὁ τῶν ἀνδρῶν."

Philiſcus poëta, ſacerdos Bacchi.

c

XXVIII.

Bacchus & Bacchantes.

„Μετὰ τούτους τετράκυκλος πηχῶν τεσσαρεσκαίδεκα, ὀκτὼ δὲ τὸ πλάτος, ἤγετο ὑπὸ ἀνδρῶν ὀγδοήκοντα καὶ ἑκατόν· ἐπὶ δὲ ταύτης ἐπῆν ἄγαλμα Διο-

1 An πολυτελῶς διεσκευασμ. aut aliquid ſimile? 2 Octo verba deſunt edd. 3 Vulgo χρυσοῦ.

Hanc excipiebant quatuor *Anni tempora*, [conveniente] ornatu inſtructa, unumquodque proprios fructus manu tenens. Proxime ſequebantur thuribula duo, hederae foliis ex auro obvoluta; & ara inter haec media, quadrata, aurea. Tum rurſus Satyri, coronis hederaceis aureis cincti, puniceis tunicis induti: geſtabantque horum alii trullam auream, alii carcheſium. [Poculi id genus eſt, ſic nominatum.] Poſt hos incedebat *Philiſcus* poëta, qui Bacchi ſacerdos erat; & omnes ſcenici artifices. Deinde ferebantur *Delphici tripodes*, praemia ducibus athletarum deſtinata: unus, duci adoleſcentum, novem cubitorum altitudine; alter, duci virorum, cubitorum duodecim."

28. »Hos ſequebatur plauſtrum, quatuordecim cubitos in longitudinem, octo in latitudinem patens, quod trahebant homines centum & octoginta. Huic impoſita erat

νύσου [1] δεκάπηχυ, σπένδον ἐκ καρχησίου χρυσοῦ, χιτῶνα πορφυροῦν ἔχον διάπεζον, καὶ ἐπ' αὐτοῦ κροκωτὸν διαφανῆ· περιεβέβλητο δὲ ἱμάτιον πορφυροῦν χρυσοποίκιλον. προέκειτο δὲ αὐτοῦ κρατὴρ Λακωνικὸς χρυσοῦς μετρητῶν δεκαπέντε, καὶ τρίπους χρυσοῦς, ἐφ' οὗ θυμιατήριον χρυσοῦν, καὶ φιάλαι δύο χρυσαῖ, κασσίας [2] μεσταὶ καὶ κρόκου. περιέκειτο δ' δ' αὐτῷ καὶ σκιὰς, ἐκ κισσοῦ καὶ ἀμπέλου καὶ τῆς λοιπῆς ὀπώρας κεκοσμημένη· προσήρτηντο δὲ καὶ στέφανοι καὶ ταινίαι καὶ θύρσοι καὶ τύμπανα καὶ μίτραι, πρόσωπά τε Σατυρικὰ καὶ κωμικὰ καὶ τραγικά. τῇ δὲ τετρακύκλῳ [3] ἱερεῖς καὶ ἱέρειαι, καὶ πέρσεις τελεταὶ, [4] καὶ θίασοι παντοδαποὶ, καὶ [5] τὰ λίκνα φέρουσαι. μετὰ δὲ ταῦτα Μακέται αἱ [6] κα-

1 Διονυσίου vulgo. 2 κασίας ed. Casaub. 3 ἐπηκολούθουν supple, aut εἵποντο, aut simile verbum. 4 πέρσης τελεταὶ edd. Ὀρφεοτελεσταὶ coni. Casaub. Hariolatus sum οἱ πέρυσι τελεσταί. 5 καὶ αἱ τὰ λικν. malim cum Cas. 6 Fors. καὶ αἱ καλούμ. vel αἱ Μακ. καλ. καὶ Μιμ.

Bacchi statua cubitorum decem, vinum fundens ex aureo carchesio, tunicam induta purpuream ad talos demissam, & super ea croceam pellucidam; circumiectum vero habebat pallium purpureum auro variegatum. Coram eo positus erat crater aureus, metretas capiens quindecim, & mensa tripus aurea, super qua thuribulum, & duae phialae cassia & croco repletae. Superne obductum erat umbraculum, ex hedera & vite aliarumque arborum frugiferarum frondibus eleganter confectum; suspensae autem ex eo erant etiam coronae & taeniae & thyrsi & tympana & fasciae & personae satyricae & comicae tragicaeque. Currum sequebantur sacerdotes viri & foeminae, & [recens] initiati, & omnis generis *chori Bacchici*, & qui mysticam ferebant *vannum*. Sequebantur mulieres bacchantes, quae *Mace-*

UNIV. OF
TORONTO
LIBRARY

LGr
A866S

ΑΘΗΝΑΙΟΥ ΝΑΥΚΡΑΤΙΤΟΥ ΔΕΙΠΝΟΣΟΦΙΣΤΑΙ

ATHENAEI NAUCRATITAE DEIPNOSOPHISTARUM LIBRI QUINDECIM

EX OPTIMIS CODICIBUS NUNC PRIMUM COLLATIS
EMENDAVIT AC SUPPLEVIT
NOVA LATINA VERSIONE ET ANIMADVERSIONIBUS
CUM IS. CASAUBONI ALIORUMQUE TUM SUIS
ILLUSTRAVIT
COMMODISQUE INDICIBUS INSTRUXIT

IOHANNES SCHWEIGHAEUSER
ARGENTORATENSIS
INSTITUTI SCIENTIAR. ET ART. POPULI GALLO-FRANC. SOCIUS
ANTIQUAR. LITERAR. IN SCHOLA ARGENT. PROF.

TOMUS SECUNDUS.

ARGENTORATI
EX TYPOGRAPHIA SOCIETATIS BIPONTINAE
ANNO X. (1802.)

21452

ΑΘΗΝΑΙΟΥ
ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ
ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

p. 128 a. Ἵππολοχος ὁ Μακεδὼν, ἑταῖρε Τιμόκρατες, τοῖς χρόνοις μὲν γέγονε κατὰ Λυγκέα καὶ Δοῦριν, τοὺς Σαμίους, Θεοφράστου δὲ τοῦ Ἐρεσίου μαθητάς· [1] συνθήκας δ' εἶχε ταύτας πρὸς τὸν Λυγκέα, ὡς ἐκ τῶν αὐτοῦ μαθεῖν ἐστιν ἐπιστολῶν, πάντως αὐτῷ δηλοῦν εἴ τινι συμπεριενεχθείη δείπνῳ πολυτελεῖ, τὰ ὅμοια κἀκείνου ἀντιπροπίνοντος αὐτῷ. Ἑκατέρων οὖν

1. Hippolochi & Lynceipactum.

1 Vulgo μαθητής.

ATHENAEI
DEIPNOSOPHISTARUM
LIBER QUARTUS.

HIPPOLOCHUS Macedo, amice Timocrates, Lyncei & Duridis Samiorum vixit aetate, Theophrasti discipulorum. Hic, ut ex Epistolis hominis licet cognoscere, pactus erat cum *Lynceo*, si cui sumtuosae coenae interfuisset, totum illius adparatum se ei esse expositurum: idemque LYNCEUS vicissim facturum se illi pro-

σώζονται Δειπνητικαί τινες Ἐπιστολαί· Λυγκέως μὲν τὸ Λαμίας, τῆς Ἀττικῆς αὐλητρίδος, ἐμφανίζον- b
τος δεῖπνον Ἀθήνηισι γενόμενον Δημητρίῳ τῷ βασι-
λεῖ, ἐπίκλην δὲ Πολιορκητῇ· (ἐρωμένη δ' ἦν ἡ Λά-
μια τοῦ Δημητρίου·) τοῦ δ' Ἱππολόχου τοὺς Καρά-
νου τοῦ Μακεδόνος ἐμφανίζοντος γάμους. Καὶ ἄλλαις
δὲ περιετύχομεν τοῦ Λυγκέως ἐπιστολαῖς, πρὸς τὸν
αὐτὸν γεγραμμέναις Ἱππόλοχον, δηλούσαις τό τε
Ἀντιγόνου τοῦ βασιλέως δεῖπνον, Ἀφροδίσια ἐπιτε-
λοῦντος Ἀθήνηισι, καὶ τὸ Πτολεμαίου τοῦ βασιλέως.
δώσομεν δέ σοι ἡμεῖς καὶ αὐτὰς τὰς ἐπιστολάς. Ἐπεὶ c
δὲ ἡ τοῦ Ἱππολόχου σπανίως εὑρίσκεται, ἐπιδραμοῦ-
μαί σοι τὰ ἐν αὐτῇ γεγραμμένα, διατριβῆς ἕνεκα
νῦν, καὶ ψυχαγωγίας.

II.

Carani nuptiale convivium.

Ἐν Μακεδονίᾳ, ὡς ἔφην, τοῦ Καράνου γάμους
ἑστιῶντος, οἱ μὲν συγκεκλημένοι ἄνδρες ἦσαν εἰκο-

miſerat. Utriusque igitur ſuperſunt etiam nunc *Convivales* quaedam *Epiſtolae*: Lynceo quidem coenam Lamiae, Athenienſis tibicinae, enarrante; qua coena exceptus ab illa eſt Demetrius Rex, cognomine Poliorcetes, cuius illa amaſia fuit; Hippolocho vero nuptiale Carani Macedonis epulum deſcribente. In alias quoque Lyncei Epiſtolas ad eumdem Hippolochum datas incidimus; quibus exponitur Antigoni regis coena, Athenis Aphrodiſia celebrantis, itemque Ptolemaei regis alia: ipſasque illas Epiſtolas ad te mittemus. Verum quia Hippolochi raro invenitur Epiſtola, nunc tibi quae in ea ſcripta ſunt, traducendi temporis & oblectandi animi cauſſa, percurram.

2. In Macedonia, ut dixi, nuptiale convivium Caranus cum exhiberet, convocati ad illud viginti fuere:

σιν· [1] οἷς καὶ κατακλιθεῖσιν εὐθέως ἐδόθησαν φιάλαι ἀργυραῖ ἑκάστῳ μία δωρεά. προεστεφανώκει δὲ καὶ ἕκαστον, πρὶν εἰσελθεῖν, στλεγγίδι χρυσῇ· πέντε χρυσῶν ἑκάστη δ' ἦν τὸ τίμημα. ἐπεὶ δ' ἐξέπιον τὰς d φιάλας, ἐν χαλκῷ πίνακι τῶν Κορινθίων κατασκευασμάτων ἄρτος ἑκάστῳ ἰσόπλατος ἐδόθη, ὄρνεις τε καὶ νῆσσαι, προσέτι δὲ καὶ φᾶτται, καὶ χήν, καὶ τοιαύτη τις ἄλλη ἀφθονία σεσωρευμένη· καὶ ἕκαστος λαβὼν σὺν αὐτῷ πίνακι, τοῖς κατόπιν διεδίδου παισίν. [2] ἄλλα δ' ἐσθίειν περιεφέρετο πολλὰ καὶ ποικίλα. καὶ μετὰ ταῦτα ἀργυροῦς πίναξ ἕτερος, ἐφ' ᾧ πάλιν ἄρτος μέγας, καὶ χῆνες, καὶ λαγωοὶ, καὶ ἔριφοι, καὶ ἕτεροι ἄρτοι πεπονημένοι, καὶ περιστεραὶ, καὶ τρυγόνες, πέρδικές τε, καὶ ὅσον ἄλλο πτηνῶν e πλῆθος ἦν. „Ἐπεδώκαμεν οὖν, φησὶ, καὶ ταῦτα τοῖς δούλοις· καὶ ὡς ἄδην εἴχομεν βρώσεως, ἐχερνιψάμε-

1 ἦσαν ρ' καὶ εἴκοσιν ſuſpicari licet cum Caſaub. 2 πᾶσιν editt. vett. cum ms. *A*.

[*forſan*, CXX.] quibus, ſtatim ut adcubuerunt, dono datae ſunt phialae argenteae, cuique una. Priusquam vero introiiſſent, coronaverat ille unumquemque aurea corolla, quinque aureis aeſtimata. Poſtquam ebiberunt phialas, in aeneo diſco operis Corinthii panis unicuique aequali cum diſco latitudine dabatur, gallinaeque & anates & anſer & id genus alia copioſe cumulata. Quae ſumens unusquisque cum ipſo diſco, pueris pone ſtantibus diſtribuit: mox vero alii circumferebantur cibi multi atque varii. Et poſt haec alius diſcus argenteus, ſuper quo panis ingens, & anſeres, lepores, hoedi, panes alii artificioſo opere confecti, columbae, turtures, perdices, & quotquot ſunt alia volucrium genera. »Igitur & illa, inquit, ſervis diſtribuimus: & cibo

θα. καὶ στέφανοι εἰσηνέχθησαν πολλοὶ παντοδαπῶν ἀνθέων· ἐπὶ πᾶσί τε χρυσαῖ στλεγγίδες, ὁλκὴν ἴσαι τῷ πρώτῳ στεφάνῳ." Ἐπὶ δὲ τούτοις εἰπὼν Ἱππόλοχος, ὡς Πρωτέας, ἀπόγονος ἐκείνου Πρωτέου, Λα- a
νίκης [1] υἱοῦ, ἥτις ἐγεγόνει τροφὸς Ἀλεξάνδρου τοῦ βασιλέως, ἐπιπλεῖστον ἦν πολυπότης, ὡς καὶ [2] ὁ πάππος αὐτοῦ Πρωτέας ὁ συγγενόμενος Ἀλεξάνδρῳ, καὶ ὅτι πᾶσι προὔπιεν· ἑξῆς γράφει καὶ ταῦτα.

III. Hippolochi epiſtola.

„Ἤδη δὲ ἡμῶν ἡδέως ἀπηλλοτριωμένων τοῦ σω- Φρονεῖν, ἐπεισβάλλουσιν αὐλητρίδες καὶ μουσουργοὶ καὶ σαμβυκίστριαί τινες Ῥόδιαι, ἐμοὶ μὲν γυμναὶ δοκῶ, [3] πλὴν ἔλεγόν τινες αὐτὰς ἔχειν χιτῶνας· ἀπαρξάμεναι τε ἀπῆλθον. καὶ ἐπεισῆλθον ἄλλαι, φέρουσαι ληκύθους μύρου ἑκάστη δύο, συνδεδεμένας b
ἱμάντι χρυσῷ, τὴν μὲν ἀργυρᾶν, τὴν δὲ χρυσῆν, κο-

1 Mendoſe vulgo ſcriptum nomen. 2 Vulgo ην γὰρ πολυπότης. καὶ ὡς ὁ πάππος. 3 ἐμοὶ μὲν δοκῶ γυμναὶ *Epit.*

ſatis expleti, manus lavimus. Tum coronae adlatae ſunt ex omnifariis floribus multae, additis unicuique aureis bracteis eiusdem ponderis cum priori corolla.« Poſt hoc cum interſeruiſſet Hippolochus, Proteam, nepotem Proteae illius, Lanicae filii, quae nutrix fuerat Alexandri regis, admodum fuiſſe bibacem, quemadmodum avus eius Proteas, Alexandri familiaris, & propinaſſe omnibus; deinde haec ſcribit.

3. »Cum iam nobis ſuaviter alienata mens eſſet, repente irrumpunt tibicinae & cantatrices & ſambuciſtriae quaedam Rhodiae; quae, ut mihi quidem videbatur, nudae erant, alii vero tunicis indutas eſſe dicebant. Hae cantus & modos exorſae, mox abierunt: ſucceſſeruntque aliae, unguentaria vascula geſtantes, unaquaeque duo, aureo loro colligata, alterum argenteum, aureum alterum, cotulam capientia; quorum par uni-

τυλιαίας, καὶ ἑκάστῳ προσέδωκαν. Ἔπειτ' εἰσφέρεται πλοῦτος ἀντὶ δείπνου, πίναξ ἀργυροῦς ἐπὶ πάχος οὐκ ὀλίγον περίχρυσος, ὅσος [1] ὥστε δέξασθαι μέγεθος χοίρου τινὸς ὀπτοῦ καὶ σφόδρα μεγάλου, ὃς ὕπτιος ἐπέκειτο, τὴν γαστέρα δεικνὺς ἄνω πλήρη οὖσαν πολλῶν ἀγαθῶν· ἦσαν γὰρ ἐν αὐτῷ συνωπτημέναι κίχλαι, καὶ μῆτραι, καὶ συκαλλίδων πλῆθος
c ἄπειρον, καὶ ᾠῶν ἐπικεχυμέναι λέκιθοι, καὶ ὄστρεα, καὶ κτένες· καὶ ἑκάστῳ πεπυρωμένος [2] αὐτοῖς πίναξιν ἐδόθη. Μετὰ δὲ ταῦτα πιόντες, ἐλάβομεν ἕκαστος ἔριφον ζέοντα, ἐφ' ἑτέρῳ πάλιν πίνακι τοιούτῳ, σὺν μύστροις χρυσοῖς. Ὁρῶν οὖν τὴν δυσχωρίαν ὁ Κάρανος, κελεύει σπυρίδας ἡμῖν καὶ ἀρτοφόρα διὰ ἐλεφαντίνων πεπλεγμένα δοθῆναι· ἐφ' οἷς ἡσθέντες ἀνεκροταλίσαμεν τὸν νυμφίον, ὡς καὶ τῶν δοθέν-

1 τοσοῦτος malles. 2 πεπυρωμένα ms. *A.* & editt. vett.

cuique illae dederunt. Adlata deinde eſt, coenae loco, opulentia: argentea lanx, ad craſſitiem haud exiguam deaurata, tanta magnitudine ut porcum caperet aſſatum ingentem admodum, qui ſupinus in eo erat repoſitus, ventrem oſtendens ſurſum ſpectantem, omnibus lautitiis refertum: inerant enim ſimul aſſi turdi & vulvae & ficedularum infinita multitudo; & ovorum circumfuſi erant vitelli, & oſtrea, atque pectines. Convivarum ſingulis datus eſt igne calens porcus ſic inſtructus, una cum ipſa lance. Poſt haec, cum bibiſſemus, hoedum quisque accepit alteri rurſus eiusdem modi diſco impoſitum, ferventi iure tinctum, cum cochlearibus aureis. Tum Caranus, videns ſpatii anguſtias, iubet dari nobis corbes & panaria caniſtra ex eburneis lamellis plexa: quo munere laeti, cum adplauſu laudavimus ſponſum, cuius beneficio adeo conſervata nobis

τῶν ἡμῖν ἀνασεσωσμένων. ἔπειτα στέφανοι [1] πάλιν, καὶ διλήκυθον μύρου χρυσοῦν καὶ ἀργυροῦν, ἰσόσταθμον τοῖς προτέροις. [2] Ἡσυχίας δὲ γενομένης, ἐπεισ- d
βάλλουσιν ἡμῖν οἱ καὶν τοῖς Χύτροις τοῖς Ἀθήνησι λειτουργήσαντες. μεθ' οὓς εἰσῆλθον ἰθύφαλλοι, καὶ σκληροπαῖκται· [3] καί τινες καὶ θαυματουργοὶ γυναῖκες, εἰς ξίφη κυβιστῶσαι, καὶ πῦρ ἐκ τοῦ στόματος ἐκριπίζουσαι, γυμναί."

IV.

Carani convivium.

„Ἐπεὶ δὲ καὶ τούτων ἀπηλλάγημεν, ἐκλαμ- βάνει πάλιν ἡμᾶς θερμός τις καὶ ζωρότερος ποτὸς, οἴνων ὄντων ἡμῖν Θασίων, καὶ Μενδαίων, καὶ Λεσβίων, χρυσίδων πάνυ μεγάλων ἑκάστῳ προσενεχθεισῶν. Καὶ μετὰ τὸν πότον, ὑελοῦς πίναξ δίπηχύς που τὴν διάμετρον, ἐν θήκῃ κατακείμενος ἀργυρᾷ, πλή- e
ρης ἰχθύων ὀπτῶν, πάντα γένη συνηθροισμένων· ἅπα-

1 στέφανον edd. 2 τοῦ προτέρου ms. *Epit.* 3 ψηφοπαῖκται corrigebat Casaub. σκιροπαῖκται Toup. σκληροπέκται habent nostri mssti.

etiam fuissent, quae accepissemus. Tum rursus (distributae sunt) coronae, & unguentariorum vasorum par (unicuique,) pari pondere cum superioribus. Silentio dein facto, ingressi sunt homines, qui vel Athenis in *Chytrorum* solennibus cum laude partes suas fuerant acturi. Post quos intrarunt ithyphalli, & difficilium ludorum artifices, & praestigiatrices quaedam mulieres, in caput se provolventes super gladiis, & ore ignem efflantes, nudae."

4. „Finitis his spectaculis, excepit nos rursus fervens aliqua & meracior compotatio, cum & Thasia vina nobis praesto essent, & Mendaea, & Lesbia, poculis aureis amplissimis cuique porrectis. Et post potum vitreus discus bicubitali fere diametro, repositorio impositus argenteo, assis piscibus omne genus congestis plenus:

σί τε προσεδόθη καὶ ἀργυροῦν ἀρτοφόρον ἄρτων Καππαδοκίων. ὧν τὰ μὲν ἐφάγομεν, τὰ δὲ τοῖς θεράπουσιν ἐπιδεδώκαμεν. Καὶ νιψάμενοι τὰς χεῖρας ἐστεφανούμεθα· καὶ πάλιν στλεγγίδας ἐλάβομεν χρυσᾶς, διπλασίους τῶν πρότερον, καὶ ἄλλο διλήκυθον μύρου. Ἡσυχίας δὲ γενομένης, ἐξαλλόμενος τῆς κλίνης ὁ Πρωτέας αἰτεῖ σκύφον χοαῖον· καὶ πληρώσας Maiora pocula.
f οἴνου Θασίου, ὀλίγον τε ἐπιῤῥάνας ὕδατος, ἐξέπιεν, ἐπειπών·

Ὁ πλεῖστα πίνων, πλεῖστα κ᾽ εὐφρανθήσεται.

καὶ ὁ Κάρανος ἔφη· „ἐπεὶ πρῶτος ἔπιες, ἔχε πρῶτος καὶ τὸν σκῦφον, δῶρον· τοῦτο δὲ καὶ τοῖς ἄλλοις, ὅσοι ἐὰν πίωσιν, ἔσται γέρας.“ Ἐφ᾽ οἷς λεχθεῖσιν οἱ δ᾽ ἐννέα πάντες ἀνέσταν, ἁρπάζοντες, κἄλλος ἄλλον φθάνοντες. εἷς δὲ τῶν συνδειπνούντων ἡμῖν ἄθλιος, οὐ δυνάμενος πιεῖν, ἀνακαθίσας ἔκλαιεν, ἄσκυφος γε-

singulisque adpositum simul est argenteum panarium Cappadocibus panibus repletum. Quorum alia nos manducavimus, alia rursus famulis tradidimus. Inde postquam manus laviſſemus, coronati sumus, rursusque corollas accepimus aureas, duplo maioris pretii superioribus, & aliud par vasculorum unguentariorum. Silentio facto, exsiliens Proteas poculum postulat capiens congium: quod impletum vino Thasio, cui parum aquae erat adspersum, ebibit, haec verba subiiciens:

Plurimum qui bibit, plurima voluptate fruetur.

Cui Caranus: *Quandoquidem primus*, inquit, *bibisti, munus scyphum primus habeto: idem vero & aliis, quicumque biberint, praemium erit.* Locuto haec Carano, surgentes novem simul omnes, arripuere pocula, alius alium antevertens. Unus vero convivantium miser, cum bibere non posset, residens flebat, quod muneris exsors

νόμενος, καὶ ὁ Κάρανος αὐτῷ χαρίζεται κενὸν τὸ ἔκπωμα. Ἐπὶ τούτοις χορὸς εἰσῆλθεν ἀνθρώπων ἑκατὸν, ἐμμελῶς ᾀδόντων γαμικὸν ὕμνον· μεθ' οὓς ὀρχηστρίδες, διεσκευασμέναι τρόπον Νηρηίδων, αἱ δὲ Νυμφῶν." a

V. Carani convivium.

„Τοῦ πότου δὲ προϊόντος, καὶ τῆς ὥρας ὑποσκιαζούσης, ἀναπεταννύουσι τὸν οἶκον, ἐν ᾧ κύκλῳ ὀθόναις διείληπτο πάντα λευκαῖς· καὶ ἀναπεταθεισῶν, δᾷδες ἐφάνησαν, λάθρα κατὰ μηχανὰς σχασθέντων τῶν φραγμάτων, καὶ Ἔρωτες, καὶ Ἀρτέμιδες, καὶ Πᾶνες, καὶ Ἑρμαῖ, καὶ τοιαῦτα πολλὰ εἴδωλα, ἀργυροῖς δᾳδουχοῦντα λαμπτῆρσι. Θαυμαζόντων δ' ἡμῶν τὴν τεχνιτείαν, Ἐρυμάνθειοι τῷ ὄντι σύαγροι κατὰ πινάκων τετραγόνων χρυσομίτρων, σι- b βύναις ἀργυραῖς διαπεπερονημένοι, περιεφέροντο ἑκάστῳ. καὶ τὸ θαυμάσιον, ὅτι παρειμένοι καὶ καρη-

esset. Sed & huic Caranus vacuum largitus est poculum. Postea ingressus est centum hominum chorus, concinnis modulis carmen nuptiale canentium: & post hos saltatrices, aliae Nereidum, aliae Nympharum cultu instructae. «

5. »Procedente compotatione, & iam ad vesperam inclinato die, patefactum est conclave, in quo circumcirca velis candidis omnia intercepta erant: quibus replicatis, & ex arcano artificio laxatis trochleis, adparebant faces: Cupidines erant, & Dianae, & Panes, & Mercurii, multaeque aliae id genus imagines, argenteis lychnuchis faces tenentes. Id admirabamur artificium, cum apri revera Erymanthei, argenteis venabulis transfixi, unicuique circumferebantur quadratis in lancibus auro praecinctis. Et, quod mirabile erat, exsoluti licet temulentiâ, & capitis gravitate tentati, ta-

βαροῦντες ὑπὸ τῆς μέθης, ὁπότε τι τῶν ἀγομένων θεασαίμεθα, πάντες ἐξενήφομεν, ὀρθοὶ (τὸ δὴ λεγόμενον) ἀνιστάμενοι. Ἔναττον οὖν οἱ παῖδες εἰς τὰς εὐτυχεῖς σπυρίδας, ἕως ἐσάλπισε τὸ εἰωθὸς τοῦ τελευταίου δείπνου σημεῖον· οὕτω γὰρ τὸ Μακεδονικὸν οἶσθα ἔθος ἐν ταῖς πολυανθρώποις εὐωχίαις γινόμενον.

c καὶ ὁ Κάρανος, ἄρξας πότου [1] μικροῖς ἐκπώμασι, περισοβεῖν ἐκέλευε τοῖς παισίν. ἐπίνομεν οὖν εὐμαρῶς, ὥσπερ ἀντίδοτον ἐκ τῆς προτέρας ἀκρατοποσίας λαμβάνοντες. Ἐν τούτῳ δὲ ὁ γελωτοποιὸς εἰσῆλθε Μανδρογένης, ἐκείνου Στράτωνος τοῦ Ἀττικοῦ, ὡς φασὶν, ἀπόγονος, καὶ πολλοὺς κατέῤῥηξεν ἡμῶν γέλωτας· καὶ μετὰ ταῦτα ὠρχεῖτο μετὰ τῆς γυναικὸς, ἔτη ἤδη οὔσης ὑπὲρ τὰ ὀγδοήκοντα. καὶ τελευταῖαι ἐπεισῆλθον ἐπιδορπίαι τράπεζαι· τραγήματά τ' ἐν πλεκτοῖς ἐλεφαντίνοις ἐπεδόθη πᾶσι, καὶ πλακοῦντες ἕκαστα

Minora pocula.

1. Vulgo ποτοῦ, ut passim alibi, ubi παροξυτόνως erat scribendum.

men, quoties aliquid ex his quod adferebatur spectaremus, sobrii rursus eramus omnes, recti (quod dicitur) adstantes. Infarciebant igitur pueri in beatas sportas, donec extremae coenae signum tubâ editum est, sicut moris esse nosti apud Macedones in epulis magna convivarum frequentia celebratis. Tum Caranus minoribus poculis compotationem auspicatus, pueros iubet ocyus in orbem circumferre. Et bibimus nos facili negotio, quasi remedium sumeremus quod ex priori temulentia nos restitueret. Inter haec intravit ridiculus scurra Mandrogenes, Stratonis illius Attici, ut ferunt, nepos: qui postquam multum nobis risum excussit, saltavit deinde cum uxore, annos iam nata amplius octoginta. Denique illatae sunt postremae coenae mensae: bellariaque omnibus data in canistris ex ebore textis,

γένη, Κρητικῶν, καὶ τῶν σῶν, ἑταῖρε Λυγκεῦ, Σαμιακῶν, καὶ Ἀττικῶν, αὐταῖς ταῖς ἰδίαις τῶν πεμ- d
μάτων θήκαις. Μετὰ δὲ ταῦτα ἐξαναστάντες ἀπηλλαττόμεθα, νήφοντες, νὴ τοὺς θεούς, διὰ τὸν φόβον τοῦ πλούτου, ὃν ἐλάβομεν. Σὺ δὲ, μόνον ἐν Ἀθήναις μένων, εὐδαιμονίζεις [1] τὰς Θεοφράστου θέσεις ἀκούων, θύμα καὶ εὖζωμα καὶ τοὺς καλοὺς ἐσθίων στρεπτοὺς, Λήναια καὶ Χύτρους θεωρῶν. ἡμεῖς δ' ἐκ τοῦ Καράνου δείπνου πλοῦτον ἀντὶ μερίδων εὐωχηθέντες, νῦν ζητοῦμεν, οἱ μὲν οἰκίας, οἱ δὲ ἀγροὺς, οἱ δὲ ἀνδράποδα ὠνήσασθαι."

VI. Graecarum coenarum tenuitas.

Εἰς ταῦτα, ὦ ἑταῖρε Τιμόκρατες, ἀποβλέπων, e
τίνι συγκρῖναι ἔχεις τῶν Ἑλληνικῶν δείπνων τὸ προκείμενον τοῦτο συμπόσιον; ὁπότε καὶ Ἀντιφάνης ὁ κωμῳδιοποιὸς ἐν Οἰνομάῳ ἢ Πέλοπι διαπαίζων ἔφη·

1 σεαυτὸν εὐδαιμονίζεις malebat Casaub.

& placentarum omne genus, Creticae, & vernaculae tuae, mi Lynceu, Samiacae, & Atticae, cum ipsis thecis cuique tragematum generi propriis. Post haec consurreximus omnes, ac discessimus, sobrii aedepol, metu divitiarum quas nacti eramus. Tu vero, Athenis tantum manens, felicem te iudicas, quod Theophrasti audias praecepta; & thymum & erucam pulcrosque tortos panes comedens, Lenaea spectes & Chytrorum ludos. Nos autem, qui ex Carani coena, pro ciborum portionibus, quibus laute viveremus, reportavimus divitias, nunc alii domos, quas emamus, quaerimus, alii agros, alii mancipia. "

6. Haec intuens, mi Timocrates, cui tandem *coenarum Graecarum* convivium hoc propositum possis conferre? quandoquidem etiam Antiphanes comicus, in Oenomao sive Pelope, iocando illas traducens dixit:

Τί δ' ἂν Ἕλληνες, μικροτράπεζοι, φυλλότρωγες, [1]
δράσειαν; ὅπου τέτταρα λήψῃ κρέα μικρὰ ὀβολοῦ.
παρὰ δ' ἡμετέροις προγόνοισιν ὅλους βοῦς ὀπτῶσιν,
ἐλάφους, ἄρνας· τὸ τελευταῖον δ' ὁ μάγειρος ὅλον
τέρας ὀπτήσας, μεγάλῳ βασιλεῖ
θερμὴν παρέθηκε κάμηλον.

Ὁ Ἀριστοφάνης δ' ἐν Ἀχαρνεῦσι καὶ αὐτὸς τῶν βαρβάρων ἐμφανίζων τὴν μεγαλειότητα, φησίν·

Α. Εἶτ' ἐξένιζε, παρετίθει δ' ἡμῖν ὅλους
ἐκ κριβάνου βοῦς. Β. Καὶ τίς εἶδεν πώποτε
βοῦς κριβανίτας; τῶν ἁλαζονευμάτων.
Α. Καὶ, ναὶ μὰ Δί', ὄρνιν τριπλάσιον Κλεωνύμου
παρέθηκεν ἡμῖν· ὄνομα δ' ἦν αὐτῷ Φέναξ.

Ἀναξανδρίδης δ' ἐν Πρωτεσιλάῳ, διασύρων τὸ τῶν

1 Versus, olim non distinctos, dein a Casaub. perincommode distributos, digessi utcumque potui, nihil in verbis mutans.

Quid vero Graeci, in mensa praeparci, herbulas rodentes,
facerent? ubi quatuor accipies carnis minuta frustula obolo.
Apud nostros vero maiores integros boves assant,
cervos, agnos: nuper vero coquus, integrum
monstrum assans, magno regi
fervidum adposuit camelum.

Similiterque Aristophanes, in Acharnensibus, Barbarorum declarans magnificentiam, ait:

A. *Deinde hospitio nos excepit, & adposuit nobis integros e clibano boves.* B. *Et quis vidit umquam clibanitas boves? Apage iactantiam!*
A. *Immo vero, per Iovem, avem etiam triplo maiorem Cleonymo*
nobis adposuit, cui nomen Phenax (impostor) *erat.*

Anaxandrides vero, in Protesilao, irridens nuptiale

Ἰφικράτους γάμων συμπόσιον, ὅτε ἤγετο τὴν Κότυος τοῦ Θρᾳκῶν βασιλέως θυγατέρα, φησί·

VII.

Iphicratis nuptiae in Thracia.

Κἂν ταῦτα ποιῇς, ὥσπερ Φράζω,
λαμπροῖς δείπνοις δέξεθ' ὑμᾶς. [1]
οὐδὲν ὁμοίως τοῖς Ἰφικράτους
τοῖς ἐν Θρᾴκῃ· καί τοι φασὶν,
βύβακας [2] αὐτὰ γενέσθαι. 5 b
κατὰ τὴν ἀγορὰν μὲν ὑπεστρῶσθαι
στρώμαθ' ἁλουργῆ [3] μέχρι τῆς ἄρκτου·
δειπνεῖν δ' ἄνδρας βούτυρόν φασ' [4]
αὐχμηροκόμας μυριοπληθεῖς·
τοὺς δὲ λέβητας χαλκοῦς εἶναι 10
μείζους λάκκων δωδεκακλίνων·
αὐτὸν δὲ Κότυν περιεζῶσθαι,
ζωμόν τε φέρειν ἐν χοῒ χρυσῇ·

1 δέξεται ὑμᾶς malim. ἡμᾶς ms. *C.* 2 φιλοχάλως pro βύβακας habent edd. 3 Vulgo, στρώματα μὲν ἁλουργὰ, claudicante verſu. 4 φασὶν ms. *A.*

convivium Iphicratis, cum regis Thraciae Cotyis filiam duceret uxorem, ait:

7. *Iſta ſi feceris, prouti dico;*
ſplendidis coenis vos ille excipiet,
multum diverſis ab Iphicratis
in Thracia coenis: quamquam dicunt
ſplendidas illas fuiſſe.
Per forum enim ſtratas fuiſſe
ſtragulas purpureas usque ad Urſum:
coenaſſeque viros butyrum aiunt
ſqualidâ comâ infinitos numero:
lebetes autem fuiſſe aeneos
maiores ciſternis quae lectulos caperent duodecim;
ipſum vero Cotyn adfuiſſe ſuccinctum,
iusculumque intuliſſe aureo in congio;

καὶ γευόμενον τῶν κρατήρων,
πρότερον μεθύειν τῶν πινόντων.
αὐλεῖν δ' αὐτοῖς Ἀντιγενείδαν, [1]
Ἄργαν δ' ᾄδειν, καὶ κιθαρίζειν
Κηφισόδοτον [2] τὸν Ἀχαρνῆθεν·
μέλπειν δ' ᾠδαῖς τοτὲ μὲν Σπάρτην
τὴν εὐρύχορον, τοτὲ δ' αὖ Θήβας [3]
τὰς ἑπταπύλους
τὰς ἁρμονίας μεταβάλλειν.
φέρνας τε λαβεῖν, δύο μὲν ξανθῶν
ἵππων ἀγέλας, [4] αἰγῶν τ' ἀγέλην,
χρυσοῦν τε σάκος, φιάλην τε λεπαστὴν, [5]
χιόνος τε πρόχουν, κέγχρων τε [6] χύτραν,
βολβῶν τε σιρὸν δωδεκάπηχυν,
καὶ πουλυπόδων ἑκατόμβην.

1 Vulgo Ἀντιγενίδαν. 2 Κηφισόδωρον Natalis Com. 3 An τότε δ' ἐς Θήβας? 4 An ἵππων ζεύγη, aut aliquid simile? 5 Turbatum metrum mendam arguit. An φιάλην λεπατὴν? 6 κέρχνων τε ms. *A.* non male.

& calices praeguſtantem,
primum bibentium ebrium fuiſſe:
tibiam autem illis inflaſſe Antigenidam;
Argam vero cecinisſe, & citharam pulſaſſe
Cephiſodotum Acharnenſem:
celebraſſe vero cantibus nunc quidem Spartam
late porrectam, nunc rurſus Thebas
ſeptem patentem portis
modulos transtuliſſe ſuos.
Dotem autem accepiſſe (ſponſum aiunt,) *duos flavorum*
greges equorum, caprarumque unum,
clypeum aureum, amplo collo phialam,
nivis guttum, milii ollam,
bulborum ſirum duodecim cubitorum,
polyporumque hecatomben.

Ταῦτα μὲν οὕτως φασὶ ποιῆσαι
Κότυν ἐν Θρᾴκῃ, γάμον Ἰφικράτει.
Τούτων δ' ἔσται πολὺ σεμνότερον
καὶ λαμπρότερον παρὰ δεσποσύνοις
τοῖς ἡμετέροις. τί γὰρ ἐκλείπει
δόμος ἡμέτερος; ποίων ἀγαθῶν;
οὐ σμύρνης καὶ Συρίας [1] ὀδμαὶ,
λιβάνου τε πνοιαὶ, τερενοχρῶτες
μαζῶν ὄψεις, ἄρτων, ἀμύλων,
πουλυποδείων, [2] χολίκων, [3] δημοῦ,
φυσκῶν, ζωμοῦ, τεύτλων, θρίων,
λεκίθου, σκορόδων, ἀφύης, σκόμβρων,
ἐνθρυμματίδων, πτισάνης, ἀθάρης,
κυάμων, λαθύρων, ὤχρων, δολίχων,
μέλιτος, τυροῦ, χορίων, πυρῶν,

Ciborum promiscua copia.

1 σμύρνης Συρίας Epit. 2 πολυποδείων edd. cum ms. A. πολυποδίων ms. Ep. 3 χολλίκων Epitome.

Haec quidem sic aiunt feciſſe
Cotyn in Thracia, pro nuptiis Iphicratis.
At his multo honeſtius erit
ſplendidiusque (epulum) apud heriles
filios noſtros. Quid enim deeſt
noſtrae domui? quonam bonorum in genere?
Non myrrhae Syriae (deſunt) odores,
non thuris ſuffitus, non delicatus
mazarum adſpectus, panum, amylorum,
polypodiorum, lactium, adipis,
botulorum, iuris, betae, thrii,
piſorum, alliorum, apuarum, ſcombrorum,
thrymmatidum, ptiſanae, pultis,
fabarum, lathyrorum, ervilium, phaſelorum,
mellis, caſei, choriorum, (placentularum,) tritici,

καρύων, χόνδρου. κάραβοι ὀπτοὶ,
τευθίδες ὀπταὶ, κεστρεὺς ἐφθὸς,
σηπίαι ἐφθαὶ, μύραιν' ἐφθὴ,
κωβιοὶ ἐφθοὶ, θυννίδες ὀπταὶ, [1]
φυκίδες ἐφθαὶ, βάτραχοι, πέρκαι,
συνόδοντες, ὄνοι, βατίδες, ψῆτται,
γαλεὸς, κόκκυξ, θρίσσαι, νάρκαι,
ῥίνης [2] τεμάχη, σχαδόνες, βότρυες,
σῦκα, πλακοῦντες, μῆλα, κράνειαι,
ῥοαὶ, ἔρπυλλος, μήκων, ἀχράδες,
κνῆκος, ἐλάαι, στέμφυλ', ἄμητες,
πράσα, γήτεια, κρόμμυα, φύστη,
βολβοὶ, καυλοὶ, σίλφιον, ὄξος,
μάραθ', ὠὰ, φακῆ, τέττιγες ὀπτοὶ,
κάρδαμα, σήσαμα, κήρυκες, ἄλες,
πίνναι, λεπάδες, μῦες, [3] ὄστρεα,

1 θυννίδες ἐφθαὶ eadem *Epit.* 2 ῥείνης vulgo. 3 Forſ. μῦές τ'.

nucum, alicae. Sunt aſſae locuſtae,
loligines aſſae, mugil elixus,
ſepiae elixae, muraena elixa,
gobii elixi, thynnides aſſae,
fucae elixae, ranae (marinae,) percae,
ſynodontes, aſelli, raiae, paſſeres,
muſtelus (piſcis,) *cuculus* (piſcis,) *thriſſae, torpedines,*
ſquatinae fruſta, favi, uvae,
ficus, placentae, mala, corna,
punica, ſerpyllum, papaver, pyra,
cnecus, olivae, integrae intritaeque, ametes (placentae,)
porra, gethya, cepae, maza cum vino parata,
bulbi, caules, ſilphium, acetum,
foeniculum, ova, lenticula, toſtae cicadae,
naſturtium, ſeſamum, buccina, ſal,
pinnae, lepades, muſculi, oſtrea,

κτένες, ὄρκυνες· καὶ πρὸς τούτοις,
ὀρνιθαρίων ἀΦάτων πλῆθος,
νηττῶν, Φαττῶν· χῆνες, στρουθοὶ,
κίχλαι, κόρυδοι, κίτται, κύκνοι,
πελεκὰν, κίγκλοι, γέρανος· τουτουΐ
τοῦ χάσκοντος διατεωαμένη
διὰ τοῦ πρωκτοῦ καὶ τῶν πλευρῶν
διακόψειεν τὸ μέτωπον.
οἶνοι δέ σοι, λευκὸς, γλυκὺς, αὐθιγενὴς, ἡδὺς,[1]
καπνίας.

VIII.

Ridentur coenae Atticae.

Λυγκεὺς δ' ἐν Κενταύρῳ, διαπαίζων τὰ Ἀττικὰ δεῖπνα, Φησί·

Μάγειρ', ὁ θύων ἐστὶν, ὁ δειπνίζων τ' ἐμὲ,
Ῥόδιος· ἐγὼ δ' ὁ κεκλημένος, Περίνθιος.
οὐδέτερος ἡμῶν ἥδεται τοῖς Ἀττικοῖς
δείπνοις. Ἀηδία γάρ ἐστιν Ἀττικὴ,

1 Forſ. ἡδὺς, αὐθιγενής.

pectines, orcynes: & praeterea
avicularum innumerabilium multitudo;
anatum, columbarum: anſeres, paſſeres,
turdi, alaudae, picae, cygni,
pelecanus, cingli, grus; quae ſi huius
late hiantis ſe inſinuaret
per anum hominis, perque latera,
frontem pertunderet.
Vina vero tibi adſunt, album, dulce, indidem natum,
ſuave, nigrum.

8. Lynceus vero, in Centauro, illudens Atticis coenis, ait:

Heus tu coque! qui ſacrum facit meque coena excipit,
Rhodius eſt: ego vero, qui vocatus ſum, Corinthius.
Neuter noſtrûm Atticis gaudet
coenis. Triſtitia eſt enim Attica,

a ὥσπερ ξενική. [1] Παρέθηκε πίνακα γὰρ μέγαν,
ἔχοντα μικροὺς πέντε πινακίσκους ἐν ᾧ.
τούτων ὁ μὲν ἔχει σκόροδον, ὁ δ' ἐχίνους δύο.
ὁ δὲ θρυμματίδα γλυκεῖαν, ὁ δὲ κόγχας δέκα,
ὁ δ' ἀνταικαίου μικρόν. ἐν ὅσῳ δ' ἐσθίω,
ἕτερος ἐκεῖν'· ἐν ὅσῳ δ' ἐκεῖνος, τοῦτ' ἐγὼ
ἠφάνισα. βούλομαι δ' ἐγὼ, βέλτιστε, συγκαμεῖν [2]
καὶ τοῦτό γ'· ἀλλ' ἀδύνατα βούλομαι.
b οὔτε στόματα γὰρ, οὔτε χεῖλη πέντ' ἔχω.
ὄψιν μὲν οὖν ἔχει τὰ τοιαῦτα ποικίλην,
ἀλλ' οὐθέν ἐστι τοῦτο πρὸς τὴν γαστέρα.
κατέπλησα γὰρ τὸ χεῖλος, οὐκ ἐνέπλησα δέ.
Τί οὖν; ἔχεις ὄστρεια πολλά; πίνακά μοι [3]
τούτων παραθήσεις, αὐτὸν ἐφ' ἑαυτοῦ, μέγαν.
ἔχεις ἐχίνους; — Β. Ἕτερος ἔσται σοι πίναξ·

1 ὡς πὰρ ξένοις γε corr. Casaub. 2 Mendosus versus cum sequente. 3 Forſ. Τί οὖν ἔχεις; Β. Ὄστρεια πολλά. Α. Πίνακά μοι &c. *Quid ergo habes?* B. *Ostrea multa.* A. *Lancem mihi* &c.

veluti peregrina. Adponunt enim discum ingentem,
quinque in se parvos discos continentem:
horum unus habet allium, alter echinos duos,
alius placentulam dulcem, conchas decem alius,
alius antacaei salsamenti paululum. Dum vero comedo,
alter istud absumit: dum ille istud, ego hoc
e medio tollo. At vellem, o optime, vorare simul
istud quoque; sed, quae fieri nequeunt, cupio.
Non enim mihi vel ora vel labra quinque sunt.
Adspectum igitur haec talia habent varium quidem;
at nihil hoc ad placandum ventrem facit.
opplevi quippe labia, ventrem non explevi.
Quid ergo faciendum? Ostrea multa habes? lancem mihi
horum adpones, ipsam per se, satis magnam.
Habes echinos? — B. *Alia horum tibi lanx adponetur:*

αὐτὸς γὰρ αὐτὸν ἐπριάμην ὀκτὼ ὀβολῶν. 20

Α. Ὀψάριον αὐτὸ τοῦτο παραθήσεις μόνον,
ἵνα ταὐτὰ πάντες, μὴ τὸ μὲν ἐγὼ, τὸ δ' ἕτερος.

Δρομέας δ', ὁ παράσιτος, ἐρωτήσαντός τινος αὐτὸν, ε
ὡς φησιν ὁ Δελφὸς Ἡγήσανδρος, πότερον ἐν Ἄστει γίνεται βελτίω δεῖπνα, ἢ ἐν Χαλκίδι; „τὸ προοίμιον, εἶπε, τῶν ἐν Χαλκίδι δείπνων χαριέστερον εἶναι τῆς ἐν Ἄστει παρασκευῆς." τὸ πλῆθος τῶν ὀστρέων, καὶ τὴν ποικιλίαν, προοίμιον εἰπὼν δείπνου.

IX.

Aliis alia placet coenandi ratio.

Δίφιλος δ' ἐν Ἀπολειπούσῃ, μάγειρόν τινα παράγων, ποιεῖ τάδε λέγοντα·

Α. Πόσοι τὸ πλῆθός εἰσιν οἱ κεκλημένοι
εἰς τοὺς γάμους; βέλτιστε· καὶ πότερ' Ἀττικοὶ d
ἅπαντες, ἢ καὶ τοῦ [1] μπορίου τινές; Β. Τί δὲ [2]
τοῦτ' ἔστι πρὸς σὲ τὸν μάγειρον; Α. Τῆς τέχνης

1 τοῦ ἐμπορείου ms. *A.* ἢ καὶ ἔμποροί τινες Grot. 2 τί δαὶ ms. *A.*

hanc enim ipse emi octo obolis.
A. *Hoc ipsum igitur solum obsonium adpones, ut idem omnes comedant, non hoc ego, aliud ille.*

Dromeas vero parasitus, ut refert Hegesander Delphus, cuidam interroganti, utrum lautiores essent coenae Athenis, an Chalcide? respondit, *Prooemium coenarum Chalcide gratius esse & elegantius, quam Athenis totum coenae adparatum.* Prooemium coenae vocabat homo, ostreorum & reliquorum testaceorum multitudinem varietatemque.

9. Diphilus vero, in Desertrice, coquum inducit quemdam, haec loquentem:

A. *Quot sunt convivae numero, quos ad nuptias, quaeso, vocasti? deinde, sunt-ne ex Attica omnes, an adsunt & peregrini?* B. *Quid hoc se spectat tandem, qui coquus sis?* A. *Quin, senex,*

ἡγεμονία τίς ἐστιν αὐτῆς, [1] ὦ πάτερ,
τὸ τῶν ἐδομένων τὰ στόματα προειδέναι.
οἷον, Ῥοδίους κέκληκας; εἰσιοῦσι δ' ὡς
εὐθὺς ἀπὸ θερμοῦ τὴν μεγάλην αὐτοῖς σπάσαι
ἀποζέσας σίλουρον, ἢ λεβίαν· ἐφ' ᾧ
χαριεῖ πολὺ μᾶλλον, ἢ μυρίνην προσεγχέας.
Β. Ἀστεῖον ὁ σιλουρισμός. Α. Ἂν Βυζαντίους,
ἀψινθίῳ σφι [2] δεῦσον ὅσα γ' ἂν παρατίθῃς,
κάθαλα ποιῆσαι [3] πάντα, καὶ ἐσκοροδισμένα. [4]
διὰ γὰρ τὸ πλῆθος τῶν παρ' αὐτοῖς ἰχθύων,
πάντες βλιχανώδεις [5] εἰσὶ, καὶ μεστοὶ λάπης.

Μένανδρος δ' ἐν Τροφωνίῳ·

Α. Ξένου τὸ δεῖπνον ἐστὶν ὑποδοχῆς. Β. Τίνος;
ποδαποῦ; διαφέρει τῷ μαγείρῳ τοῦτο γάρ.
οἷον, τὰ μὲν νησιωτικὰ ταυτὶ ξενύδρια

1 αὕτη γ' Grot. cum Casaub. 2 σφοῖφ edd. σφοιν (sic) ms. *A.* Vocula omissa in *Epit.* 3 ποίησαι editt. vett. ποίησον ed. Cas. cum *Epit.* 4 χ' ἐσχορόδ. ed. Cas. κἀσχορόδ. Grot. 5 βλιχώδεις Grot. cum Cas.

in eo praecipua pars noſtrae artis vertitur,
ut convivarum recte noſcamus gulam.
Puta, ſi vocaris Rhodios; ſimul intraverint,
dato ſilurum diſcerpendum protinus
de ferveſacto iure, vel lebiam: magis
gratum id, quam vinum ſi unguentatum affuderis.
B. *Silurizare lepidum eſt.* A. *Sin Byzantius,*
adſperge quidquid eſt ciborum abſynthio,
ſalita & alliata fac ſint omnia.
Nam quae eſt apud ipſos piſcium frequentia,
mucoſos omnes & pituitoſos facit.

Menander vero, in Trophonio:

A. *Hoſpes vocatu 'st mihi.* B. *Quî ſolitus vivere?*
cuiatis? Namque id ſcire pol refert coquum.
Etenim hoſpitelli qui veniunt ab inſulis,

ἐν προσφάτοις ἰχθυδίοις τεθραμμένας
καὶ παντοδαποῖς, τοῖς ἁλμίοις [1] μὲν οὐ πάνυ 5 f
ἁλίσκεται, ἀλλ' οὕτως παρέργως ἅπτεται·
τὰς δ' ὀνθυλεύσεις καὶ τὰ κεκαρυκευμένα
μᾶλλον προσεδέξατ'. Ἀρκαδικὸς τοὐναντίον,
ἀθάλασσος, ἐν τοῖς λοπαδίοις ἁλίσκεται.
Ἰωνικὸς πλούταξ ὑποστάσεις ποιῶν, [2] 10
κάνδαυλον, ὑποβινητιῶντα βρώματα.

X.

Cibi appetentiam irritantes.

Ἐχρῶντο γὰρ οἱ παλαιοὶ καὶ τοῖς εἰς ἀναστό- a
μωσιν βρώμασιν, ὥσπερ ταῖς ἁλμάσιν ἐλάαις, ἃς
κολυμβάδας καλοῦσιν. Ἀριστοφάνης γοῦν ἐν Γήρᾳ
φησίν·

Ὦ πρεσβῦτα, πότερα φιλεῖς τὰς δρυπετεῖς
ἑταίρας, ἢ τὰς ὑποπαρθένους, ἁλμάδας
ὡς ἐλάας, στιφράς;

1 ἁλίμοις corr. Bentlei. 2 ποθεῖ pro ποιῶν legit Grot. ποιῶ corrigit Coray, intelligens initio versus verbum ἔρχεται.

nutriti magna piſcium recentium
in varietate, non ſolent ſalſis capi,
faſtidioſa quae vix delibant gula:
ſi quid piperatum, ſi quid conditum acrius,
hoc magis oblectat. Si quis contra venerit
aut Arcas, aut de terris a pelago abſitis,
hunc piſculentae patinae praecipue iuvant.
Ionicus autem dives iura pinguia
amat, & candaulum, & quidquid ad Venerem facit.

10. Uſi enim ſunt veteres *cibis* etiam *adpetentiam irritantibus*; verbi cauſſa, olivis muriâ conditis, quas *colymbadas* vocant. Ariſtophanes quidem, in Senectute, ait:

Heus ſenex, utrum amas caducas
meretrices, an fere adhuc virgines, quae velut
muriâ conditae olivae compacto ſunt corpore?

Φιλήμων δ' ἐν Μετιόντι, ἢ Ζωμίῳ·

A. Ἰχθῦς τί σοι [1]
ἐφαίνεθ' ἑφθός; B. Μικρὸς [2] ἦν· ἀκήκοας;
ἅλμη τε λευκὴ, καὶ παχεῖ' ὑπερβολῇ,
b κοὐχὶ λοπάδος προσῶζεν, οὐδ' ἡδυσμάτων.
ἐβόων ἅπαντες, ὡς ἀγαθὴν ἅλμην ποιεῖς.

Ἥσθιον δὲ καὶ τέττιγας καὶ κέρκωπας, ἀναστομώσεως χάριν. Ἀριστοφάνης Ἀναγύρῳ· Cicadae & cercopae.

Πρὸς θεῶν, ἐρᾷς
τέττιγα φαγεῖν καὶ κερκώπην,
θηρευσαμένη καλάμῳ λεπτῷ;

Ἔστι δ' ἡ κερκώπη ζῷον ὅμοιον τέττιγι καὶ τρυγονίῳ,[3] ὡς Σπεύσιππος παρίστησιν ἐν τετάρτῳ Ὁμοίων. μνημονεύει αὐτῶν Ἐπίλυκος ἐν Κωραλίσκῳ. Ἄλεξις ἐν Θράσωνι φησί·

1 Vulgo Ἰχθῦς τις σοὶ ſcribunt, & ab his verſum inchoant. 2 μιαρὸς corr. Bentl. 3 τιτιγονίῳ videtur legend. τεττιγονίῳ corrigunt viri docti.

Philemon vero, in Ambiente ſive Iuſculo:

A. *De piſce quid tibi*
videbatur elixo? B. *Parvus erat: audiſtin'?*
& muria alba, & craſſa admodum,
& nec patinam redolebat, nec condimenta.
Clamabant omnes, quam ſuavem muriam paras!

Sed & *cicadas* & *cercopas* comedebant excitandae adpetentiae gratia. Ariſtophanes, Anagyro:

Per Deos, amas
cicadam comedere & cercopam,
quas venata ſis tenui arundine?

Eſt autem *cercope* animal ſimile cicadae aut titigonio, ut Speuſippus tradit quarto Similium. Meminit earum Epilycus in Coraliſco. (*i. e.* Adoleſcentulo.) Alexis in Thraſone ait:

Σοῦ δ' ἐγὼ λαλιστέραν c
οὐ πώποτ' εἶδον οὔτε κερκώπην, γύναι,
οὐ κίτταν, οὐκ ἀηδόν', οὐ τρυγόν', οὐ τέττιγα.

Νικόστρατος δ' ἐν Ἄβρᾳ·

Πίναξ ὁ πρῶτος τῶν μεγάλων ἡγήσεται,
ἔχων ἐχῖνον, ὠμοτάριχον, κάππαριν,
θρυμματίδα, τέμαχος, βολβὸν ἐν ὑποτρίμματι.

XI. Rapae cum aceto & ſinapi.

Ὅτι δ' ἥσθιον διὰ τὴν ἀναστόμωσιν καὶ τὰς δι' ὄξους καὶ νάπυος γογγυλίδας, σαφῶς παρίστησιν Νίκανδρος ἐν δευτέρῳ Γεωργικῶν, λέγων οὕτως· d

Γογγυλίδος διστὴ γὰρ ἰδ' ἐκ ῥαφάνοιο γενέθλη,
μακρή τε, στιφρή τε, φαείνεται ἐν πρασιῇσι.
Καὶ τὰς μὲν καθαύηνον, [1] ἀποπλύνας, [2] βορέῃσι,
προσφιλέας χειμῶνι, καὶ οἰκουροῖσιν ἀεργοῖς·

1 θαυηναν absque accentu ms. *A.* Magis corrupte alii mss. & edd.
2 ἀποβλύνας ms. *A.* & edd. vett. Temere ἀποβλήνας ed. Caſ.

Te vero loquaciorem
numquam vidi nec cercopam, mulier,
nec picam, nec luſciniam, nec turturem, nec cicadam.

Nicoſtratus vero in Abra, (*id eſt*, Ancilla puella:)

Prima lanx ex magnis anteibit,
continens echinum, omotarichon, capparin,
placentulam, ſalſamenti fruſtum, bulbum in intrito.

11. Uſos autem eſſe veteres excitandi adpetitus cauſſa etiam *rapis cum aceto & ſinapi*, perſpicue docet Nicander, ſecundo Georgicorum, ubi ſic:

Rapi enim duplex ecce ex raphano [vel, *duplex & raphani*] *genus,*
oblongum alterum, alterum compactum, hortorum in areis conſpicitur.
Et iſtud quidem genus (oblongum,) *bene lotum, ſicca ad boream;*
amicum hiemi, famulisque tum domi otioſis:

θερμοῖς δ' ἰκμανθεῖσαι ἀναζώουσ' ὑδάτεσσι.
Τμῆγε δὲ γογγυλίδος ῥίζας, καὶ ἀκαρφέα φλοιὸν
ἧκα καθηράμενος, λεπτουργέας· ἠελίῳ δὲ
αὐήνας ἐπὶ τυτθὸν, ὁτ' ἐν ζεστῷ [1] ἀποβάπτων
e ὕδατι, ἱδρυμένῃ πόλεας ἐμβάπτισον ἅλμῃ·
ἄλλοτε δ' αὖ λευκὸν γλεῦκος συστάμνισον ὄξει,
ἶσον ἴσῳ, τὰς δ' ἐντὸς ἐπιστύψας ἁλὶ κρύψαις.
πολλάκι δ' ἀσταφίδος προχέας τριπτῇρι λεήναις,
σπέρματά τ' ἐνδάκνοντα σινήπυος. εἰν ἑνὶ δὲ τρὺξ [2]
ὄξεος, ἰκμάζουσα καὶ ὠμοτέρην ἐπὶ κόρσην,
ὦριον ἁλμαίην ἄμυσαι [3] κεχρημένοισι δαίτης.
ζ Δίφιλος δ' ἢ Σώσιππος ἐν Ἀπολειπούσῃ·
Ἔν δ' ἐστὶν [4] ὄξος ὀξύ σοι;
ὑπολαμβάνω, παιδάριον, ὀπὸν εἰλήφαμεν.

1 Possis & sic scribere ὁτὲ 'ν ζεστῷ. 2 εἴ γ' ἐνὶ δὲ τρὺξ ex ms. *B.* citatur. 3 ἄρυσαι corr. Casaub. Postremis versibus nihil medicinae obtulerunt nostrae membranae. 4 Ἔστιν ἓν δ' scribebant vulgo.

calidis humefactum aquis reviviscit.
Rotundi vero rapi radices, postquam corticem nondum ex-
succum
leniter detraxeris, seca minutatim: & in sole
paululum siccatas, dein aut ferventi intinctas
aquae, immerge muriae salis, civitatum conditoris;
aut vero album mustum simul cum aceto in dolium iniice
partibus aequalibus, hasque intus stipatas obtege sale.
[*Saepius autem insperses uvae passae acinis, pistillo tritum*
sinapi mordax semen additur; cui si accedit
aceti faex, halitu caput tentabit vel robustissimum.
Sic condita rapa e muria tu hauries, &, cum tempestivum
erit, praebebis cibo indigentibus.]

Diphilus vero, sive Sosippus, in Desertrice:

Acetum acre habes?
puto, etiam laser quantum satis accepimus.

ἄριστα τούτοις πάντα πίεσω, [1] καὶ πυκνά.
ἡ φυλλὰς [2] ἡ δριμεία περιοισθήσεται·
τῶν πρεσβυτέρων γὰρ ταῦτα τῶν ἡδυσμάτων
ἀναστομοῖ τάχιστα τ' αἰσθητήρια,
τό τε νωκαρῶδες καὶ κατημβλυωμένον
ἐσκέδασε, κἀποίησεν ἡδέως φαγεῖν.

XII. Saltabant Athenienſes adpoti.

Ἄλεξις δ' ἐν Ταραντίνοις, ἐν τοῖς συμποσίοις, ἃ φησὶ, τοὺς Ἀττικοὺς καὶ ὀρχεῖσθαι ὑποπιόντας.

Τοῦτο γὰρ νῦν ἔστι σοι
ἐν ταῖς Ἀθήναις ταῖς καλαῖς ἐπιχώριον·
ἅπαντες ὀρχοῦντ' εὐθὺς, ἂν οἴνου μόνον
ὀσμὴν ἴδωσιν. Β. Συμφορὰν λέγεις. Α. Ἦ' ἂν [3]
φαίης ἄν, εἰς συμπόσιον εἰσελθὼν ἄφνω.
καὶ τοῖς μὲν ἀγενείοις ἴσως ἔπεστί τις [4]
χάρις· ἀλλ' ἐπὰν δὴ τὸν γόητα Θεόδοτον,

1 πίεσον legit Grot. 2 Forſ. φυλλὶς. 3 συμφορά σε γ' εἰσορᾷν corr. Caſaub. 4 Poſt τις adiicit σοι ms. *A*.

His ergo cuncta quam potes ſpiſſe preme:
circumſpargentur folia ſuaveolentia.
Nam condimentorum id genus acrimonia
ſenum ſenſificas partes facile exſuſcitat:
& nauſeantis taedii torpedinem
fugans, edendi prolicit lubentiam.

12. Alexis vero in Tarentinis ſcribit, *inter epulas etiam ſaltaſſe* Athenienſes, poſtquam adpoti eſſent.

Hoc enim tibi nunc eſt
pulcris Athenis vulgo uſitatum:
omnes mox ſaltant, vini ſi vel ſolum
odorem ſenſerint. B. *Portentum narras.* A. *Sane quidem*
diceres, ſubito ſi in convivium intrares.
Et imberbibus quidem fortaſſe quaedam ineſt
gratia: ſed, quodſi praeſtigiatorem Theodotum,

ἢ τὸν παραμασύντην ἴδω [1] τὸν ἀνόσιον,
b βαυκιζόμενον [2] τὰ λευκὰ, τὸν ἄβαλλόν θ' [3] ἅμα,
ἥδιστον ἀναπήξαιμ' ἂν αὐτὸν ἐπὶ ξύλου [4]
λαβών.

Μήποτε δὲ καὶ Ἀντιφάνης ἐν Καρσὶ, κατὰ τὸ Ἀττικὸν ἔθος τῆς ὀρχήσεως, κωμῳδεῖ τινα τῶν σοφῶν, ὡς παρὰ δεῖπνον ὀρχούμενον, λέγων οὕτως·

Οὐχ ὁρᾷς ὀρχούμενον
ταῖς χερσὶ [5] τὸν βάκηλον· οὐδ' αἰσχύνεται,
ὁ τὸν Ἡράκλειτον πᾶσιν ἐξηγούμενος,
ὁ τὴν Θεοδέκτου μόνος ἀνευρηκὼς τέχνην,
c ὁ τὰ κεφάλαια συγγράφων Εὐριπίδῃ.

Τούτοις οὐδ' ἀναρμόστως ἄν τις ἐπενέγκαι τὰ Ἐρίφῳ τῷ κωμικῷ ἐν Αἰόλῳ εἰρημένα τάδε,

Λόγος γάρ ἐστ' ἀρχαῖος, οὐ κακῶς ἔχων·

1 ἰδὼν ms. *A*. 2 Καυκιζόμενον vulgo. 3 τὸ νάβλιον coniecit Caſ. Probabilius βαλλίζονθ' Gatak. Sed vide ne & ſub τὰ λευκὰ aliud quid lateat. 4 Vulgo ἐπὶ τοῦ ξύλου. 5 Vertunt, *manibus geſticulantem*. Equidem τοῖς Χουσὶ legendum ſuſpicatus ſum.

aut impurum illum video alienarum menſarum ſectatorem,
laſciva quaedam canentem, ſimulque tripudiantem;
lubens raperem hominem, crucique
adfigerem.

Ac fortaſſe etiam Antiphanes, in Caribus, Atticorum morem ſaltandi reſpexit, cum aliquem e ſapientum numero in ſcena traducit inter epulas ſaltantem, his verbis:

Nonne vides ſaltantem
Congiorum feſto baceolum iſtum, neque pudet eum;
qui Heraclitum interpretatur omnibus,
& Theodecti unus invenit artificium,
& ſententiarum ſummas ſcribit Euripidi.

His non abſurde ſubiungat aliquis iſta, quae Eriphus comicus dixit in Aeolo:

Vetus enim verbum eſt, nec id male habens;

οἶνον λέγουσι τοὺς γέροντας, ὦ πάτερ,
πείθειν χορεύειν οὐ θέλοντας.

Ἄλεξις δ' ἐν τῷ ἐπιγραφομένῳ Ἰσοστάσιον φησίν·

Ἀπὸ συμβολῶν ἔπινον, ὀρχεῖσθαι μόνον
βλέποντες, ἄλλο δ' οὐδέν· ὄψων ὀνόματα
καὶ σιτίων ἔχοντες. ὄψων, [1] κάραβος, d
καὶ κωβιὸς, καὶ σεμίδαλις.

XIII.

Matronis parodi Attica Coena.

Ἀττικὸν δὲ δεῖπνον οὐκ ἀχαρίστως διαγράφει Μάτρων ὁ παρῳδὸς, ὅπερ διὰ τὸ σπάνιον οὐκ ἂν ὀκνήσαιμι ὑμῖν, ἄνδρες φίλοι, ὁ Πλούταρχος ἔφη, ἀπομνημονεῦσαι·

Δεῖπνα μοι ἔννεπε, Μοῦσα, πολύτροφα, καὶ μάλα πολλὰ,
ἃ Ξενοκλῆς ῥήτωρ ἐν Ἀθήναις δείπνισεν ἡμᾶς·
ἦλθον γὰρ κἀκεῖσε, πολὺς δέ μοι ἕσπετο λιμός. e
οὗ δὴ καλλίστους ἄρτους ἴδον, ἠδὲ μεγίστους,

1 ὄψον edd. quod in οἶον mutatum voluit Casaub.

vinum aiunt, pater, senes etiam homines
adducere ut saltent vel nolentes.

Alexis vero in fabula, quae Isostasion (*i. e.* Aequilibrium) inscribitur, ait:

E symbolis compotabant, de saltando solum
cogitantes, nil aliud agentes. Habebant autem obsoniorum
nomina & ciborum: obsoniorum, Locusta,
& Gobius: tum Semidalis.

13. *Atticam* vero *Coenam* haud invenuste describit MATRON, *parodus:* quam quia rara erat, non pigebit, inquit Plutarchus, vobis, viri Amici, recitare.

Coenas mihi refer, Musa, multas, cibisque adfluentes,
quibus nos Xenocles orator Athenis excepit:
veni quippe etiam eo, & multa me fames comitabatur.
Ibi igitur panes vidi pulcerrimos maximosque,

λευκοτέρους χιόνος, ἔσθειν δ' ἀμύλοισιν ὁμοίους
τάων καὶ βορέης ἠράσσατο πεττομενάων.
Αὐτὸς δὲ Ξενοκλῆς ἐπεπωλεῖτο στίχας ἀνδρῶν,
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών. σχεδόθεν δέ οἱ ἦν παράσιτος
Χαιρεφόων, πεινῶντι λάρῳ ὄρνιθι ἐοικὼς,
f νήστης, ἀλλοτρίων εὖ εἰδὼς δειπνοσυνάων.
Τῷ δὲ μάγειροι μὲν Φόρεον, πλήσαν τε τραπέζας,
οἷς ἐπιτετράφαται μέγας οὐρανὸς ὀπτανιάων,
ἠμὲν ἐπισπεῦσαι δείπνου χρόνον, ἠδ' ἀναμεῖναι.
Ἐνθ' ἄλλοι πάντες λαχάνοις ἐπὶ χεῖρας ἴαλλον·
ἀλλ' ἐγὼ οὐ πιθόμην, ἀλλ' ἧσθιον [1] εἴδατα πάντα,
a βολβοὺς, ἀσπάραγόν τε, καὶ ὄστρεα μυελόεντα,
ὠμοτάριχον ἐῶν χαίρειν, Φοινίκιον ὄψον.
αὐτὰρ ἐχίνους ῥίψα καρηκομόωντας ἀκάνθαις·
οἱ δὲ κυλινδόμενοι καναχὴν ἔχον ἐν ποσὶ παίδων
ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠιόνος κλύζεσκε·

1 Rurſus εἴσθιον vulgo, ut ſaepe aliâs.

candidiores nive, ſimilesque guſtu placentis,
quas & Boreas adamaſſet ſibi coctas.
Ipſe vero Xenocles, luſtratis virorum ordinibus,
ſubſtitit ad limen profectus. Prope eum erat paraſitus
Chaerephon, eſurienti laro volucri ſimilis,
ieiunus, alienarum bene gnarus coenarum.
Tum vero coqui cibos inferentes, menſas implebant;
hi quibus magnum commiſſum eſt coelum culinarum,
poteſtasque aut accelerandi coenae tempus, aut retardandi.
Ibi alii omnes oleribus manus immiſerunt:
quibus ego non parui, ſed genus omne ciborum comedi,
bulbos, & aſparagum, & oſtrea medulloſa;
valere omotarichon iubens, Phoenicium obſonium.
Echinos vero proieci ſpinis comatos;
qui provoluti ſtrepitum ediderunt inter pedes puerorum,
nudo ſuper humo, quam fluctus in litore adluebant,

Matronis parodi

πολλὰς δ' ἐκ κεφαλῆς προθελύμνους εἶλκον ἀκάν-
θας.
Ἡ δὲ Φαληρικὴ ἦλθ' ἀφύη, Τρίτωνος ἑταίρη,
ἅντα παρειάων σχομένη ῥυπαρὰ κρήδεμνα.
τοὺς δ' ὁ Κύκλωψ ἐφίλει, καὶ ἐν οὔρεσιν ἐξεπε- b
φύκει, * [1]
πίννας ἤλθε φέρων, καὶ ἄμυλα [2] ἠχήεντα,
ἃς [3] κατὰ φυκότριχος [4] πέτρης λευκὸν τρέφει ὕδωρ.
Ψῆττά τε χονδροφυὴς, καὶ τρίγλη μιλτοπάρηος.
τῇ δ' ἐγὼ ἐν πρώτοις ἐπέχον κρατερώνυχα χεῖρα,
οὐ δ' ἔφθην τρώσας, [5] ἵν' ἔασεν [6] Φοῖβος Ἀπόλλων.
ὡς δ' εἶδον Στρατοκλῆ, κρατερὸν μήστωρα φόβοιο,
τρίγλης ἱπποδάμοιο κάρη μετὰ χερσὶν ἔχοντα, c

1 Vulgo ἐξεπεφύκει, absque lacunae signo. Τὸν δ' ὁ Κυκλ. coniecerat Casaub. Sed Brunck. cum Scalig. totum versum sic legit, ad superiora referens:
τὰς δ' ὁ Κύκλωψ ἔφλη, καὶ ἐν οὔρεσιν ἔξεσε φύκη.
2 ἀμύλα ms. *A.* κογχύλι' vel ὁσμύλι' coni. Casaub. quorum prius recepit Brunck. τήθη μυελόεντα coni. Scalig. 3 οὓς ms. *Epit.* ἃ Brunck. cum Scalig. 4 Vulgo una voce καταφυγότριχος. 5 τρώγειν *Epit.* Unde fortasse τράξας malles. 6 ἵνα εἴασε edd. cum ms. *A.* Loco ἵνα est spatium vacuum in ms. *Ep.* τρώγειν μιν, ἄασε δὲ Φοῖβος Ἀπ. Brunck. cum Scal.

multasque sibi evulserunt radicitus ex capite spinas.
Iam veniebat Phalerica apua, Tritonis amica,
genis praetenta habens sordida redimicula.
*[Quos vero Cyclops amabat, & in montibus enata erant,**
*Pinnas veniebat ferens, & Amyla * sonora,]*
quas in fuco-comata petra nutrit spumosa unda.
Tum erat Passer cartilagineus, [sive, compacta carne;]
& miniatis genis Mullus.
Ipsi ego in primis manum validis-munitam-unguibus inieci;
sed non anteverti sauciare, [comedere,] cum me sivisset
[sive, namque me laesit] Phoebus Apollo.
Ut vero vidi Stratoclem fortem pugnaeque peritum,
equitis Mulli caput manibus tenentem;

ἀψ δ' ἐλόμην χάρμῃ, λαιμὸν δ' ἄπληστον ἄμυξα. Attica Coena.
Ἦλθε δὲ Νηρῆος θυγάτηρ, Θέτις ἀργυρόπεζα,
σηπίη εὐπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα·
ἣ μόνη, ἰχθὺς ἐοῦσα, τὸ λευκὸν καὶ μέλαν οἶδε.
Καὶ Τιτυὸν εἶδον λίμνης, ἐρικυδέα γόγγρον,
κείμενον ἐν λοπάδεσσ'· ὁ δ' ἐπ' ἐννέα κεῖτο τραπέζας.
Τῷ δὲ μετ' ἴχνια βαῖνε θεὰ λευκώλενος ἰχθὺς
d ἔγχελυς, ἣ Διὸς εὔχετ' ἐν ἀγκοίνῃσι μιγῆναι
ἐν κοιτῶν', ὅθεν ἐγχέλεων γένος ἀγροτεράων·
παμμεγέθης, ἣν οὔ κε [1] δύ' ἀνέρες ἀθλητῆρες,
οἷοι ἄρ' Ἀστυάναξ τε καὶ Ἀντήνωρ ἐγένοντο,
ῥηϊδίως ἐπ' ἄμαξαν ἀπ' οὔδεος ὀχλίσσειαν·
τρισπίθαμοι γὰρ ταί γε [2] καὶ ἐννεαπήχεες ἦσαν
εὖρος, ἀτὰρ μῆκός γε γενέσθην ἐννεόργυιοι.

1 οὐδὲ edd. 2 Τοί γε vel τώ γε legebam.

per vim retro abſtraxi, guttur vero inexplebile laceravi.
Venit deinde Nerei filia, argenteis pedibus Thetis,
ſepia pulcris-cincinnis-comata, magna Dea celebrata,
quae ſola, cum piſcis ſit, & album & nigrum novit.
Tityum etiam vidi lacuum, congrum illuſtrem,
iacentem in lancibus, & ad novem menſas porrectum.
Hunc e veſtigio ſequebatur Dea albis-ulnis piſcis
Anguilla, quae Iovis gloriatur in ulnis mixta fuiſſe
in cubili, unde anguillarum genus agreſtium.
Ingente magnitudine erat, quam ne duo quidem viri athletae,
quales Aſtyanax fuere & Antenor,
facile in plauſtrum a ſolo promoviſſent:
fuerat tamen his quidem trium ſpithamarum & novem cubitorum
latitudo, longitudo autem novem ulnarum.

Matronis parodi

Πολλὰ δ' ἄναντα κάταντα κατὰ στέγας [1] ἦλθ' ὁ μάγειρος,
σείων ὀψοφόρους πίνακας κατὰ δεξιὸν ὦμον.
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι χύτραι ἕποντο· e
αὐτὰρ ἀπ' Εὐβοίας [2] λοπάδες τόσαι ἐστιχόωντο.
Ἶρις δ' ἄγγελος ἦλθε ποδήνεμος, ὠκέα τευθὶς, 50
πέρκη τ' ἀνθεσίχρως, καὶ ὁ δημοτικὸς μελάνουρος·
ὃς, καὶ θνητὸς ἐὼν, ἕπετ' ἰχθύσιν ἀθανάτοισιν.
Οἴη δ' αὖ θύννου κεφαλὴ θαλαμηϊάδαο
νόσφιν ἀφειστήκει, κεχολωμένη οὕνεκα τευχέων
αἱρομένων· τὸ δὲ πῆμα θεοὶ θέσαν ἀνθρώποισι. 55
Ῥίνη, τὴν φιλέουσι περισσῶς τέκτονες ἄνδρες, f
τρηχεῖ', ἀλλ' ἀγαθὴ κουροτρόφος· οὐ γὰρ ἔγωγε
ἧς σαρκὸς δύναμαι γλυκερώτερον ἄλλο ἰδέσθαι.
Ὀπταλέος δ' εἰσῆλθε πελώριος ἱππότα κεστρεύς·

1 κατὰ στίχας Br. cum Scal. 2 ἐπ' Εὔβοιαν edd. cum ms. *A.* quod ex ἐς εὐβοσίαν corruptum ſuſpicari licebat.

Multum vero ſurſum deorſumque per aedes coquus obibat,
quatiens obſoniis-onuſtas lances dextro ſuper humero:
ſimulque eum quadraginta nigrae ollae ſequebantur,
& ex Euboea lances totidem ordine incedebant.
Venit autem Iris nuncia pedibus-ventos-aequans, velox Loligo,
& Perca variegata, & plebeius Melanurus;
qui, mortalis cum ſit, immortales tamen piſces comitabatur.
Solitarium deinde Thynni caput e cubili ſuo exciti
ſeorſim ſtabat, iratum membrorum cauſſa
ablatorum: iſtud malum Dii intulerant hominibus.
Tum Squatina, quam ſupra modum amant fabri,
aſpera cute, ſed quae optime nutrit adoleſcentes: nec enim equidem
ipſius carne ſuaviorem aliam videre potui ullam.
Aſſus vero ingrediebatur immani-corpore eques Mugil:

οὐκ οἷος, ἅμα τῷ γε δυώδεκα σαργοὶ ἕποντο. 60 Attica Coena.
Κυανόχρως δ' ἀμίας ἐπὶ τοῖς μέγας, ὅς τε θαλάσσης
πάσης βένθεα οἶδεν, Ποσειδάωνος ὑποδμώς·
a καρῖδές θ', αἳ Ζηνὸς ὀλυμπίου εἰσὶν ἀοιδοί,
αἳ δὴ ἰδεῖν κυφαὶ μὲν ἔσαν, χρησταὶ δὲ πάσασθαι·
χρύσοφρυς, ὃς κάλλιστος ἐν ἄλλοις ἵσταται ἰχθύς, 65
κάραβος, ἀστακὸς αὖτε, λιλαίετο θωρήσσεσθαι
ἐν μακάρων δείπνοις. τοῖς δαιτυμόνες χέρ' ἐφέντες,
ἐν στόμασιν ἔθεσαν, καὶ ἀπήγαγον ἄλλυδις ἄλλον.
Τῶν δ' ἄρ' ἔλοψ κρείων δουρικλυτὸς ἡγεμόνευεν,
b οὗ, πλήρης περ ἐὼν, κρατερῶς παλάμῃ ἐπορέχθην, [1] 70
γεύσασθ' ἰμείρων· τὸ δέ γ' ἀμβροσίη μοι ἔδοξεν
εἶν', ἣν δαίνυνται μάκαρες θεοὶ αἰὲν ἐόντες.
Μύραιναν δ' ἐπέθηκε φέρων, τὸ κάλυμμα τραπέζης,

1 παλάμῃ ἐπορέχθη edd. & ms. *A.*

non ſolus: comitabantur eum duodecim Sargi.
Praeter hos caerulei coloris Amias magnus, qui univerſi
maris profundos gurgites novit, famulus Neptuni:
& Squillae, quae Iovis Olympii ſunt cantores;
eaedem adſpectu quidem gibbae, ſed guſtu ſuaviſſimae.
Tum Chryſophrys, qui pulcerrimus eſt inter alios piſces,
Locuſta praeterea & Aſtacus armari gaudebant
beatorum in coenis: quibus convivae manus iniicientes,
devorant ſingulos, & alium abstrahunt alio.
His praeerat dux haſtâ-inclytus Elops:
ad quem, tametſi iam ſatur, ſtrenue manum porrexi,
guſtare cupiens: & videbatur id mihi Ambroſia
eſſe, quam epulantur beati Dii immortales.
Tum Muraenam ferens adpoſuit, quae totam menſam tegebat,

Matronis parodi

ζώνην θ', ἣν Φορέεσκεν ἀγαλλομένη περὶ δειρὴν,
εἰς λέχος ἡνίκ' ἔβαινε δρακοντιάδῃ μεγαθύμῳ.
Σάνδαλα δ' αὖ παρέθηκεν ἀειγενῆ ἀθανατάων·
βούγλωσσον, ὃς ἔναιεν ἐν ἅλμῃ μορμυρούσῃ. c
κίχλας δ' ἐξείης ἠβήτορας, ὑψιπετήεις,
καὶ πέτρας καταβοσκομένας, θυάδας θ' [1] ὑδατίνους.
Ἐν δ' ἀναμὶξ σάργοι τε, καὶ ἵππουροι, γλάνιές τε·
μορμύρος ἄντα δ' ἐῆν, γαλέη, σπάρος [2] οὓς [3] ὁ μάγειρος
σίζοντας παρέθηκε Φέρων, κνίσσωσε δὲ δῶμα.
Τῶν ἔλεγεν δαίνυσθαι· ἐμοὶ δέ γε θηλυτεράων
εἶναι βρώματ' ἔδοξεν· ἐπεὶ δ' ὄρμαινον ἐπ' ἄλλα. d
Κεῖτο δέ τις βοτάνη, [4] ἧς οὐδεὶς ἤπτετο δείπνῳ, [5]

1 συάδας θ' vel ὑάδας θ' ſuſpicatus ſum. 2 Vulgo μέγαλη σπάρος. 3 ἧς edd. cum ms. *A.* 4 βοτάννης edd. vett. βατάννης ms. *A.* Unde βατάνη forſan legendum. βατὶς *Epit.* 5 δείπνου *Epit.* Hoeſch. quod non diſplicet.

cum cingulo, quod laeta geſtat illa circa cervicem,
quando it concubitum cum magnanimo filio Draconis.
Sandalia etiam adponebat immortalia Dearum;
Soleam, quae habitat in mari fremente.
Turdos deinde (piſces) pubeſcentes, altivolos,
& inter ſaxa cibum quaerentes, ſcopulosque marinos.
Mixti his Sargi erant, & Hippuri, & Glanies:
e regione vero erat Mormyr, Muſtela, Sparus; quos coquus
adhuc e ſartagine ſtridentes adpoſuit, & coenaculum nidore implevit.
His ut veſceremur, hortatus eſt: at mihi mulierciarum
eſſe hic cibus videbatur; ad alia quippe ferebar.
Adpoſita vero erat herba [ſive, patina] quaedam, quam
nemo tangebat comedendi cauſſa,

ἐν καθαρῷ, ὅθι περ λοπάδων διεφαίνετο χῶρος. Attica Coena.
Ἑξῆς κόσσυφος ἦλθε μόνος, γεύσασθαι ἕτοιμος·
οὐ μὴν οὐδ' ἄρ' ἄθικτος ἔην, πόθεον δὲ καὶ ἄλλοι.
Κωλῆν δ' εἰσεῖδον πῶς ἔτρεμεν, ἐν δὲ σίναπυ
κεῖτ' ἀγχοῦ γλυκὺ, καὶ πλείας χέρας οὐκ ἀπέρυκον.[1]
γευσάμενος δ' ἔκλαιον, ὅτ' αὔριον οὐκέτι ταῦτα
ὄψομαι, ἀλλά με τυρῷ δεῖ καὶ μάζῃ ὀτρηρῇ
. . . . . .[2]
e νηλὴς δ' οὐχ ὑπέμεινε, βιάζετο γὰρ ῥακέεσσι·[3]
δάμνα μιν ζωμός τε μέλας, ἀκροκώλιά θ' ἑφθά.
Παῖς δέ τις ἐκ Σαλαμῖνος ἄγεν τρεισκαίδεκα νήσσας,
λίμνης ἐξ ἱερῆς, μάλα πίονας· ἃς ὁ μάγειρος

1 Corruptissime vulgo κεῖτ' ἀγχοῦ γλυκὺ πλείονα, χρυσὸς ὢν ἀπερύκων. Hunc versum cum superiore Brunckius, praeeunte Scaligero, sic constituit:

Κωλῆν δ' ὡς εἶδον, ὡς ἔτρεμον, ἐν δὲ σίναπι
κεῖτ' ἀγχοῦ κύλικι πλείῃ· χέρας ὧν ἀπέρυκον.

2 Unius aut plurium versuum iacturam, praeeunte Brunckio, h. l. indicatam volui. 3 ῥαδέεσσι est in mstis omnibus. Fors. ῥαχέεσσι debuerant.

in medio, ubi inter lances spatium conspiciebatur.
Dein Merula (piscis) venit solitaria, ad gustandum parata:
nec sane intacta erat, expetebant enim & alii.
Pernam vero vidi ut tremebat, atque etiam sinapi
prope positum dulce; & non abstinui quin plenis manibus caperem.
Postquam vero gustassem, flevi, quod postridie non amplius ista
visurus essem, sed me oporteret caseo & maza subitaria
. . . . . .
crudelis vero non duravit; vi enim in frusta discerpta est:
domabat eam ius nigrum, & trunculi elixi.
Puer vero quidam ex Salamine tredecim attulit Anates,
sacro e stagno, praepingues: quas coquus sumtas

Matronis parodi

ϑῆκε Φέρων ἵν' Ἀθηναίων κατέκειντο Φάλαγγες.
Χαιρεφόων δ' ἐνόησεν ἅμα πρόσσω καὶ ὀπίσσω
ὄρνιθας γνῶναι, καὶ ἐναίσιμα σιτίζεσθαι·
ἤσθιε δ' ὥς τε λέων, παλάμῃ δ' ἔχε τὸ σκέλος ἧ
αὐτοῦ,
ὄφρα οἱ οἴκαδ' ἰόντι πάλιν ποτιδόρπιον εἴη.
Χόνδρος δ' ἡδυπρόσωπος, ὃν Ἥφαιστος κάμεν
ἕψων,
Ἀττικῷ ἐν κεράμῳ πέττων τρισκαίδεκα μῆνας.
Αὐτὰρ ἐπεὶ δόρποιο μελίφρονος ἐξ ἔρον ἔντο,
χεῖρας νιψαμένοισιν ἀπ' ὠκεανοῖο ῥοάων,
ὡραῖος παῖς ἦλθε Φέρων μύρον ἴρινον [1] ἡδύ·
ἄλλος δ' αὖ στεφάνους ἐπιδέξιὰ πᾶσιν ἔδωκεν, a
οἳ ῥόδον ἀμφεπλέκοντο, διάνδιχα κοσμηθέντες.
Κρητὴρ δὲ Βρομίου ἐκεράννυτο· πίνετο δ' οἶνος
Λέσβιος, οὗ δὴ πλεῖστον ἀνὴρ ὑπὲρ ἄνδρα πεπώ-
κει.

1 ἠρινὸν vulgo.

posuit ubi Athenienſium cubabant phalanges.
Chaerephon vero animo antrorſum cogitabat retrorſumque,
cognoſcere aves, auſpicatoque illis veſci:
comedebat autem veluti leo, crus autem manu tenebat ſua,
quod ipſi domum reverſo coenae loco rurſus eſſet.
Alica etiam adfuit, ſpecioſa facie, quam Vulcanus elaboravit elixam,
Attica in olla percoquens tredecim menſes.
Verum ubi coenae mellitae expuliſſent deſiderium,
manusque laviſſent oceani fluentis,
formoſus puer venit adferens ſuave oleum liliaceum:
alius vero coronas dextre omnibus diſtribuit,
roſis intertextas, diverſisque modis ornatas.
Tum poculum Bacchi miſcebatur; bibebaturque vinum
Lesbium, de quo plurimum certatim omnes bibebant.

Δεύτεραι αὖτε τράπεζαι ἐφωπλίζοντο γέμουσαι· Attica Coena.
b ἐν δ' αὐταῖσιν ἐπῆν ἄπιοι καὶ πίονα μῆλα,
ῥοιαί τε, σταφυλαί τε, Θεοῦ Βρομίοιο τιθῆναι,
πρόσφατος [1] ἦν Θ' ἁμάμαξυν ἐπίκλησιν καλέουσι.
τῶν δ' ἐγὼ οὐδενὸς ἦσθον ἁπλῶς, μεστὸς δ' ἀνέκειμην.
ὡς δὲ ἴδον ξανθὸν γλυκερὸν μέγαν ἔγκυκλον, ἄνδρες,
Δήμητρος παῖδ', ὀπτὸν ἐπεισελθόντα πλακοῦντα·
c πῶς ἂν ἔπειτα πλακοῦντος ἐγὼ θείου ἀπεχοίμην;
οὐδ' εἴ μοι δέκα μὲν χεῖρες, δέκα δὲ στόματ' εἶεν,
γαστὴρ δ' ἄῤῥηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη.
Πόρναι δ' εἰσῆλθον, κοῦραι [2] δύο θαυματοποιοί,
ἃς Στρατοκλῆς ἤλαυνε, ποδώκεας ὄρνιθας ὥς.

Ἄλεξις δ' ἐν Συντρέχουσιν, ἐπισκώπτων τὰ Ἀττικὰ δεῖπνα, φησίν· XIV.

1 πρόσφατοι corr. Heinf. 2 Rurſus h. l. πόρναι edd. cum ms. *A*.

Secundae dein menſae inſtruebantur onuſtae:
in his pira erant, & pinguia mala,
& punica, & uvae, Bromii Dei nutrices,
& nupera illa, quam hamamaxyn cognomine dicunt.
Horum vero nihil omnino comedi, ſed ſatur recubui.
Ut autem vidi flavam, dulcem, magnam, rotundam, o viri,
Cereris filiam, furno coctam, ingredientem Placentam,
tum vero quo pacto divâ ego placentâ abſtinuiſſem?
Non; ſi decem mihi manus, ſi ora decem fuiſſent,
& venter rumpi-neſcius, & cor mihi fuiſſet aeneum.
Meretrices dein intrarunt puellae duae praeſtigiatrices,
quas Stratocles agitabat, pedibus veloces, veluti aves.

14. Alexis vero, in Concurrentibus, Atticis coenis irridens ait:

Tenues coenae Atticae.

Ἔγωγε δύο λαβεῖν μαγείρους βούλομαι,
οὓς ἂν σοφωτάτους δύνωμαι ἐν τῇ πόλει. d
μέλλοντα [1] δειπνίζειν γὰρ ἄνδρα Θετταλὸν,
οὐκ Ἀττικηρῶς, οὐδ' ἀπηκριβωμένως
λιμῷ παρελθεῖν, ἀλλὰ δεῖ * [2] καθ' ἓν
ἕκαστον αὐτοῖς παρατιθέντα μεγαλίως. * [3]

Εὐτράπεζοι δ' εἰσὶν ὄντως οἱ Θετταλοί· καθὰ καὶ Ἐριφός φησιν ἐν Πελταστῇ, οὕτως·

Τὰ δ' οὐ Κόρινθος, οὔτε Λαὶς, ὦ Σύρε·
οὐδ' εὐτραπέζων Θετταλῶν ξένων τροφαὶ,
ὧν οὐκ ἄμοιρος ἥδε χεὶρ ἐγίνετο.

Ὁ δὲ τοὺς εἰς Χιωνίδην ἀναφερομένους Πτωχοὺς ποιήσας, τοὺς Ἀθηναίους φησὶν, ὅταν τοῖς Διοσκούροις ἐν πρυτανείῳ ἄριστον προτιθῶνται, ἐπὶ τῶν τραπεζῶν τιθέναι τυρὸν, καὶ φύστην, δρυπεπεῖς τ' ἐλάας, καὶ e

1 μέλλοντε corr. Caſ. 2 ἃ δεῖ καθ' ἓν ms. *A.* ἀλλὰ δεῖ καθ' ἓν ed. Ven. ἀλλὰ δὴ καθ' ἓν ed. Baſ. & Caſ. Omiſit *Ep.* Claudicans verſus defectum arguebat. 3 μεγαλείως δέ. dant mssti.

Ego quidem duos conducere coquos volo,
quos peritiſſimos reperire tota urbe potero.
Nam qui virum vult hoſpitio excipere Theſſalum,
is non Attica tenuitate id facere debet, neque exacte
cum fame congredi: ſed debet ſigillatim
unumquodque his adponere magnifice.

Vere autem lautarum menſarum amici ſunt Theſſali; quemadmodum & Eriphus docet in Peltaſta, his verbis:

Haec ſic non Corinthus, neque Lais (adminiſtrat:) Syre!
nec ſunt haec lautas - menſas - amantium Theſſalorum
edulia,
quorum non exſors haec manus fuit.

Auctor vero fabulae, quae Mendici inſcribitur, quem Chionidem eſſe perhibent, Athenienſes, ait, cum Dioscuris in Prytaneo prandium exhibent, menſis imponere caſeum, & phyſten mazam, & druppas olivas, &

πρᾶσα, ὑπόμνησιν ποιουμένους τῆς ἀρχαίας ἀγωγῆς. Σόλων δὲ τοῖς ἐν πρυτανείῳ σιτουμένοις μάζαν παρέχειν κελεύει· ἄρτον δὲ ταῖς ἑορταῖς προσπαρατιθέναι, μιμούμενος τὸν Ὅμηρον. καὶ γὰρ ἐκεῖνος, τοὺς ἀριστεῖς συνάγων πρὸς τὸν Ἀγαμέμνονα „Φύρετο δ' ἄλφιτα" φησίν. Χρύσιππός τ', ἐν τετάρτῳ Περὶ τοῦ Καλοῦ καὶ τῆς Ἡδονῆς, φησίν· [1] „Ἐν Ἀθήναις δὲ ἱστοροῦσιν, οὐ πάνυ ἀρχαίων δυεῖν [2] γενομένων δείπνων, ἐν Λυκείῳ τε, καὶ Ἀκαδημίᾳ, τοῦ μὲν εἰς τὴν Ἀκαδημίαν εἰσενέγκαντος ὀψοποιοῦ λοπάδα πρὸς ἑτέραν τινὰ χρείαν, τὸν κέραμον κατάξαι πάντας τοὺς ἱεραποιούς· ὡς μακρόθεν οὐκ ἀστείας παρεισδύσεως γινομένης, δέοντος ἀπέχεσθαι τῶν μακρόθεν. [3] τὸν δ' ἐν τῷ Λυκείῳ, κρέας ταριχηρὸν εἰς τάριχος διασκευά-

1 Inde a verbis Χρύσιππός τ' ἐν τετ. desunt omnia editis. 2 δυοῖν edd. 3 τούτων μακρ. mssti noſtri. Forſ. τούτων τῶν μακρ.

porrum, revocandae in memoriam cauſſa priſtinae vivendi rationis. Solon vero his qui in Prytaneo alebantur praeberi mazam iuſſit, panem vero adiicere feſtis diebus: in quo Homerum eſt imitatus; nam & ille, convocatis ad Agamemnonem optimatibus, *pinſi farinam*, ait. Et Chryſippus, libro quarto DE Honeſto & Voluptate, ſcribit: »Athenis, narrant, cum duae coenae non admodum vetuſtâ memoriâ celebrarentur, altera in Lyceo, altera in Academia; poſtquam obſoniorum coquus in Academiam intuliſſet patinam ad alium quemdam uſum pertinentem, omnes ſacrificii participes vas confregiſſe, quippe quod e longinquo & contra civitatis inſtitutum irrepſiſſet; cum abſtinere his oporteret, quae e longinquo eſſent invecta. In Lyceo vero coquum, qui ſalitam carnem ita paraſſet, ut eam pro ſalſamento ex piſcibus adponeret, flagris caeſum eſſe,

σαντα, μαστιγωθῆναι ὡς παρασοφιζόμενον πονηρῶς.“ Πλάτων δ' ἐν δευτέρῳ Πολιτείας οὕτως ἐστιᾷ τοὺς a αὐτοῦ νεοπολίτας, γράφων· „Ἄνευ ὄψου, ἔφη, ὡς ἔοικας, ποιεῖς τοὺς ἄνδρας ἑστιωμένους. Ἀληθῆ, ἦν δ' ἐγώ, λέγεις· ἐπελαθόμην, ὅτι καὶ ὄψον ἕξουσιν, ἅλας τε δηλονότι, καὶ ἐλαίας, καὶ τυρὸν, καὶ βολβούς· καὶ λάχανά γε, οἷα δὴ ἐν ἀγροῖς, ἑψήματα ἑψήσονται· [1] καὶ τραγήματά που παραθήσομεν αὐτοῖς, τῶν τε συκῶν, καὶ ἐρεβίνθων, καὶ κυάμων· καὶ μύρτα καὶ φηγοὺς σποδιοῦσι πρὸς τὸ πῦρ, μετρίως ὑποπίνοντες. καὶ οὕτως διάγοντες τὸν βίον ἐν εἰρήνῃ, μετὰ ὑγιείας, ὡς εἰκὸς, γηραιοὶ τελευτῶντες ἄλλον b τοιοῦτον βίον τοῖς ἐκγόνοις παραδώσουσιν.“

XV. Lacedaemoniorum convivia.

Ἑξῆς δὲ λεκτέον καὶ περὶ τῶν Λακωνικῶν συμποσίων. Ἡρόδοτος μὲν οὖν ἐν τῇ ἐννάτῃ τῶν Ἱστοριῶν, περὶ τῆς Μαρδονίου παρασκευῆς λέγων, καὶ μνημο-

1 ἑψήματά τε ἑψήσονται edd. cum ms. *A.* ἑψήματα ἕσονται *Epit.*

tamquam hominem improbe ingeniosum impostoremque. « Pari modo Plato coenantes novos suos cives facit, secundo libro Reipublicae ita scribens: » Absque obsonio, ut videtur, cibum capientes facis homines. ' Vera, inquam ego, memoras: oblitus eram, habituros eos etiam obsonium, salem nempe, & olivas, & caseum, & bulbos: atque etiam olera, ut quidem in agris gignuntur, elixabuntur; quin & bellaria quaedam eis adponemus, ex ficis, erebinthis, & fabis; & myrti baccas & aesculi glandes ad ignem torrebunt, & modico potu utentur. Atque ita vitam agentes in pace & bona valetudine, ut consentaneum est, cum aetate graves decessuri sunt, similem vitae rationem posteris tradent. «

15. Deinceps de *Lacedaemoniorum* etiam dicendum est *conviviis*. Herodotus quidem, nono Historiarum, de Mardonii adparatu locutus, iniecta mentione Laconico-

νεύσας Λακωνικῶν συμποσίων, φησί· „Ξέρξης, φεύγων ἐκ τῆς Ἑλλάδος, Μαρδονίῳ τὴν παρασκευὴν κατέλιπε τὴν αὐτοῦ. Παυσανίαν οὖν, ἰδόντα τὴν τοῦ Μαρδονίου παρασκευὴν, χρυσῷ καὶ ἀργύρῳ καὶ παc ραπετάσμασι ποικίλοις κατεσκευασμένην, κελεῦσαι τοὺς ἀρτοποιοὺς καὶ ὀψοποιοὺς κατὰ ταυτὰ, καθὼς Μαρδονίῳ, δεῖπνον παρασκευάσαι. ποιησάντων δὲ τούτων τὰ κελευσθέντα, τὸν Παυσανίαν ἰδόντα κλίνας χρυσᾶς καὶ ἀργυρᾶς ἐστρωμένας, καὶ τραπέζας ἀργυρᾶς, καὶ παρασκευὴν μεγαλοπρεπῆ δείπνου, ἐκπλαγέντα τὰ προκείμενα, [1] κελεῦσαι ἐπὶ γέλωτι τοῖς ἑαυτοῦ διακόνοις παρασκευάσαι Λακωνικὸν δεῖπνον. καὶ παρασκευασθέντος, γελάσας ὁ Παυσανίας, μετεπέμψατο τῶν Ἑλλήνων τοὺς στρατηγούς· d καὶ ἐλθόντων, ἐπιδείξας ἑκατέρου τῶν δείπνων τὴν παρασκευὴν, εἶπεν· Ἄνδρες Ἕλληνες, συνήγαγον ὑμᾶς, βουλόμενος ἐπιδεῖξαι τοῦ Μήδων ἡγεμόνος τὴν ἀφροσύνην· ὃς τοιαύτην δίαιταν ἔχων ἦλθεν ὡς ἡμᾶς, οὕτω

1 Vulgo ἐκπλαγέντα, καὶ τὰ προκείμενα κελ.

rum conviviorum, ait: »Xerxes, ex Graecia profugiens, adparatum ſuum reliquerat Mardonio. Quem ubi adparatum vidit Pauſanias, auro & argento & variegatis tapetibus inſtructum, iuſſit (inquit) piſtores & coquos coenam eodem modo, quo ſoliti eſſent Mardonio, parare. Qui cum imperata feciſſent, conſpicatus Pauſanias ſtratos aureos argenteosque lectulos, & argenteas menſas, & magnificum coenae adparatum, ſtupefactus propoſitis rebus, iuſſit ioci cauſſa ſuos famulos Laconicam parare coenam. Qua parata, ridens Pauſanias convocavit Graecorum duces, eisque, ubi convenerunt, monſtrans utriusque coenae adparatum, ait: *Convocavi vos, viri Graeci, ut ſtultitiam vobis oſtenderem ducis Medorum; qui, cum lautam adeo vitam agat, ad nos ve-*

ταλαίπωρον ἔχοντας. " Φασὶ δέ τινες, καὶ ἄνδρα Συβαρίτην ἐπιδημήσαντα τῇ Σπάρτῃ, καὶ συνεστιαθέντα ἐν τοῖς Φειδιτίοις, εἰπεῖν· Εἰκότως ἀνδρειότατοι ἁπάντων εἰσὶ Λακεδαιμόνιοι· ἔλοιτο γάρ τις εὖ φρονῶν μυριάκις ἀποθανεῖν, ἢ οὕτως εὐτελοῦς διαίτης μεταλαβεῖν. [1]

XVI.

Copis & αἴκλον Spartanorum, ex Polemone.

Πολέμων δ', ἐν τῷ Περὶ τοῦ παρὰ Ξενοφῶντι Καινάθρου· [2] „Τοῦ παρὰ Λάκωσι καλουμένου δείπνου Κοπίδος, φησὶ, [3] μνημονεύοντα Κρατῖνον ἐν Πλούτοις λέγειν· [4]

Ἆρ' ἀληθῶς τοῖς ξένοισίν ἐστιν, ὡς λέγουσ', ἐκεῖ
πᾶσι τοῖς ἐλθοῦσιν ἐν τῇ κοπίδι θοινᾶσθαι καλῶς·
ἐν δὲ ταῖς λέσχαισι φύσκαι προσπεπατταλευμέναι
κατακρέμανται τοῖσι πρεσβύταισιν ἀποδάκνειν ὀδάξ;

1 ἀπολαύειν ms. *Epit.* in contextu, & μεταλαβεῖν inter lineas. 2 Vulgo ἐν τῷ παρὰ Ξενοφῶντι Καινάθρῳ. 3 Deeſt vulgo verbum φησὶ, e coniectura a nobis adiectum. 4 λέγειν tenet ms. *A.* cum edd. vett. λέγει ed. Caſ.

nit, tam miſere viventes.« Aiunt etiam, quemdam genere Sybaritam, cum Spartae agens in Phiditiis coenaret, dixiſſe: *Merito hominum omnium fortiſſimi ſunt Spartani: nam, cui cor ſapit, is decies millies mortem praeoptabit tam miſerae vivendi rationi.*

16. Polemon vero, in commentario de Canathro apud Xenophontem, ſic ſcribit: » Coenae eius, quae *Copis* apud Lacedaemonios vocatur, mentionem faciens Cratinus in Plutis ait:

Revera-ne hoſpitibus, ut aiunt, licet ibi
omnibus, quicumque veniunt, in Copide epulari laute:
in Leſchis vero hillae clavis adfixae
pendent, quas ſenes dentibus mordeant?

f καὶ Εὔπολις ἐν Εἴλωσι·

Καὶ γένηται τοῖσδε σάμερον κοπίς. — — —

Δεῖπνον δ' ἐστὶν ἰδίως ἔχον ἡ κοπὶς, καθάπερ καὶ τὸ καλούμενον ἄϊκλον.[1] Ἐπὴν δὲ κοπίζωσι, πρῶτον μὲν δὴ σκηνὰς ποιοῦνται παρὰ τὸν θεόν· ἐν δὲ ταύταις στιβάδας ἐξ ὕλης· ἐπὶ δὲ τούτων δάπιδας ὑποστρωννύουσιν, ἐφ' αἷς τοὺς κατακλιθέντας εὐωχοῦσιν, οὐ μόνον τοὺς ἐκ τῆς ἡμεδαπῆς ἀφικνουμένους, ἀλλὰ καὶ τοὺς ἐπιδημήσαντας τῶν ξένων. θύουσι δ' ἐν ταῖς κοπίσιν αἶγας, ἄλλο δ' οὐδὲν ἱερεῖον· καὶ τῶν
a κρεῶν διδόασι μοίρας πᾶσι, καὶ τὸν καλούμενον Φυσίκιλλον, ὅς ἐστιν ἀρτίσκος ἐγκρίδι παραπλήσιος, γογγυλώτερος δὲ τὴν ἰδέαν. διδόασι[2] τῶν συνιόντων ἑκάστῳ τυρὸν χλωρὸν, καὶ γαστρὸς καὶ φύσκης τόμον, καὶ τραγήματα, σῦκά τε ξηρὰ, καὶ κυάμους,

1 Vulgo αἴϊκλον ſcribunt cum h. l. tum fere conſtanter deinde. Aut ἄϊκλον debebant, aut αἶκλον. 2 διδόασι δὲ καὶ τῶν lego.

Et Eupolis in Ilotibus:

Et paretur hiſce hodie Copis. — — —

Eſt autem peculiare coenae genus *copis*, quemadmodum & *aiclon* (ſive *aeclon*) quod vocant. Cum igitur *copidem* celebrant, primum quidem tentoria erigunt iuxta Dei fanum; tum in his ſtramenta ſternunt ex fronde, eaque tapetibus tegunt, quibus diſcumbentes hoſpitio excipiunt non modo qui noſtra e terra adveniunt, ſed & peregrinos Spartae agentes. Immolant vero in copidibus capras, & nullam aliam praeterea victimam. Diſtribuunt vero carnium portiones omnibus, & quem vocant phyſicillum, qui eſt exiguus panis, encridi ſimilis, formâ vero rotundiore. Diſtribuunt etiam convenientium unicuique caſeum recentem, & ventris & hillae fruſtum; & pro bellariis, ficos ſiccas, & fabas,

καὶ Φασήλους χλωρούς. κοπίζει δὲ [1] καὶ τῶν ἄλλων [2] Σπαρτιατῶν ὁ βουλόμενος. Ἐν δὲ τῇ πόλει κοπίδας ἄγουσι καὶ τοῖς Τιθηνιδίοις καλουμένοις ὑπὲρ τῶν παίδων. κομίζουσι γὰρ αἱ τίτθαι τὰ ἄῤῥενα παιδία κατὰ τὸν καιρὸν τοῦτον εἰς ἀγρὸν, [3] καὶ πρὸς τὴν Κορυθαλλίαν καλουμένην Ἄρτεμιν, ἧς τὸ ἱερὸν παρὰ b τὴν καλουμένην Τίασσόν ἐστιν, [4] ἐν τοῖς πρὸς τὴν Κλήταν μέρεσι, τὰς κοπίδας παραπλησίως ταῖς λελεγμέναις ἐπιτελοῦσι· θύουσι δὲ καὶ τοὺς γαλαθηνοὺς ὀρθαγορίσκους, καὶ παρατιθέασιν ἐν τῇ θοίνῃ τοὺς ἰπνίτας ἄρτους. Τὸ δὲ ἄϊκλον [5] ὑπὸ μὲν τῶν ἄλλων Δωριέων καλεῖται δεῖπνον. Ἐπίχαρμος γοῦν ἐν Ἐλπίδι φησίν· „Ἐκάλεσε γάρ τυ [6] τις ἐπ' ἄϊκλον ἑκών. τὺ δὲ ἑκὼν ὤχεο [7] τρέχων.“ τὰ αὐτὰ εἰ-

1 ἔξω τῆς πόλεως inferendum cenſuit Meurſ. cum Dalech. Vide vero, ne deinde potius ſic oportuerit ὁ βουλόμενος ἐν τῇ πόλει. Κοπίδας δ' ἄγουσι &c. 2 ἄλλων deeſt *Epit.* 3 εἰς ἀγορὰν *Epit.* 4 Τίασσάν ἐστιν corr. Caſaub. 5 Τὸ δὲ ἄϊκλον καλούμενον edd. ὅτι ἄϊκλον ὑπὸ τῶν Δωριέων καλεῖται τὸ δεῖπνον. *Epit.* 6 Vulgo γάρ τοι. 7 ὤχετο vulgo.

& phaſeolos recentes. Copidem vero celebrat & reliquorum Spartanorum quicumque vult. In urbe vero copidas etiam celebrant [*ſive*, quicumque vult, in urbe. Celebrant vero etiam copidas] *Tithenidiorum*, quae vocantur, (i. e. Nutriciorum) feſtis diebus, pro puerorum ſalute. Tunc enim parvulos in agrum exportant nutrices, & prope Corythalliam quam vocant Dianam (cuius templum eſt ad Thiaſam fontem qui vocatur, qua parte Cletae fanum eſt) copidas celebrant ſimili modo atque eas de quibus dictum eſt: ſacrificant autem lactantes porcellos, (*orthagoriſcos*,) & in epulis panes adponunt furnaceos. Ἄϊκλον vero ab aliis quidem Doribus *coena* vocatur. Epicharmus certe, in Spe, ait: *Vocavit te aliquis ad ἄϊκλον ultro. Tu vero ultro abiiſti currens.*

c ρηκεν καὶ ἐν Περιάλλῳ. Ἐν δὲ τῇ Λακεδαίμονι τοῖς εἰσιοῦσιν εἰς τὸ Φειδίτιον μετὰ δεῖπνον τὸ καλούμενον ἄϊκλον εἰσφέρουσιν, ἄρτους ἐν ἀρριχίδι, καὶ κρέας ἑκάστῳ. καὶ τῷ νέμοντι τὰς μοίρας ἀκολουθῶν ὁ διάκονος κηρύττει τὸ ἄϊκλον, προστιθεὶς τοῦ πέμψαντος τὴν ὀνομασίαν."

XVII. Didymus de Copide & Aeclo Spartanorum.

Ταῦτα μὲν ὁ Πολέμων. Πρὸς ὃν ἀντιλέγων Δίδυμος ὁ γραμματικὸς (καλεῖ δὲ τοῦτον Δημήτριος ὁ Τροιζήνιος βιβλιολάθαν, διὰ τὸ πλῆθος ὧν ἐκδέδωκε συγγραμμάτων· ἔστι γὰρ τρισχίλια πρὸς τοῖς d πεντακοσίοις) φησὶ τάδε· „Πολυκράτης ἐν τοῖς Λακωνικοῖς ἱστορεῖ, ὅτι τὴν μὲν τῶν Ὑακινθίων θυσίαν οἱ Λάκωνες ἐπὶ τρεῖς ἡμέρας συντελοῦσιν, καὶ διὰ τὸ πένθος τὸ γενόμενον περὶ τὸν Ὑάκινθον οὔτε στεφανοῦνται ἐπὶ τοῖς δείπνοις, οὔτε ἄρτον εἰσφέρουσιν, ἀλλὰ πέμματα [1] καὶ τὰ τούτοις ἀκόλουθα διδόασι,

1 Exſpectaſſes οὐδὲ πέμματα.

Eademque dixit etiam in Periallo. Lacedaemone vero eis, qui in Phiditium convenerunt, poſt coenam adferunt hoc quod ἄϊκλον vocant, panes in corbicula & carnem unicuique: & eum, qui portiones diſtribuit, comitatur famulus, ἄϊκλον proclamans, & nomen edens eius qui illud miſit."

17. Haec Polemon: cui contradicens Didymus Grammaticus (quem *librorum-immemorem* [ſive, *librificem*] vocat Demetrius Troezenius, ob librorum quos edidit multitudinem, numero ad quingentos ſuper tria millia) haec ſcribit: »Polycrates in Laconicis narrat, *Hyacinthiorum* ſacrum Lacedaemonios per tres dies continuos celebrare; & ob luctum, quo interemtum Hyacinthum deflent, nec coronari in coenis, nec panem adponere, ſed [*forſ.* nec] placentas & quae ſunt eius generis dare, nec hy-

Didymus de Copide

καὶ τὸν εἰς τὸν Θεὸν παιᾶνα οὐκ ᾄδουσιν, οὐδ' ἄλλο τι τοιοῦτον εἰσάγουσιν οὐδέν, καθάπερ ἐν ταῖς ἄλλαις θυσίαις ποιοῦσιν· ἀλλὰ μετ' εὐταξίας πολλῆς δειπνήσαντες ἀπέρχονται. Τῇ δὲ μέσῃ τῶν τριῶν ἡμερῶν γίνεται θέα ποικίλη, καὶ πανήγυρις ἀξιόλογος καὶ e μεγάλη. παῖδές τε γὰρ κιθαρίζουσιν, ἐν χιτῶσιν ἀνεζωσμένοι, καὶ πρὸς αὐλὸν ᾄδοντες, πάσας ἅμα τῷ πλήκτρῳ τὰς χορδὰς ἐπιτρέχοντες, ἐν ῥυθμῷ μὲν ἀναπαίστῳ, μετ' ὀξέος δὲ τόνου, τὸν Θεὸν ᾄδουσιν· ἄλλοι δ' ἐφ' ἵππων κεκοσμημένοι [1] τὸ θέατρον διεξέρχονται· χοροί τε νεανίσκων παμπληθεῖς εἰσέρχονται, καὶ τῶν ἐπιχωρίων τινὰ ποιημάτων ᾄδουσιν· ὀρχησταί τε ἐν τούτοις ἀναμεμιγμένοι τὴν κίνησιν ἀρχαϊκὴν ὑπὸ τὸν αὐλὸν καὶ τὴν ᾠδὴν ποιοῦνται. τῶν δὲ παρθένων f αἱ μὲν ἐπὶ κανάθρων, καμαρωτῶν ξυλίνων ἁρμάτων, φέρονται, πολυτελῶς κατεσκευασμένων· αἱ δ' ἐφ' ἁμίλλαις ἁρμάτων ἐζευγμένων [2] πομπεύουσιν, ἅπα-

1 ἀφ' ἵππων κεκοσμημένων edd. cum ms. *A*. 2 Nil mutant libri.

mnum Deo canere, nec aliud quid tale usurpare, quale aliis in sacrificiis consueviſſent; sed cum summa modestia coenatos discedere. Qui vero dies trium illorum medius est, eo fiunt varia spectacula, & memorabiles ludi magna celebritate instituuntur. Pueri enim in tunicis praecincti citharam pulsant, & ad tibiam canunt, & plectro omnes simul chordas percurrunt, & rhythmo anapaesto acutoque vocis sono Deum canunt: alii vero equis insidentes ornati per theatrum transvehuntur: & frequentes iuvenum ingrediuntur chori, patria quaedam carmina canentes; & saltatores his immixti priscos motus ad tibiam & ad canentium vocem peragunt. Virginum autem aliae *canathris*, fornicatis ligneis carpentis, vehuntur magnifice instructis: aliae, veluti certamina circensia agentes, iunctis curribus pompam

σα δ' ἐν κινήσει καὶ χαρᾷ τῆς θεωρίας ἡ πόλις καθέστηκεν. ἱερεῖά τε παμπλήθη θύουσι τὴν ἡμέραν ταύτην· καὶ δειπνίζουσιν οἱ πολῖται πάντας τοὺς γνωρίμους, καὶ τοὺς δούλους τοὺς ἰδίους· οὐδεὶς δ' ἀπολείπει τὴν θυσίαν, ἀλλὰ κενοῦσθαι συμβαίνει τὴν πόλιν πρὸς τὴν θέαν. Τῆς δὲ Κοπίδος μνημονεύει καὶ a Ἀριστοφάνης ἢ Φιλύλλιος ἐν ταῖς Πόλεσιν, Ἐπίλυκός τε ἐν Κωραλίσκῳ, λέγων οὕτως· [1]

& Acclo Spartanorum.

Πότ' ἂν [2] κοπίδ' οἴσωμαι [3] ἐν Ἀμυκλαῖον,
παραγγέλλωσι [4] βάρακες πολλοὶ [5]
κἄρτοι [6] καὶ ζωμὸς [7] μάλα ἁδύς.

διαῤῥήδην λέγων, μάζας ἐν ταῖς κοπίσι παρατίθεσθαι· (τοῦτο γὰρ οἱ Βάρακες δηλοῦσιν· οὐχὶ τολύπας, ὥς φησι Λυκόφρων, ἢ τὰ προφυράματα τῶν μαζῶν, ὡς Ἐρατοσθένης·) καὶ ἄρτους δὲ, καὶ

1 Sequentes verſus nulla certa ratione digeſſimus. 2 Forſ. Ὁπότ' ἄν. 3 οἰώσωμαι vulgo. 4 παραγγέλλοντι ſuſpicatus ſum. 5 πολλὰ οἱ vulgo; & mox 6 χάρτα ſcriptum pro χἄρτοι vel καὶ ἄρτοι. Tum 7 καὶ δωδέμοστοι, ſub quo fortaſſe καὶ σδωμὸς pro καὶ ζωμὸς latet, ſive quid etiam aliud.

ducunt. Totaque civitas in motu eſt & laetitia ſuper illis ſpectaculis. Eo die permultae mactantur victimae; & cives hoſpitio excipiunt cunctos familiares & ſuos quisque ſervos: neque quisquam a ſacris abeſt; ſed paene vacua per id tempus urbs eſt, omnibus ad ſpectacula confluentibus. Meminit vero *Copidis* etiam Ariſtophanes, ſive Philyllius, in Urbibus; tum Epilycus in Coraliſco, his verbis:

Cum copida fero ad Amyclaeum (templum,)
adnunciant (me) baraces multae,
& panes & ius ſuave admodum.

Ubi diſerte ait, *mazas* in copidibus adponi; (nam hoc ſonat vox βάρακες; non *placentas*, ut vult Lycophron; nec materiam mazarum, ut Eratoſthenes:) tum & *pa-*

Didymus de Copide

ζωμόν τινα καθηδυσμένον περιττῶς. Τίς δέ ἐστιν ἡ κοπὶς, σαφῶς ἐκτίθεται Μόλπις ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ, γράφων οὕτως· Ποιοῦσι δὲ καὶ τὰς καλουμένας κοπίδας. ἔστι δ' ἡ κοπὶς δεῖπνον, μάζα, ἄρτος, κρέας, λάχανον ὠμὸν, ζωμὸς, σῦκον, τράγημα, θέρμος. Ἀλλὰ μὴν οὐδ' ὀρθαγορίσκοι λέγονται, ὡς φησιν ὁ Πολέμων, οἱ γαλαθηνοὶ χοῖροι· ἀλλ' ὀρθραγορίσκοι, ἐπεὶ πρὸς τὸν ὄρθρον πιπράσκονται, ὡς Περσαῖος ἱστορεῖ ἐν τῇ Λακωνικῇ Πολιτείᾳ, καὶ Διοσκουρίδης ἐν δευτέρῳ Πολιτείας, καὶ Ἀριστοκλῆς ἐν τῷ προτέρῳ καὶ οὗτος τῆς Λακώνων Πολιτείας. Ἔτι φησὶν ὁ Πολέμων, καὶ τὸ δεῖπνον ὑπὸ τῶν Λακεδαιμονίων ἄϊκλον προσαγορεύεσθαι, παραπλησίως ἁπάντων Δωριέων οὕτως αὐτὸ καλούντων. Ἀλκμὰν μὲν γὰρ οὕτω φησί·

Κἠπὶ τᾷ μύλᾳ δρυφήτᾳ, [1] κἠπὶ ταῖς συναικλείαις.

1 Sic ms. *A.* nisi quod, pro more, αι scribit pro ᾳ, & accentus in locis difficilioribus non adponit. Κἤπειται (vel κἠπειτα) μύλαι,

nes, & *ius* quoddam exquisitae suavitatis. Quaenam vero sit *copis*, perspicue exponit Molpis in Lacedaemoniorum Republica, sic scribens: Peragunt etiam quas copidas dicunt. Est vero *copis* coena, cuius fercula sunt maza, panis, caro, olus crudum, ius, ficus, tragema, lupinus. Caeterum nec *orthagorisci*, ut ait Polemon, vocantur lactantes porcelli, sed *orthragorisci*, quia πρὸς τὸν ὄρθρον (*sub diluculum*) veneunt, ut Persaeus tradit in Lacedaemoniorum Republica, & Dioscorides secundo Reipublicae libro, & Aristocles in primo libro eorum quos & ipse de Lacedaemoniorum Republica scripsit. Praeterea ait Polemon, etiam coenam apud Lacedaemonios *aeclon* vocari, similiter omnibus Doribus sic eam vocantibus. Alcman enim quidem ita scribit:

& ad molam - - & ad συναικλείας.

οὕτω τὰ συνδείπνια καλῶν. καὶ πάλιν· & Aeclo Spartanorum.

Αἴκλον Ἀλκμάων ἁρμόξατο.

ἄϊκλον δ' οὐ λέγουσιν οἱ Λάκωνες τὴν μετὰ τὸ δεῖπνον μοῖραν· ἀλλ' οὐδὲ τὰ διδόμενα τοῖς Φειδιτίοις μετὰ τὸ δεῖπνον· ἄρτος γάρ ἐστι καὶ κρέας. ἀλλ' ἐπάϊκλα μὲν λέγεται ταῦτα, ὄντα οἷον ἐπιχορη-
d γήματα τοῦ συντεταγμένου τοῖς Φειδίταις ἀϊκλου· παρὰ γὰρ τοῦτο οἶμαι τὴν Φωνὴν πεποιῆσθαι. Καὶ ἔστιν ἡ παρασκευὴ τῶν λεγομένων ἐπαϊκλων οὐχ ἁπλῆ, καθάπερ ὁ Πολέμων ὑπείληφεν, ἀλλὰ διττή. ἣν μὲν γὰρ τοῖς παισὶ [1] παρέχουσι, πάνυ τις εὔκολός ἐστι, καὶ εὐτελής. ἄλφιτα γάρ ἐστιν ἐλαίῳ δεδευμένα, ἃ φησὶ Νικοκλῆς ὁ Λάκων κάπτειν αὐτοὺς μετὰ τὸ δεῖπνον ἐν φύλλοις δάφνης, παρὸ καὶ καμματίδας μὲν προσαγορεύεσθαι τὰ φύλλα· αὐτὰ δὲ τὰ ψαιστὰ, κάμματα. ὅτι δὲ ἔθος ἦν τοῖς

δρυφῆται, edd. quae ex κἠπὶ τάτ' ἀνδρεῖα φοιτᾷ corrupta ſtatuit Caſaub. 1 πᾶσι ms. *A*.

coenantium convictum ſic vocans. Et rurſus:

ἄϊκλον *Alcman paravit.*

Aeclon vero non dicunt Lacones portionem quae poſt coenam datur; immo nec ea quae in phiditiis dantur poſt coenam: eſt enim panis & caro: ſed *epaecla* (ἐπάϊκλα) dicuntur haec, cum ſint velut auctaria *aecli* phiditis deſtinati; unde etiam ductam vocem arbitror. Et eſt adparatus *epaeclorum* quae dicuntur non ſimplex, ut exiſtimaverat Polemon, ſed duplex. Quod enim pueris praebent, leve eſt admodum & tenue; nempe polenta oleo ſubacta: quam Nicocles Laco ait captare illos poſt coenam ſuper lauri foliis; eaque etiam de cauſſa (a verbo κάπτειν, *vorare, captare,*) *cammatidas* vocari illa folia; & ipſa illa liba, *cammata*. Fuiſſe autem moris

πάλαι, φύλλα δάφνης τραγηματίζεσθαι, Καλλίας e
ἢ Διοκλῆς ἐν τοῖς Κύκλωψιν φησὶν οὕτως·

Φύλλα σὺ [1] δείπνων καταλύσεις·
ἡ δὲ καθάπερ σχημάτων. [2]

ἣν δ' εἰς τὰ τῶν ἀνδρῶν φειδίτια κομίζουσι, σκευοποιεῖται ἔκ τινων ζώων ὡρισμένων, παραχορηγοῦντος αὐτὰ τοῖς φειδίταις ἑνὸς τῶν εὐπορούντων, ἔσθ' ὅτε δὲ καὶ πλειόνων. ὁ δὲ Μόλπις, καὶ ματτύην φησὶ προσαγορεύεσθαι τὰ ἐπαίκλα."

XVIII. Epaecla; cammata.

Περὶ δὲ τῶν ἐπαίκλων Περσαῖος [3] ἐν τῇ Λακωνικῇ Πολιτείᾳ οὕτωσὶ γράφει· „Καὶ εὐθὺς τοὺς μὲν εὐπόρους ζημιοῖ εἰς ἐπαίκλα· ταῦτα δ' ἔστι μετὰ δεῖ- f
πνον τραγήματα· τοῖς δ' ἀπόροις ἐπιτάττει, κάλαμον, ἢ στιβάδα, ἢ φύλλα δάφνης φέρειν, ὅπως ἔχωσι τὰ ἐπαίκλα κάπτειν μετὰ δεῖπνον. γίνεται γὰρ

1 φυλασι (sic) ms. *A*. 2 ἡδέα τῶν τραγημάτων, corr. Casaub.
3 Περσεὺς vulgo h. l.

olim, lauri foliis pro bellariis vesci, Callias sive Diocles in Cyclopibus docet, his verbis:

Folia tu coenarum consumes,
haec vero quasi formarum . . .

Illud vero quod in virorum phiditia adferunt, conficitur ex definitis quibusdam animantibus, quae praebet phiditii sodalibus unus ex divitibus, nonnumquam etiam plures. Molpis vero scribit, *mattyen* etiam adpellari illa epaecla."

18. De *Epaeclis* vero Persaeus in Lacedaemoniorum Republica sic scribit: »Et statim ille opulentos mulctat pecuniâ ad Epaeclorum sumtus conferendâ: sunt autem *Epaecla* post coenam bellaria: inopibus vero imperat, arundinem aut frondes conferre, aut lauri folia, quibus uterentur ad voranda epaecla: sunt enim (epaecla)

ἄλφιτα ἐλαίῳ ἐῤῥαμένα. τὸ δ' ὅλον ὥσπερ πολίτευμά τι τοῦτο δὴ συνίσταται μικρόν. καὶ γὰρ ὅν τινα δεῖ πρῶτον κατακεῖσθαι ἢ δεύτερον, ἢ ἐπὶ τοῦ σκιμποδίου καθῆσθαι, πάντα τοιαῦτα ποιοῦσιν εἰς ἐπαίκλα." Τὰ ὅμοια ἱστορεῖ καὶ Διοσκουρίδης. Περὶ δὲ
a τῶν καμματίδων καὶ τῶν καμμάτων, Νικοκλῆς οὕτως γράφει· „Διακούσας δὲ πάντων ὁ ἔφορος, ἤτοι ἀπέλυσεν, ἢ κατεδίκασεν. ὁ δὲ νικήσας [1] ἐζημίωσεν ἐλαφρῶς ἤτοι κάμμασιν, ἢ καμματίσιν. ἔστι δὲ τὰ μὲν κάμματα ψαιστά· αἱ δὲ καμματίδες, αἷς κάπτουσιν τὰ ψαιστά."

Περὶ δὲ τοῦ τῶν Φειδιτίων δείπνου Δικαίαρχος τάδε ἱστορεῖ ἐν τῷ ἐπιγραφομένῳ Τριπολιτικῷ· „Τὸ δεῖπνον πρῶτον μὲν ἑκάστῳ χωρὶς παρατιθέμενον, καὶ πρὸς ἕτερον κοινωνίαν οὐδεμίαν ἔχον. εἶτα μᾶζαν
b μὲν [2] ὅσην ἂν ἕκαστος ἢ βούλόμενος· καὶ πιεῖν πά-

XIX. Phiditia.

1 ὁ δὲ νικήσας τὸν νικηθέντα ἐζημ. coni. Casaub. 2 Suspicatus eram, ἔστι δὲ, μᾶζα μὲν, ὅσην &c. *Est autem, maza* &c.

polenta oleo rigata. Omnino vero est haec veluti parvae cuiusdam reipublicae administratio. Nam & quem oporteat primo aut secundo loco discumbere, aut in lectulo sedere, omnia talia curant in epaeclis." His simillima etiam Dioscorides tradit. De *Cammatidibus* autem & *Cammatis* sic scribit Nicocles: »Ephorus, audita causa singulorum, vel absolvit, vel condemnat. Qui autem victus est, leviter mulctatur vel cammatis vel cammatidibus. Sunt autem cammata, liba: cammatides autem, quibus devorant (vel comedunt) liba."

19. De *Phiditiorum* vero *coena* Dicaearchus in libro, cui titulus Tripoliticus, haec scribit: »Primum quidem, seorsim coena singulis adponitur, nulla cum altero communicatione. Deinde maza, quantum quisque cupit;

λιν, ὅταν ᾖ θυμὸς, ἑκάστῳ κώθων παρακείμενος ἐστί. ὄψον δὲ ταὐτὸν ἀεί ποτε πᾶσίν ἐστιν, ὕειον κρέας ἐφθόν· ἐνίοτε δ' οὐδ' ὅ τι μὲν οὖν, [1] πλὴν ὄψον τι μικρὸν, ἔχον σταθμὸν ὡς τέταρτον μνᾶς [2] μάλιστα· καὶ παρὰ τοῦτο ἕτερον οὐδέν, πλὴν ὅ γε ἀπὸ τούτων ζωμὸς, ἱκανὸς ὢν παρ' ἅπαν τὸ δεῖπνον ἅπαντας αὐτοὺς παραπέμπειν· κἂν ἄρα ἐλάα τις, ἢ τυρὸς, ἢ σῦκον. ἀλλὰ κἄν τι λάβωσιν ἐπιδόσιμον, ἰχθὺν, ἢ λαγὼν, ἢ φάτταν, ἤ τι τοιοῦτον. εἶτ' ὀξέως ἤδη δεδειπνηκόσιν, ὕστερα περιφέρεται ταῦτα τὰ ἐπαίκλα καλούμενα. Συμφέρει δ' ἕκαστος εἰς τὸ Φειδίτιον, ἀλφίτων μὲν ὡς τρία μάλιστα ἡμιμέδιμνα Ἀττικὰ, οἴνου δὲ χόας ἕνδεκά τινας, ἢ δώδεκα· παρὰ δὲ ταῦτα, τυροῦ σταθμόν τινα, καὶ σύκων· ἔτι δὲ εἰς ὀψωνίαν, περὶ δέκα τινὰς Αἰγιναίους ὀβολούς." Σφαῖρος c

1 ἐνίοτε δέ τι μόνον vulgo. 2 Nude vulgo ὡς τέταρτον μάλιστα.

&, quo bibant quando volupe eſt, poculum unicuique adponitur. Obſonium vero ſemper univerſis idem, caro ſuilla elixa: nonnumquam vero nihil quidquam praeter minutum aliquod obſonium, quod ad ſummum quartam librae partem pendat; & nihil inſuper aliud, niſi de (carnibus) iſtis iusculum, quod ſufficiat ut per totam coenam univerſos comitari poſſit; quod ſi quid amplius, eſt oliva aliqua, aut caſeus, aut ficus. Nonnumquam vero etiam auctarium aliquod accipiunt, piſcem, aut leporem, aut columbam, aut aliquid ſimile. Deinde vero, poſtquam propere iam coenam ſumſerunt, circumferuntur poſtremo haec quae *epaecla* vocantur. Confert autem unusquisque in Phiditium polentae tres fere ſemimodios Atticos, vini congios undecim aliquot aut duodecim: & praeter haec, caſei aliquod pondus & ficorum: denique, ad emendum obſonium, decem circiter obolos Aeginenſes." Sphaerus vero, tertio de Re-

δ' ἐν τρίτῳ Λακωνικῆς Πολιτείας γράφει· „Φέρουσι δὲ καὶ ἐπαΐκλα αὐτοὶ οἱ Φειδίται· [1] καὶ τῶν μὲν ἀγρευομένων ὑφ' αὐτῶν ἐνίοτε οἱ πολλοί· οὐ μὴν ἀλλ' οἵ γε πλούσιοι καὶ ἄρτον, καὶ ὧν ἂν ὥρα ἐκ τῶν
d ἀγρῶν, ὅσον εἰς αὐτὴν τὴν συνουσίαν· νομίζοντες, καὶ τὰ πλείονα [2] τῶν ἱκανῶν παρασκευάζειν, περιττὸν εἶναι, μὴ μέλλοντά γε προσφέρεσθαι. " Μόλπις δὲ φησί· „Μετὰ δὲ τὸ δεῖπνον εἴωθεν ἀεί τι [3] παρά τινος κομίζεσθαι, ἐνίοτε δὲ καὶ παρὰ πλειόνων, παρ' αὐτοῖς κατ' οἶκον ἠρτυμένη ματτύη, [4] ὃ καλοῦσιν ἐπαΐκλον. τῶν δὲ κομιζομένων οὐδεὶς οὐθὲν ἀγοράσας εἴωθε φέρειν· οὔτε γὰρ ἡδονῆς, οὐδ' ἀκρασίας γαστρὸς οὕνεκεν κομίζουσιν, ἀλλὰ τῆς αὐτῶν ἀρετῆς ἀπόδειξιν
e τῆς κατὰ τὴν θήραν ποιούμενοι. πολλοὶ δὲ καὶ ποίμνια αὐτῶν τρέφοντες, ἀφθόνως μεταδιδόασι τῶν ἐκ-

1 Vulgo αὐτοῖς οἱ φειδ. 2 Forſ. τὸ πλείονα. 3 ἀεὶ, absque τι, legi voluit Caſaub. 4 ἠρτυμένα ματτύην edd. cum ms. *A.* ἠρτυμένην ματτύην ms. *Epit.*

publica Lacedaemoniorum ſcribit: »Adferunt vero *epaecla* ipſi phiditii ſodales: & quidem maior pars vulgo ſubinde adferunt, ſi quid fortaſſe venando ceperint; opulentiores autem inſuper etiam panem, & ex agris quaecumque fert anni tempeſtas, quantum ad unum ipſum convivium ſatis eſt: nam plura parare, quam quod ſatis ſit, ſuperfluum eſſe exiſtimant, quippe quae nemo ne comeſturus ſit quidem.« Molpis vero ait: »Poſt coenam autem ſolet ſemper aliquid ab aliquo conferri, nonnumquam etiam a pluribus, lautior quidam cibus domi apud ipſos paratus, quod *epaeclon* adpellant. Nemo autem aliquid a ſe emtum ſolet conferre: nec enim voluptatis aut gulae cauſſa conferunt, ſed ſuae in venando virtutis documentum prolaturi. Sunt etiam ex his multi, qui, cum greges alant, de foetu ovium li-

γόνων. ἔστι δὲ ἡ ματτύα, φᾶτται, χῆνες, τρυγόνες, κίχλαι, κόσσυφοι, λαγὼ, ἄρνες, ἔριφοι. οἱ δὲ μάγειροι σημαίνουσι τοὺς ἀεί τι κομίζοντας εἰς μέσον, ἵνα πάντες ἴδωσι τὴν τῆς θήρας φιλοπονίαν, καὶ τὴν εἰς αὐτοὺς ἐκτένειαν. " Δημήτριος δ' ὁ Σκήψιος, ἐν τῷ πρώτῳ τοῦ Τρωϊκοῦ διακόσμου· ,, τὴν τῶν Καρνείων, φησὶν, ἑορτὴν παρὰ Λακεδαιμονίοις μίμημα εἶναι στρατιωτικῆς ἀγωγῆς. τόπους γὰρ εἶναι ἐννέα μὲν τῷ ἀριθμῷ· σκιάδες δὲ οὗτοι καλοῦνται, σκηνὰς ἔχοντες παραπλήσιόν τι· καὶ ἐννέα καθ' ἕκαστον ἄνδρες δειπνοῦσι, πάντα τε ἀπὸ προστάγματος κηρύσσεται. ἔχει τε ἑκάστη σκιὰς [1] φρατρείας τρεῖς, καὶ γίνεται ἡ τῶν Καρνείων ἑορτὴ ἐπὶ ἡμέρας ἐννέα. "

Carneorum festum Spartae.

XX. Τὴν δὲ τῆς διαίτης τῆς τοιαύτης σκληρότητα ὕστερον καταλύσαντες οἱ Λάκωνες, ἐξώκειλαν εἰς τρυφήν.

1 σκιὰ vulgo.

beraliter impertiuntur. Sunt autem lautiora illa fercula, (*mattyam* ipsi vocant) columbae, anseres, turtures, turdi, merulae, lepores, oves, hoedi. Edicunt autem semper coqui nomen horum, qui aliquid in medium contulerunt, quo sciant cuncti eorum in venando industriam, & in ipsos munificentiam. « Demetrius vero Scepsius, Ordinationis copiarum Troianarum libro primo, ait: »*Carneorum* festum apud Lacedaemonios imitationem esse disciplinae militaris. Locos enim esse numero novem, quos *umbras* (vel *umbracula*) vocant, cum tentoriis similitudinem aliquam habentes. In eorum quoque coenant novem viri, & omnia veluti pro imperio per praeconem edicuntur: & quaelibet umbra habet tres phratrias sive curias, celebraturque festum illud Carneorum per novem dies. «

20. Ab ista vero vitae austeritate descifcentes deinde Lacedaemonii, in luxuriam dilapsi sunt. Phylarchus

Φύλαρχος γοῦν ἐν τῇ πεντεκαιδεκάτῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν τάδε γράφει περὶ αὐτῶν· „ Λακεδαιμόνιοι εἰς μὲν τὰ Φειδίτια οὐκ ἤρχοντο κατὰ τὸ πάτριον ἔθος. ὅτε a δὲ καὶ παραγένοιντο, μικρὰ συμπεριενεχθεῖσι νόμου χάριν, παρεσκευάζετο καὶ ἄλλα [1] αὐτοῖς, στρωμναί τε τοῖς μεγέθεσιν οὕτως ἐξησκημέναι πολυτελῶς, καὶ τῇ ποικιλίᾳ διαφόρως, ὥστε τῶν ξένων ἐνίους τῶν παραληφθέντων οἰκεῖν τὸν ἀγῶνα ἐπὶ τὰ προσκεφάλαια ἐρείδειν. οἱ δὲ πρότερον ἐπὶ τοῦ κλιντηρίου ψιλοῦ διακαρτεροῦντες τῆς κλίνης παρ' ὅλην τὴν συνουσίαν, ὅτε τὸν ἀγῶνα ἅπαξ ἐρείσειαν, εἰς τήνδε τὴν [2] προειρημένην τρυφὴν ἦλθον, ποτηρίων τε ἐκθέσεις πολλῶν, καὶ βρωμάτων παντοδαπῶς [3] πεποιημένων παραβέ- b σεις, ἔτι δὲ μύρων ἐξηλλαγμένων, ὡς δ' αὕτως οἴνων, καὶ τραγημάτων. Καὶ τούτων ἦρξαν οἱ μικρὸν πρὸ Κλεο-

A prisca austeritate desciscunt Spartani.

1 καὶ πάλιν αὐτοῖς edd. cum ms. *A.* 2 Vulgo ἐρείσειαν. εἰς δὴ τὴν &c. 3 παντοδαπῶν vulgo.

quidem, Historiarum libro quinto decimo, & libro vicesimo, de eis haec scribit: »Lacedaemonii ad phiditia non conveniebant de patrio more. Quod si quando etiam convenirent, paululum sese (mori patrio) accommodantes dicis caussa, [*sive*, postquam dicis caussa phiditiis paulisper interfuissent,] mox rursus illis parabantur cum alia, tum stragula & magnitudine tam pretiosa, & varietate tam egregie elaborata, ut hospitum nonnulli, ad convivium vocati, vererentur cubito inniti cervicalibus. Quique olim, si modo umquam cubito inniterentur, per totam coenam nudae lecti spondae innitentes duraverant, hi praedicta utebantur nunc luxuria, & poculorum multorum expositionibus, & ciborum varie paratorum adpositionibus, adhaec unguentorum exquisitissimorum, pariterque vinorum, & bellariorum. Et haec primum introduxerant ii qui paulo ante Cleo-

μένους βασιλεύσαντες, Ἀρεὺς καὶ Ἀκρότατος, αὐλικὴν ἐξουσίαν ζηλώσαντες· οὓς τοσοῦτον αὖθις [1] ὑπερῆράν τινες τῶν ἰδιωτῶν, τῶν ἐν Σπάρτῃ γενομένων κατ' ἐκεῖνον τὸν χρόνον, τῇ πολυτελείᾳ τῇ καθ' αὐτοὺς, ὥστε δοκεῖν τὸν Ἀρέα καὶ τὸν Ἀκρότατον εὐτελείᾳ πάντας ὑπερβεβληκέναι τοὺς ἀφελεστάτους τῶν πρότερον."

XXI. Cleomenes frugalis.

„Κλεομένης δὲ, πολὺ διενέγκας τῷ τε συνιδεῖν πράγματα, καί τοι νέος ὢν, καὶ κατὰ τὴν δίαιταν ἀφελέστατος γέγονεν. ἤδη γὰρ τηλικούτων πραγμάτων ἡγούμενος, ἔμφασιν τοῖς παραλαμβανομένοις πρὸς τὴν θυσίαν ἐποίει, διότι τὰ παρ' ἐκείνοις τῶν παρ' αὐτὸν οὐδὲν καταδεέστερα εἴη παρασκευαζόμενα. πολλῶν δὲ πρεσβειῶν παραγινομένων πρὸς αὐτὸν, οὐδέ ποτε ἐνωρίστερον τοῦ κατειθισμένου συνῆγε καιροῦ, πενταклίνου τε διεστρώννυτο οὐδέποτε πλεῖον· ὅτε δὲ μὴ παρείη πρεσβεία, τρίκλινον. καὶ πρόσταγ- c

1 αὖθις ignorant edd. & ms. *A*.

menem regnum obtinuerant, Areus & Acrotatus, aulicam aliquam opulentiam aemulantes: ſed hos deinde nonnulli ex privatis, qui hoc tempore Spartae vixerunt, ſua magnificentia & luxuria tantum ſuperarunt, ut Areus & Acrotatus frugalitate tenuiſſimos omnes ac ſimpliciſſimos ſuperiorum temporum ſuperaſſe viderentur."

21. „Sed *Cleomenes*, ut cognitione rerum & iudicio, quamvis aetate iuvenis, longe excellebat, ſic & in victu moderatiſſimus erat. Tantis enim iam rebus praefectus, ſi quos ad ſacrificandum invitaſſet, eam eis ſpeciem praebebat, ut, quae apud ipſos parari ſolerent, ea nihilo inferiora his, quae apud illum eſſent, exiſtimarent. Cum vero multi apud eum legati adeſſent, numquam tamen tempeſtivius ſolito coenam inſtrui iuſſit: & quinque lecti ſternebantur, numquam plures. Nulla vero praeſente legatione, tres lecti ſternebantur. Nec

μα οὐκ ἐγίνετο δι' ἐδεάτρου, τίς εἴσεται καὶ κατα-
d κλιθήσεται πρῶτος· ἀλλ' ὁ πρεσβύτατος ἡγεῖτο ἐπὶ
τὰς κλίνας, εἰ μή τιν' αὐτὸς προσκαλέσαιτο. κατε-
λαμβάνετο δὲ ἐπὶ τὸ πολὺ μετ' ἀδελφοῦ [1] κατακεί-
μενος, ἢ μετά τινος τῶν ἡλικιωτῶν. ἐπί τε τῷ τρίπο-
δι ψυκτὴρ χαλκοῦς ἐπέκειτο, καὶ κάδος, καὶ σκα-
φίον ἀργυροῦν, δύο κοτύλας χωροῦν, καὶ κύαθος· [2]
ἡ δ' ἐπίχυσις, χαλκῆ. πιεῖν δὲ οὐ προσεφέρετο, εἰ
μή τις αἰτήσειεν. [3] (ἐδίδοτο δὲ κύαθος εἷς πρὸ τοῦ
δείπνου.) τὸ δὲ πολὺ πρώτῳ· [4] καὶ ὅτε προσνεύσειεν
e ἐκεῖνος, οὕτως ἤτουν καὶ οἱ λοιποί. Τὰ δὲ παρατιθέ-
μενα, ἐπὶ μὲν τραπεζίου ἦν τοῦ τυχόντος· τὰ δὲ λοι-
πὰ, [5] ὥστε μὴ ὑπεραίρειν, μή τε λείπειν, ἀλλ' ἱκα-
νὰ ἅπασι γίνεσθαι, καὶ μὴ προσδεῖσθαι τοὺς παρόν-
τας. οὔτε γὰρ οὕτως ᾤετο δεῖν, ὥσπερ ἐν τοῖς Φειδι-

1 μετὰ τοῦ ἀδελφοῦ ms. *Ep.* 2 κύαθοι malebat Casaub. 3 Vulgo εἰ μή τις αἰτήσει. ἐνεδίδοτο δὲ &c. 4 πρώτῳ dedit ms. *A.* πρῶτον edd. 5 Forſ. τὰ δὲ λοιπάδια.

per convivii moderatorem edicebatur, quis primus adſeſſurus eſſet aut adcubiturus: ſed, qui aetate maximus erat, primus ad lectos accedebat, niſi quem ipſe provocaſſet. Conſpiciebatur vero utplurimum cum fratre aut aliquo ex aequalibus adcumbens. Super tripode ſtabat aeneus pſycter & cadus, & ſcaphium argenteum duas capiens cotulas, & poculum: [*ſive*, & pocula, *nempe argentea*:] guttus vero aeneus. Potus vero non praebebatur, niſi quis popoſciſſet: (ante coenam vero unum dabatur poculum:) & plerumque primo ipſi; deinde poſtquam ipſe nutu popoſciſſet, poſtulabant & alii. Fercula adpoſita erant ſuper menſula admodum vulgari: lances ita comparatae, ut nec abundarent, nec nimis parcae eſſent, ſed ſufficerent omnibus, neque convivarum quisquam aliquid deſideraret. Nec enim ita parce, ut in Phiditiis, excipi debere convivas exi-

τίοις, δέχεσθαι ζωμῷ καὶ κρεαδίοις ἀφελῶς· οὔτε πάλιν οὕτως ὑπερτείνειν, ὡς εἰς τὸ μηθὲν δαπανᾶν, ὑπερβάλλοντα τὰ σύμμετρον τῆς διαίτης. τὸ μὲν γὰρ, ἀνελεύθερον ἐνομίζετο· τὸ δ', ὑπερήφανον. Ὁ δ' οἶνος ἦν μικρῷ βελτίων, ὅτε παρείησαν τινές. ἐπεὶ δὲ δειπνήσειαν, ἐσιώπων πάντες. ὁ δὲ παῖς ἐφειστήκει, κεκραμένον ἔχων τὸ ποτὸν, καὶ τῷ αἰτοῦντι προσέφερε. f τὸν αὐτὸν δὲ τρόπον καὶ μετὰ τὸ δεῖπνον οὐ πλεῖον ἐδίδοτο δύο κυάθων· καὶ τοῦτο προσνεύσαντι [1] προσεφέρετο. Ἀκρόαμα δὲ οὐδὲν οὐδέ ποτε παρεπορεύετο. διετέλει δ' αὐτὸς προσομιλῶν πρὸς ἕκαστον, καὶ πάντας ἐκκαλούμενος εἰς τὸ τὰ μὲν ἀκούειν, τὰ δὲ λέγειν αὐτοὺς, ὥστε τεθηρευμένους ἀποτρέχειν ἅπαντας."

Διακωμῳδῶν δ' Ἀντιφάνης τὰ Λακωνικὰ δεῖπνα ἐν τῷ ἐπιγραφομένῳ δράματι Ἄρχων, φησὶν οὕτως·

1 Forſ. καὶ τοῦτο τῷ προσνεύσαντι.

ſtimabat iuſculo & carunculis: nec rurſus ita in alteram partem progrediendum longius, ut in vanum prorſus ſumtus fiat, & moderatus vivendi modus excedatur. Alterum enim illiberale eſſe, alterum ſuperbum iudicabat. Vinum autem paulo melius erat, quoties convivae aliquot adeſſent. Dum coenabant, tacebant omnes: puer vero adſtabat mixtum potum tenens, praebebatque poſcenti. Similiter etiam poſt coenam non amplius duobus cyathis dabatur; idque praebebatur ei qui adnuendo popoſciſſet. Nullum umquam acroama comitabatur coenam. Sed continenter ipſe cum unoquoque ſermones miſcebat, cunctosque invitabat, ut vel audirent quae dicerent alii, vel ipſi loquerentur: quo fiebat, ut omnes capti eius amore diſcederent."

Antiphanes vero in fabula, quae Archon inſcribitur, Laconicas coenas comico ſale perſtringens, ſic ait:

a — — — Ἐν Λακεδαίμονι
γέγονας; ἐκείνων τῶν νόμων μεθεκτέον
ἐστίν. βάδιζ' ἐπὶ δεῖπνον ἐς τὰ Φιλίτια· [1]
ἀπόλαυε τοῦ ζωμοῦ· φορεῖν [2] τοὺς βύστακας
μὴ καταφρόνει· μήδ' ἕτερ' ἐπιζήτει καλά.
ἐν τοῖς δ' ἐκείνων ἔθεσιν ἴσθ' ἀρχαϊκός.

XXII. Cretenſium Syſſitia.

Περὶ δὲ τῶν Κρητικῶν συσσιτίων Δωσιάδας ἱστορῶν ἐν τῇ τετάρτῃ τῶν Κρητικῶν, γράφει οὕτως· „Οἱ δὲ Λύκτιοι συνάγουσι μὲν τὰ κοινὰ συσσίτια οὕτως. ἕκαστος τῶν γινομένων καρπῶν ἀναφέρει τὴν δεκάτην
b εἰς τὴν ἑταιρίαν, καὶ τὰς τῆς πόλεως προσόδους, ἃς διανέμουσιν οἱ προεστηκότες τῆς πόλεως εἰς τοὺς ἑκάστων οἴκους. τῶν δὲ δούλων ἕκαστος Αἰγιναῖον φέρει στατῆρα κατὰ κεφαλήν. διήρηνται δ' οἱ πολῖται πάντες καθ' ἑταιρίας, καλοῦσι δὲ ταύτας ἀνδρεῖα. τήν τε ἐπι-

1 εἰς τὰ φειδίτια vulgo. εἰς φειδίτια Grot. 2 Vulgo φόρει. Unde alii ſic corrigunt;
ἀπόλαυε ζωμοῦ· μὴ φόρει τοὺς βύσταχας.

— — — *Si Lacedaemone*
degas, Laconum vivas opus eſt moribus:
eas coenatum publice in Phiditiis,
vores ius nigrum, abſtineas alere tittices.
Ne ſperne haec; melius quidquam nec deſidera:
ſed morem ſequere, antiquae gravitatis tenens.

22. De *Cretenſium Syſſitiis*, (id eſt, Conviviis publicis) Doſiadas quarto libro Rerum Creticarum haec ſcribit: »Lyctii vero convivia publica in hunc modum celebrant. Quilibet ex fructibus praediorum decimam partem in ſodalitatem confert, inſuperque ſuam partem redituum publicorum, qui a praefectis civitatis in ſingulas familias dispertiuntur: ſervi vero in ſingula capita ſtaterem Aeginenſem pendunt. Diſtributi autem ſunt cives omnes per ſodalitates, quas ἀνδρεῖα illi vocant.

μέλειαν ἔχει τοῦ συσσιτίου γυνὴ, τρεῖς ἢ τέτταρας τῶν δημοτικῶν προσειληφυῖα πρὸς τὰς ὑπηρεσίας. ἑκάστῳ δ' αὐτῶν ἀκολουθοῦσι δύο θεράποντες ξυλοφόροι· καλοῦσι δ' αὐτοὺς καλοφόρους. Εἰσὶ δὲ πανταχοῦ κατὰ τὴν Κρήτην οἶκοι δύο ταῖς συσσιτίαις· ὧν τὸν μὲν καλοῦσιν ἀνδρεῖον· τὸν δ' ἄλλον, ἐν ᾧ τοὺς ξένους κοι- c
μίζουσι, κοιμητήριον προσαγορεύουσι. Κατὰ δὲ τὸν συσσιτικὸν οἶκον πρῶτον μὲν κεῖνται δύο τράπεζαι, ξενικαὶ καλούμεναι, αἷς προκαθίζουσι [1] τῶν ξένων οἱ παρόντες· ἐξῆς δ' εἰσὶν αἱ τῶν ἄλλων. παρατίθεται δὲ τῶν παρόντων ἴσον μέρος ἑκάστῳ· τοῖς δὲ νεωτέροις ἥμισυ δίδοται κρέως, τῶν δ' ἄλλων οὐθενὸς ἅπτονται. εἶτα ποτήριον ἐν ἑκάστῃ τραπέζῃ παρατίθεται, κεκραμένον ὑδαρῶς· τοῦτο κοινῇ πάντες πίνουσιν οἱ κατὰ τὴν κοινὴν τράπεζαν· καὶ δειπνήσασιν ἄλλο παρατίθεται. d

1 Forſ. προσκαθίζουσι.

Curam communis convivii habet mulier, adſumtis tribus aut quatuor e popularibus, qui miniſtrant: quorum ſingulos ſequuntur duo famuli, ligna geſtantes, quos καλοφόρους vocant. Sunt autem ubivis totâ Cretâ duae domus publicis ſodalitatibus deſtinatae: quarum alteram ἀνδρεῖον (*virorum coenaculum*) vocant; alteram vero, in quo cubant hoſpites peregrini, *coemiterium* adpellant. (id eſt, *cubitorium.*) In ea domo quae proprie conviviis publicis deſtinata eſt, duae poſitae ſunt menſae, *hoſpitales* dictae, quibus adſident hoſpites qui adſunt: deinde ſunt menſae aliorum convivarum. Adponitur autem unicuique praeſentium portio aequalis: iunioribus autem carnis portio tantum dimidia; nec caeterarum rerum ullam hi attingunt. Deinde in ſingulis menſis poculum ponitur, vino admodum diluto repletum. In commune id bibunt omnes, quibus menſa communis eſt: poſt coenam vero aliud eisdem adponitur.

τοῖς δὲ παισὶ [1] κοινὸς κέκραται κρατήρ. τοῖς δὲ πρεσβυτέροις, ἐὰν βούλωνται πλεῖον πιεῖν, ἐξουσία δέδοται. Ἀπὸ δὲ τῆς τραπέζης τὰ βέλτιστα τῶν παρακειμένων ἡ προεστηκυῖα τῆς συσσιτίας γυνὴ φανερῶς ἀφαιροῦσα, παρατίθησι τοῖς κατὰ τὸν πόλεμον ἢ κατὰ σύνεσιν δεδοξασμένοις. Ἀπὸ δὲ τοῦ δείπνου πρῶτον μὲν εἰώθασι βουλεύεσθαι περὶ τῶν κοινῶν· εἶτα μετὰ ταῦτα μέμνηνται τῶν κατὰ πόλεμον πράξεων, καὶ τοὺς γενομένους ἄνδρας ἀγαθοὺς ἐπαινοῦσι, προτρεπόμενοι τοὺς νεωτέρους [2] εἰς ἀνδραγαθίαν." Πυργίων δ' ἐν τρίτῳ Κρητικῶν Νομίμων· „Ἐν τοῖς συσσιτίοις, φησὶν, οἱ Κρῆτες καθήμενοι εὐσιτοῦσι· καὶ ὅτι ἀβαμβάκευστα [3] τοῖς ὀρφανοῖς παρατίθεται· καὶ ὅτι οἱ νεώτατοι αὐτῶν ἐφεστᾶσι διακονοῦντες· καὶ ὅτι μετ' εὐφημίας σπείσαντες τοῖς θείοις, μερίζουσι τῶν παρατιθεμένων ἅπασιν· ἀπονέμουσι δὲ καὶ τοῖς υἱοῖς, κα-

1 πᾶσι editt. vett. cum mss. 2 νέους edd. cum *Epit.* 3 Forſ. ἀβαμβάκευτα, quemadmodum paulo poſt dedit ms. *A*.

Pueris vero (unum) commune poculum miſcetur. [*ſive*, Omnibus igitur commune poculum miſcetur:] Senioribus autem, ſi amplius bibere cupiunt, poteſtas datur. A menſa vero, quaecumque ſunt ferculorum optima, ea palam auferens mulier coenae praefecta, adponit his qui aut bellica virtute aut prudentia aliis antecellere putantur. Poſt coenam primum conſueverunt de rebus publicis deliberare: dein poſt haec commemorant res bello praeclare geſtas, & fortes viros laudant, iuniores-que ad virtutis ſtudium cohortantur.« Pyrgion vero, tertio libro Inſtitutorum Cretenſium, ait: »In Syſſitiis ſedentes Cretenſes hilariter epulantur. Orphanis cibos adponi, ait, nullo lenocinio conditos; aetate minimos autem adſtare miniſterium facientes. Fauſta precati Diis, diſtribuunt inter omnes fercula adpoſita: etiam-

τὰ τὸν θάκον τὸν τοῦ πατρὸς ὑφιζάνουσιν, ἐξ ἡμισείας τῶν τοῖς ἀνδράσι παρατιθεμένων. τοὺς δ' ὀρφανοὺς ἰσομερεῖς εἶναι· παρατίθεται [1] δ' αὐτοῖς ἀβαμβάκευτα τῇ πράσει καθ' ἕκαστα τῶν νενομισμένων. f ἦσαν δὲ καὶ ξενικοὶ θάκοι, καὶ τράπεζα τρίτη, ἐκ δεξιᾶς [2] εἰσιόντων εἰς τὰ ἀνδρεῖα· ἦν ξενίου τε Διὸς, ξενίαν τε, προσηγόρευον."

XXIII.

Perſae rident tenuem victum Graecorum.

Ἡρόδοτος δὲ, συγκρίνων τὰ τῶν Ἑλλήνων συμπόσια πρὸς τὰ παρὰ Πέρταις, φησίν· „Ἡμέρην δὲ Πέρσαι ἁπασέων μάλιστα ἐκείνην τιμᾶν νομίζουτι, τῇ ἕκαστος ἐγένετο. ἐν ταύτῃ δὲ πλέω δαῖτα τῶν ἄλλων δικαιεῦσι προτίθεσθαι. ἐν τῇ οἱ εὐδαίμονες αὐτῶν βοῦν καὶ ὄνον καὶ ἵππον καὶ κάμηλον προτιθέαται, ὅλους ὀπτοὺς ἐν καμίνοις· οἱ δὲ πένητες αὐτῶν τὰ λεπτὰ τῶν προβάτων προτιθέαται. [3] σίτοισί τε ὀλίγοι- a

1 παρατίθεσθαι malim. 2 Nude δεξιᾶς vulgo. Ex ms. *A.* vero δεξιὰς enotatum; ſub quo neſcio an quid aliud lateat. 3 τίθενται h. l. edd. προτίθενται mss.

que filiis, poſt patrum ſedes adſidentibus, partem tribuunt dimidiam eorum quae patribus adpoſita ſunt. Orphanis vero portio aequalis (atque patribus) adponitur de omnibus quae ex inſtituto adponi ſolent; ſed horum quidem portio nullo artificio aut exquiſitâ mixturâ condita eſt. Erant vero etiam ſedes hoſpitibus deſtinatae, & tertia menſa, ad dextram ingredientibus coenacula, quam *Iovis hoſpitalis*, & *Hoſpitalem menſam* vocabant.

23. Herodotus vero, *Graecorum convivia* conferens cum *conviviis Perſarum*, ait: »Ex omnibus diebus Perſae eum maxime colere conſueverunt, quo quisque natus eſt. Eo die aequum eſſe cenſent copioſiorem cibum, quam aliis diebus, adhibere. Tunc igitur opulentiores bovem aut aſinum aut equum aut camelum adponi iubent, integros in furnis aſſatos: pauperes vero adponunt pecudes tenuiores. Et cibis quidem utuntur pau-

σι χρέονται, ἐπιφορήμασι δὲ πολλοῖσι, καὶ οὐκ ἀλέσι. [1] Καὶ διὰ τοῦτό φασι Πέρσαι, τοὺς Ἕλληνας, σιτεομένους, πεινῶντας παύεσθαι, ὅτι σφίσιν ἀπὸ δείπνου παραφορέεται οὐδὲν λόγου ἄξιον· εἰ δέ τι παραφέροιτο, ἐσθίοντας ἂν οὐ παύεσθαι. Οἴνῳ δὲ κάρτα προσκέαται· καί σφιν οὐκ ἐμέσαι ἔξεστιν, οὐκ οὐρῆσαι, ἀντίον ἄλλου. ταῦτα μὲν οὕτω φυλάσσεται. Μεθυσκόμενοι δὲ εἰώθασι βουλεύεσθαι τὰ σπουδαιό- Adpoti deliberant.
b τατα τῶν πρηγμάτων. τὸ δ' ἂν ἄδῃ σφίσι βουλευομένοισι, τοῦτο τῇ ὑστεραίῃ νήφουσι προτιθεῖ ὁ στεγέαρχος, [2] ἐν τοῦ ἂν ἐόντες βουλεύωνται. καὶ ἢν μὲν ἄδῃ καὶ νήφουσι, χρέονται αὐτῷ· εἰ δὲ μὴ, μετιεῖσι. [3] τὰ δ' ἂν νήφοντες προβουλεύσωνται, μεθυσκόμενοι ἐπιδιαγινώσκουσι. "

Περὶ δὲ τῆς τρυφῆς τῶν ἐν Πέρσαις βασιλέων XXIV.

1 οὐ καλοῖσι ed. Baſ. & ſeqq. 2 στέγαρχος apud Herod. 3 μετίασι edd. μετίησιν ms. *A.* μετίησι ms. *Ep.*

cis, bellariis vero multis, nec iis confertis. Quapropter dicunt Perſae, *Graecos, cum cibum capiunt, deſinere eſurire; quoniam poſt coenam nihil eis, quod alicuius pretii ſit, adponatur: quod ſi enim tale aliquid eis adponeretur, non deſituros eſſe comedere.* Vino vero admodum ſunt dediti: nec vero illis vel vomere licet, vel meiere, praeſente alio. Et haec quidem apud eos ita obſervantur. Poſtquam vero probe adpoti ſunt, ſolent de rerum ſuarum graviſſimis deliberare. Quod autem placuit deliberantibus, id poſtridie ſobriis proponit aedium dominus, apud quem deliberatio iſta inſtituta eſt. Et ſi quidem, poſtquam ad ſobrietatem redierunt, idem ipſis placet, id exſequuntur; ſin minus, reiiciunt. Quae vero, dum ſobrii ſunt, primum deliberaverunt, ea ebrii ſub examen revocant. «

24. De *luxu* vero *regum Perſarum* ita ſcribit Xenophon in

Luxuria regis Perſarum.

Ξενοφῶν ἐν Ἀγησιλάῳ οὕτω γράφει· „Τῷ μὲν γὰρ Πέρσῃ πᾶσαν γῆν περιέρχονται μαστεύοντες τί ἂν ἡδέως πίοι· μύριοι δὲ τεχνῶνται τί ἂν ἡδέως φάγοι. ὅπως γε μὴν καταδάρθοι, οὐδ' ἂν εἴποι τις ὅσα c πραγματεύονται. Ἀγησίλαος δὲ διὰ τὸ φιλόπονος εἶναι, πᾶν μὲν τὸ παρὸν ἡδέως ἔπινε, πᾶν δὲ τὸ συντυχὸν ἡδέως ἤσθιεν· εἰς δὲ τὸ ἀσμένως κοιμηθῆναι, πᾶς

Privatorum voluptas maior, quam regum.

τόπος ἱκανὸς ἦν αὐτῷ.“ Ἐν δὲ τῷ Ἱέρωνι ἐπιγραφομένῳ, λέγων περὶ τῶν τοῖς τυράννοις παρασκευαζομένων καὶ τῶν τοῖς ἰδιώταις εἰς τροφὰς, φησὶν οὕτως· „Καὶ οἶδά γε, ἔφη, ὦ Σιμωνίδη, ὅτι τούτῳ κρίνουσιν οἱ πλεῖστοι, ἥδιον ἡμᾶς καὶ πίνειν καὶ ἐσθίειν τῶν ἰδιωτῶν, ὅτι δοκοῦσι καὶ αὐτοὶ ἥδιον ἂν δειπνῆσαι τὸ ἡμῖν παρατιθέμενον δεῖπνον, ἢ τὸ ἑαυτοῖς. τὸ γὰρ d τὰ εἰωθότα ὑπερβάλλειν, [1] τοῦτο παρέχει τὰς ἡδο-

1 Commodius ὑπερβάλλον apud Xenoph.

Ageſilao: »Regi Perſarum univerſam terram circumeunt homines perquirentes quid illi potu ſit iucundiſſimum: innumeri vero comminiſcuntur machinanturque, quo cum voluptate veſcatur: quo vero ſuaviter dormiat, dici non poteſt, quantum ſit quod moliantur. Ageſilaus vero, quoniam laboris erat patiens, quidquid adeſſet, libenter bibebat; & quidquid oblatum fuiſſet, libenter eo veſcebatur: ad ſuaviter autem dormiendum quilibet ei locus idoneus erat.« In Hierone vero, qui inſcribitur, verba faciens de his quae regibus in cibum parantur, quaeve privatis, ſic ſcribit: »Et novi ſane, inquit, o Simonides, eo plerosque arbitrari, iucundius nos & bibere & edere quam privati, quod ſibi etiam videntur ipſi iucundius eſſe coenaturi, ſi ea ipſis coena adponeretur quae nobis. Nam quod ea quae conſueta ſunt ſuperat, hoc eſt quod voluptatem adfert. Quapro-

νάς. διὸ καὶ πάντες ἄνθρωποι ἡδέως προσδέχονται τὰς ἑορτὰς, πλὴν οὐχ [1] οἱ τύραννοι. ἔκπλεῳ γὰρ αὐτοῖς ἀεὶ παρεσκευασμέναι, οὐδεμίαν ἐν ταῖς ἑορταῖς ἐπίδοσιν ἔχουσιν αὐτῶν αἱ τράπεζαι· ὥστε ταύτῃ πρῶτον τῇ εὐφροσύνῃ τῆς ἐλπίδος μειονεκτοῦσι τῶν ἰδιωτῶν. ἔπειτα, [2] ἔφη, ἐκεῖνο εὖ οἶδα, ὅτι καὶ σὺ ἔμπειρος εἶ, ὅτι ὅσῳ ἂν πλέω τις παραθῆται τὰ περιττὰ τῶν ἱκανῶν, τοσούτῳ καὶ θᾶσσον μᾶλλον [3] κόρος ἐμπίπτει
e τῆς ἐδωδῆς. ὥστε καὶ τῷ χρόνῳ τῆς ἡδονῆς μειονεκτεῖ ὁ παρατιθέμενος πολλὰ, τῶν μετρίως διαιτωμένων. Ἀλλὰ, ναὶ μὰ Δία, ἔφη ὁ Σιμωνίδης, ὅσον ἂν χρόνον ἡ ψυχὴ προσίηται, τοῦτον πολὺ μᾶλλον ἥδονται οἱ ταῖς πολυτελεστέραις παρασκευαῖς τρεφόμενοι, τῶν τὰ εὐτελέστατα [4] παρατιθεμένων."

Θεόφραστος δ', ἐν τῷ πρὸς Κάσανδρον Περὶ Βα- XXV.

1 Ignoranr οὐχ edd. apud Athen. & Xenoph. 2 ἔπειτα δ' apud Xenoph. 3 Deeſt μᾶλλον ed. Baſ. & Caſ. ut apud Xenoph. 4 Commodius εὐτελέστερα apud Xenoph.

pter etiam feſtos dies homines omnes cum voluptate exſpectant, exceptis regibus. Horum enim menſae, cum ſemper affatim ipſis inſtructae ſint, nullum feſtis diebus augmentum admittunt: itaque primum hac ipſa voluptate, quae e ſpe exſiſtit, ſuperantur a privatis. Deinde ſatis ſcio, te ipſum etiam experientiâ habere cognitum, tanto citius nos capere edendi ſatietatem, quanto plura nobis adponantur quae id quod ſatis eſt excedant. Ita fit, ut duratione etiam voluptatis ſuperetur is cui plura adponuntur ab eo qui modico victu utitur. At, per Iovem, inquit Simonides, quamdiu admittit adpetitus, tamdiu maiore voluptate fruitur is qui ſumtuoſiore adparatu alitur, quam cui adponuntur tenuiora."

25. Theophraſtus in libro de Regno ad Caſſandrum,

Inventori novae voluptatis edicitur praemium.

σιλείας, (εἰ γνήσιον τὸ σύγγραμμα· πολλοὶ γὰρ αὐτό φασιν εἶναι Σωσιβίου, εἰς ὃν Καλλίμαχος ὁ ποιητὴς ἐπινίκιον ἐλεγειακὸν ἐποίησεν,) τοὺς Περσῶν, φησὶ, βασιλεῖς ὑπὸ τρυφῆς προκηρύττειν τοῖς ἐφευ- f
ρίσκουσί τινα καινὴν ἡδονὴν ἀργυρίου πλῆθος. Θεόπομπος δ' ἐν τῇ τριακοστῇ καὶ πέμπτῃ τῶν Ἱστοριῶν,

Thys, rex Paphlagoniae.

„τὸν Παφλαγόνων, φησὶ, βασιλέα Θῦν ἑκατὸν πάντα παρατίθεσθαι δειπνοῦντα ἐπὶ τὴν τράπεζαν, ἀπὸ βοῶν ἀρξάμενον· καὶ ἀναχθέντα αἰχμάλωτον ὡς βασιλέα, καὶ ἐν φυλακῇ ὄντα, πάλιν τὰ αὐτὰ παρατίθεσθαι, ζῶντα λαμπρῶς. διὸ καὶ ἀκούσαντα Ἀρταξέρξην εἰπεῖν, ὅτι οὕτως αὐτῷ δοκεῖη ζῆν, ὡς ταχέως ἀπολούμενος." Ὁ δ' αὐτὸς Θεόπομπος, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν Φιλιππικῶν· „Ὅταν, φησὶ, βασιλεὺς εἴς τινας ἀφίκηται τῶν ἀρχομένων, εἰς τὸ δεῖπνον αὐτοῦ δαπανᾶσθαι εἴκοσι τάλαντα· ποτὲ a

(ſi genuinum illud ſcriptum eſt: multi enim auctorem eius aiunt Soſibium eſſe illum, in quem Callimachus carmen ſcripſit elegiacum) »Perſarum reges, ait, luxuriae cauſſâ ingentem pecuniae ſummam publice polliceri his qui novam aliquam voluptatem excogitaverint.« Theopompus vero, Hiſtoriarum libro trigeſimo quinto, ſcribit: »Paphlagonum regem Thyn, cum coenaret, centena omnia menſae inferri iuſſiſſe, a bobus incipiendo: cumque ad (Perſarum) regem captivus eſſet abductus, & in cuſtodia ſervaretur, rurſus eadem ſibi adponi iuſſiſſe, ſplendideque vixiſſe. Itaque Artaxerxem, ea re audita, dixiſſe, *ſic eum ſibi videri vivere, ut qui brevi eſſet periturus.*« Idem Theopompus, Rerum Philippicarum libro quarto decimo, ait: »Quando rex (Perſarum) ad aliquos ſuae ditionis venit, in coenam eius impendi viginti talenta; nonnumquam vero etiam

δὲ καὶ τριάκοντα. οἱ δὲ καὶ πολὺ πλείω δαπανῶσιν. ἑκάσταις γὰρ τῶν πόλεων κατὰ τὸ μέγεθος, ὥσπερ ὁ φόρος, καὶ τὸ δεῖπνον ἐκ παλαιοῦ τεταγμένον ἐστίν."

XXVI. Coena regis Perſarum.

Ἡρακλείδης δ' ὁ Κυμαῖος, ὁ τὰ Περσικὰ συγγράψας, ἐν τῷ δευτέρῳ τῶν ἐπιγραφομένων Παρα-
b σκευαστικῶν· " Καὶ οἱ θεραπεύοντες, φησὶ, τοὺς Περσῶν βασιλεῖς δειπνοῦντας, ἅπαντες λελουμένοι διακονοῦσιν, ἐσθῆτας καλὰς [1] ἔχοντες, καὶ διατρίβουσι σχεδὸν τὸ ἥμισυ τῆς ἡμέρας περὶ τὸ δεῖπνον. τῶν δὲ τοῦ βασιλέως συνδείπνων, οἱ μὲν ἔξω δειπνοῦσιν, οὓς καὶ ὁρᾶν ἔξεστι παντὶ τῷ βουλομένῳ· οἱ δὲ εἴσω μετὰ βασιλέως. καὶ οὗτοι δὲ οὐ συνδειπνοῦσιν αὐτῷ· ἀλλ' ἔστιν οἰκήματα δύο κατ' ἀντικρὺ [2] ἀλλήλων, ἐν
c ᾧ ὁ βασιλεὺς τὸ ἄριστον ποιεῖται, καὶ ἐν ᾧ οἱ σύνδειπνοι. καὶ ὁ βασιλεὺς ἐκείνους ὁρᾷ διὰ τοῦ παρακαλύμματος τοῦ ἐπὶ τῇ θύρᾳ· ἐκεῖνοι δ' αὐτὸν οὐχ

1 ἐσθῆτας λευκὰς habet *Epit.* 2 κατ' ἀντικρὺς edd.

triginta. Sunt vero qui multo etiam amplius impendant. Singulis enim oppidis, pro ratione magnitudinis, quemadmodum tributum, ſic & coena antiquitus imperata eſt.«

26. Heraclides vero Cumaeus, is qui Res Perſicas conſcripſit, ſecundo libro eorum quos inſcripſit Praeparatorios: » Qui coenantibus Perſarum regibus miniſtrant, inquit, omnes loti id munus obeunt, pulcris (candidis) veſtibus induti: & dimidia fere diei parte circa coenam occupantur. Convivarum autem regis alii foris coenant; quos ſpectare, quicumque vult, poteſt: alii vero intus cum rege. At ne hi quidem cum ipſo coenant: ſed ſunt duo conclavia ex adverſo alterum alteri poſita, quorum in uno rex cibum capit, in altero convivae: & illos quidem rex videt, per velum ianuae obductum; illi vero ipſum non vident. Nonnumquam

ὁρῶσιν. ἐνίοτε μέν τοι, ἐπειδὰν ἑορτὴ ᾖ, ἐν ἑνὶ οἰκήματι ἅπαντες δειπνοῦσιν, ἐν ᾧ καὶ ὁ βασιλεὺς, ἐν τῷ μεγάλῳ οἴκῳ. Ὅταν δὲ βασιλεὺς πότον ποιῆται, (ποιεῖ δὲ πολλάκις,) συμπόται αὐτῷ εἰσιν ὡς μάλιστα δώδεκα. καὶ ὅταν δειπνήσωσιν, ὅ τε βασιλεὺς αὐτὸς καθ' ἑαυτὸν, καὶ οἱ σύνδειπνοι, καλεῖ τοὺς συμπότας τούτους τις τῶν εὐνούχων. καὶ ὅταν συνέλθωσι, συμπίνουσι μετ' αὐτοῦ, οὐ τὸν αὐτὸν οἶνον κἀκεῖνοι· καὶ οἱ μὲν χαμαὶ καθήμενοι, ὁ δ' ἐπὶ κλίνης χρυσόποδος κατακείμενος· καὶ ὑπερμεθυσθέντες ἀπέρχονται. Τὰ δὲ πλεῖστα ὁ βασιλεὺς μόνος ἀριστᾷ καὶ δειπνεῖ. ἐνίοτε δὲ καὶ ἡ γυνὴ αὐτῷ συνδειπνεῖ, καὶ τῶν υἱῶν ἔνιοι. καὶ παρὰ τὸ δεῖπνον ᾄδουσί τε καὶ ψάλλουσιν αἱ παλλακαὶ αὐτῷ· καὶ μία μὲν ἐξάρχει, αἱ δὲ ἄλλαι ἀθρόως ᾄδουσι. Τὸ δὲ δεῖπνον, φησὶ, τοῦ βασιλέως καλούμενον, ἀκούσαντι μὲν δόξει d

tamen, cum incidit feſtus dies, in uno eodemque conclavi coenant hi, in quo & rex, in conclavi maiore. Cum vero compotationem rex inſtituit, (id quod ſaepius facit) compotant cum eo duodecim maxime. Nempe poſtquam coenarunt, ſeorſim rex, ſeorſimque ipſi, tum advocat hos compotatores unus ex eunuchis. Qui ubi regem convenerunt, bibunt cum eo; nec vero idem vinum hi atque ille; & hi quidem humi ſedentes, rex vero in lecto recumbens aureis pedibus inſtructo: denique ſupra modum temulenti discedunt. Plerumque vero rex ſolus & prandet & coenat: interdum vero uxor cum eo coenat, & liberorum nonnulli. Et inter coenandum canunt ei citharamque pulſant pellices; quarum una modos praeit, tum caeterae canunt confertim. Coena autem, inquit, quae Regis vocatur, magnifica

μεγαλοπρεπὲς εἶναι· ἐξεταζόμενον δὲ φανεῖται οἰκονομικῶς καὶ ἀκριβῶς συντεταγμένον, καὶ τοῖς ἄλλοις Πέρσαις τοῖς ἐν δυναστείᾳ οὖσι κατὰ τὸν αὐτὸν τρόπον. Ἔστι μὲν γὰρ τῷ βασιλεῖ χίλια ἱερεῖα τῆς ἡμέρας καταλοπτόμενα. τούτων δ' εἰσὶ καὶ ἵπποι, καὶ κάμηλοι, καὶ βόες, καὶ ὄνοι, καὶ ἔλαφοι, καὶ τὰ πλεῖστα πρόβατα· πολλοὶ δὲ καὶ ὄρνιθες ἀναλίσκονται, οἵ τε στρουθοὶ οἱ Ἀράβιοι, (ἔστι δὲ τὸ ζῶον μέγα) καὶ χῆνες, καὶ ἀλεκτρυόνες. καὶ μέτρια μὲν αὐτῶν παρατίθεται ἑκάστῳ τῶν συνδείπνων τοῦ βασιλέως, καὶ ἀποφέρεται ἕκαστος αὐτῶν ὅ τι ἂν καταλίπηται ἐπὶ τῷ ἀρίστῳ. τὰ δὲ πλεῖστα τούτων τῶν ἱερείων καὶ τῶν σιτίων, οὓς τρέφει βασιλεὺς τῶν τε δορυφόρων καὶ τῶν πελταστῶν, τούτοις ἐκφέρεται εἰς τὴν αὐλήν· οὗ οἱ ἐδέατροι [1] ἅπαντα, μερίδας ποιήσαν-

[1] οὗ ἰδεῖν ἅπ. edd. οὗ ἦν ἰδεῖν ἅπ. mſ. *A.* Unde forſan, οὗ ἦν ἰδεῖν ἅπαντα· καὶ οὗτοι μερίδας &c. i. e. *ubi omnia conſpici poterant: & hi* &c.

eſſe videbitur ſi quis de ea fando audivit: ſin diligentius inquiſiverit, prudente quadam frugalitate adcurate diſpenſatam reperiet; pariterque aliorum Perſarum coenam, in imperio aliquo conſtitutorum. Etenim mille quidem quotidie victimae regi caeduntur: in quibus ſunt & equi, & cameli, & boves, & aſini, & cervi, & plurima pars oves; conſumuntur vero multae etiam aves, ſtruthiones Arabici, (vaſti corporis animans eſt) & anſeres, & galli gallinacei. Et horum quidem modica pars adponitur cuique convivarum regis, & domum auferendum quisque curat quidquid ipſi de prandio ſupereſt. Plurima vero pars iſtarum victimarum ciborumque in uſum ſatellitum & peltaſtarum, quos alit rex, in aulam defertur: ibi epularum praefecti, carnium &

τες τῶν κρεῶν καὶ τῶν ἄρτων ἴσας, διαιροῦνται. ὥσπερ δὲ οἱ μισθοφόροι ἐν τῇ Ἑλλάδι μισθὸν ἀργύριον λαμβάνουσιν, οὕτως οὗτοι τὰ σιτία παρὰ τοῦ βασιλέως εἰς ὑπόλογον λαμβάνουσιν. Οὕτω δὲ καὶ παρὰ τοῖς ἄλλοις Πέρσαις, τοῖς ἐν δυναστείᾳ οὖσιν, ἀθρόα πάντα τὰ σιτία ἐπὶ τὴν τράπεζαν παρατίθεται· ἐπειδὰν δὲ οἱ σύνδειπνοι δειπνήσωσι, τῶν ἀπὸ τῆς τραπέζης παραλειπομένων (καταλείπεται δὲ τὰ πλεῖστα κρέα καὶ ἄρτοι) ὁ τῆς τραπέζης ἐπιμελούμενος δίδωσιν ἑκάστῳ τῶν οἰκετῶν· καὶ ταῦτα λαβὼν, τὴν καθ' ἡμέραν ἔχει τροφήν. παρὰ γὰρ τὸν βασιλέα Φοιτῶσιν οἱ ἐντιμότατοι τῶν συνδείπνων ἐπὶ τὸ ἄριστον μόνον, διὰ τὸ παρῃτῆσθαι, ἵνα μὴ δὶς πορεύωνται, ἀλλὰ καὶ αὐτοὶ τοὺς συνδείπνους ὑποδέχωνται. a

XXVII. Ἡρόδοτος δέ φησιν ἐν τῇ ἑβδόμῃ· „ὡς οἱ ὑποδεχόμενοι Ἑλλήνων τὸν βασιλέα καὶ δειπνίζοντες Ξέρ-

panum aequas facientes partes, omnia diſtribuunt. Quemadmodum enim mercenarii milites in Graecia pecuniam pro ſtipendio accipiunt, ſic iſti a rege accipiunt victum, qui in ſtipendium illis imputatur. Pari autem modo apud alios Perſas, qui alicui imperio praeſunt, omnes quidem cibi confertim menſae imponuntur: ſed poſtquam coenarunt convivae, de his quae a menſa ſuperſunt (ſupereſt autem plurima pars & carnium & panum) curator menſae ſingulis domeſticorum ſuam cuique portionem diſtribuit; quam qui accepit, is diurnum victum habet. Nam ad regem convivarum honoratiſſimi non niſi ad prandium accedunt; quippe qui deprecati ſunt, ne bis venire teneantur, quo & ipſi ſuos excipere convivas poſſint.«

27. Herodotus vero libro ſeptimo ſcribit: »Graecos eos, qui Xerxem regem coena exceperunt, in extre-

ξην, ἐς πᾶν κακοῦ ἀφίκοντο οὕτως, ὥστε ἐκ τῶν οἴ- Sumtus in
κων ἀνάστατοι ἐγίνοντο· ἄκου Θασίοισιν, ὑπὲρ τῶν ἐν Regum coe-
τῇ Ἠπείρῳ πολίων τῶν σφετέρων δεξαμένοις τὴν Ξέρ- nam impen-
ξεω στρατιὰν, καὶ δειπνίσασι, τετρακόσια τάλαντα si.
b ἀργυρίου Ἀντίπατρος τῶν ἀστῶν ἀνὴρ ἐδαπάνησε. καὶ
γὰρ ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ, καὶ κρατῆρας
παρετίθεντο· καὶ ταῦτα μετὰ τὸ δεῖπνον [πάντα λα-
βόντες ἀπέλαυνον.] [1] εἰ δὲ Ξέρξης δὶς ἐσιτέετο, μετα-
λαμβάνων καὶ ἄριστον, ἀνάστατοι ἂν ἐγεγόνεσαν αἱ
πόλεις." Καὶ ἐν τῇ ἐννάτῃ δὲ τῶν Ἱστοριῶν φησί·
„Βασιλήϊον δεῖπνον βασιλεὺς προτίθεται. τοῦτο δὲ
παρασκευάζεται ἅπαξ τοῦ ἐνιαυτοῦ, ἐν ἡμέρῃ τῇ ἐγέ-
νετο ὁ βασιλεύς. οὔνομα δὲ τῷ δείπνῳ Περσιστὶ μὲν
τυκτὰ, Ἑλληνιστὶ δὲ τέλειον. τότε καὶ τὴν κε-
c φαλὴν σμᾶται μοῦνον, καὶ Πέρσαις δωρέεται." Ὁ δὲ

1 Verba, quae uncis inclusi, ex Herodoto hic adiicienda putavi. Quae cum abessent vulgo, pro καὶ ταῦτα μετὰ τὸ δεῖπνον viri docti corrigebant καὶ ταῦτα μὲν τὰ τοῦ δείπνου.

mam veniſſe miſeriam, adeo ut ſuis etiam laribus fierent extorres. Exemplo ſunt (inquit) Thaſii; quorum nomine, quum pro iis oppidis quae in continente poſſident, Xerxis copias hoſpitio & coena excepiſſent, civis ipſorum Antipater quadringenta argenti talenta inſumſit. Nam etiam argentea & aurea pocula & crateres adpoſuerant: quae omnia illi poſt coenam auferentes ſecum aſportarunt. Quod ſi bis cibum Xerxes cepiſſet, & apud eos etiam pranſus eſſet, plane funditus periturae erant civitates. « Idem nono Hiſtoriarum libro ſcribit: »Regiam coenam rex publice praebet. Inſtituitur autem illa ſemel quotannis, eo die quo natus rex eſt. Nomen illi coenae Perſico idiomate *tycta* eſt; quod noſtro ſermone *perfectum* ſonat. Eo etiam ſolo die rex ſmegmate ablui perfricarique ſibi caput curat, & Perſis dona diſtribuit. « Magnus quidem Alexander cum

μέγας Ἀλέξανδρος δειπνῶν ἑκάστοτε μετὰ τῶν φίλων, ὡς ἱστορεῖ Ἔφιππος ὁ Ὀλύνθιος ἐν τῷ Περὶ τῆς Ἀλεξάνδρου καὶ Ἡφαιστίωνος μεταλλαγῆς, ἀνήλισκε τῆς ἡμέρας μνᾶς ἑκατὸν, δειπνούντων ἴσως ἑξήκοντα ἢ ἑβδομήκοντα φίλων. ὁ δὲ Περσῶν βασιλεὺς, ὥς φησι Κτησίας καὶ Δίνων ἐν τοῖς Περσικοῖς, ἐδείπνει μὲν [1] μετὰ ἀνδρῶν μυρίων πεντακισχιλίων, καὶ ἀνηλίσκετο [2] εἰς τὸ δεῖπνον τάλαντα τετρακόσια. γίνεται δὲ ταῦτα Ἰταλικοῦ νομίσματος ἐν μυριάσι διακοσίαις τεσσαράκοντα. αὗται δὲ εἰς μυρίους πεντακισχιλίους μεριζόμεναι, ἑκάστῳ ἀνδρὶ γίνονται ἀνὰ ἑκατὸν ἑξήκοντα Ἰταλικοῦ νομίσματος. ὥστ' εἰς ἴσον καθίστασθαι τῷ τοῦ Ἀλεξάνδρου ἀναλώματι· ἑκατὸν γὰρ μνᾶς ἀνήλισκεν, ὡς ὁ Ἔφιππος ἱστόρησεν. d

Μένανδρος δ' ἐν Μέθῃ τοῦ μεγίστου δείπνου δαπάνημα τάλαντον τίθησι, λέγων οὕτως·

1 Omittunt μὲν edd. 2 ἀνήλισκεν *Epit.*

amicis coenans, ut tradit Ephippus Olynthius in libro de Alexandri & Hephaeſtionis obitu, centum minas impendebat quotidie, coenantibus circiter ſexaginta aut ſeptuaginta amicis. Perſarum vero rex, ut ait Cteſias & Dinon in Perſicis, coenabat cum virorum millibus quindecim, impendebanturque in coenam talenta quadringenta. Ea, Italico numiſmate computata, efficiunt vicies quater centena millia denariorum: quam ſummam ſi in partes quindecies mille dividas, fuerint in ſingulos viros centeni ſexageni denarii Italici. Itaque eodem redit impenſa regis Perſarum atque impenſa Alexandri, qui, ut Ephippus tradidit, centum minas impendebat.

Menander vero in Methe, (*id eſt*, Temulentiâ) ampliſſimae coenae ſumtum talento aeſtimat, cum ait:

Εἶτ' οὐχ ὅμοια [1] πράττομεν, καὶ θύομεν.
ὅπου γε τοῖς θεοῖς μὲν ἠγορασμένον
e δραχμῶν ἄγω προβάτιον ἀγαπητὸν δέκα.
αὐλητρίδας δὲ, καὶ μύρον, καὶ ψαλτρίας
ταύτας, * [2] Θάσιον, ἐγχέλεις, τυρὸν, μέλι· — —
μικροῦ ταλάντου [3] γίνεται τὸ κατὰ λόγον.

ὡς γὰρ ὑπερβολῆς τινος ἀναλώματος, τάλαντον ὠνόμασε. καὶ ἐν Δυσκόλῳ δέ φησιν οὕτως·

Ὡς θύουσι δ' οἱ τοιχωρύχοι·
κοίτας φέροντες, στάμνια τ', [4] οὐχὶ τῶν θεῶν
ἕνεκ', ἀλλ' ἑαυτῶν. ὁ λιβανωτὸς εὐσεβὲς,
f καὶ τὸ πόπανον· τοῦτ' ἔλαβεν ὁ θεὸς ἐπὶ τὸ πῦρ
ἅπαν ἐπιτεθέν. οἱ δὲ τὴν ὀσφῦν ἄκραν,
καὶ τὴν χολὴν, ὀστᾶ τ' ἄβρωτα [5] τοῖς θεοῖς

1 Alibi Εἶτ' οὐχ ἅπαντα, quod in Εἶτ' οὐχ ἀτοπώτατα mutant docti viri. 2 τὸ Θάσιον ed. Caſ. 1. 2. Alibi vero apud Noſtrum habent omnes Μενδαῖον, Θάσιον. 3 μικροῦ τάλαντον edd. 4 Vulgo στάμνι' absque coniunct. Ubi καὶ στάμνι' corr. Grot. cum Caſ. 5 ἔτ' ἐς τὰ βρώματα edd. Sed pro ἔτ' ἐς eſt ὅτι ἐς in ms. *A*.

Dein non ſimiliter haec curamus, ac Diis ſacra facimus.
Nam Diis quidem emtam
adduco oviculam drachmarum vix decem.
Tibicinas vero, & unguentum, & pſaltrias
has, Thaſium, anguillas, caſeum, mel; . . .
impenſae ratio parum a talento abeſt.

Nam tamquam immodicum quemdam ſumtum commemorans, talentum dixit. In Dyſcolo vero (*id eſt*, Moroſo) ſic ait:

Ut vero ſacrificant hi murorum-perfoſſores!
Ciſtas adferunt, & dolia; non Deorum
gratiâ, ſed ſuâ. Thus quidem pium eſt,
& libum: hoc accipit Deus igni
totum impoſitum. Sed iidem, poſtquam lumbi extremitatem,
& fel, & oſſa quae nemo comedere poteſt, Diis

ἐπιθέντες, αὐτοὶ τἆλλα καταπίνουσ' ἀεί. [1]

XXVIII. Philoxeni Coena.

Φιλόξενος δ' ὁ Κυθήριος ἐν τῷ ἐπιγραφομένῳ Δείπνῳ (εἴπερ τούτου καὶ ὁ κωμῳδιοποιὸς Πλάτων ἐν τῷ Φάωνι ἐμνήσθη, καὶ μὴ τοῦ Λευκαδίου Φιλοξένου) τοιαύτην ἐκτίθεται παρασκευὴν δείπνου·

„Εἰς δ' ἔφερον διπλόοι παῖδες λιπαρῶπα τράπεζαν
ἄμμι, [2] ἑτέραν δ' ἕτεροι, ἄλλοι δ' ἑτέραν, μέχρι
οὗ πλήρωσαν οἶκον, ταὶ δὲ πρὸς ὑψιλύχνους ἔστιλ- a
βον αὐγὰς αἰὶ στεφάνοις [3] λαχάνοις παροψίσι τε
ὀξυβάφων πλήρεις, σύν τε χλιδῶσαι παντοδαποὺς [4]
τέχνας εὑρήκατι [5] πρὸς βιοτὰν ψυχᾶς, δελεασμα-
τίοισι παρέφερον ἐν κανέοισι μάζας χιονοχρόας.
ἄλλοι δ' ἐπεὶ πρῶτα παρῆλθεν οὐ κάκπαβος, ὦ

1 Vulgo καταπίνουσι. absque ἀεί. 2 ἄμμι δ' ἑτέραν edd. invitis msstis. In longa ista Philoxeni ecloga, de qua expedienda viri doctissimi desperarunt, non nisi perpauca vel codicis msti ope vel ex facili coniectura corrigere licuit: caetera intacta reliqui. Subieci latinam versionem ex Dalecampii ingenio profectam, nihil ne in hac quidem mutare praesumens. 3 ἑστεφάνοις ms. *A.* absque αἰ. Et satis utique esse στέφανοι videtur, deleta illa vocula. 4 παντοδαποῖς ms. *A.* 5 εὑρήματι ms. *A.* εὑρήκατε corr. Koen.

obtulerunt, reliqua ipsi semper devorant.

28. Philoxenus vero Cytherius in carmine, quod *Coena* inscribitur, (nam illius etiam Philoxeni Plato Comicus meminit in Phaone, non Leucadii) talem exponit coenae adparatum:

Attulere mensam lata facie duo pueri
nobis, alteram alii, aliamque rursus alii, donec aedes impleverunt mensis, quae ad pensilium lucernarum splendorem nitentes, coronis, oleribus, lancibus, acetabulis luxuriabant: tum vero nobis artes omnifarias ad usum vitae lautioris, & illecebram animi repertas, advexerunt, nempe in canistris nivei coloris mazas. Alii cum primum

Φιλότας, ἀλλὰ λοπὰς, ἧς [1] τὸ μέγιστον πάντη ἔπεθεν [2] λιπαρόν τ' ἐς ἐγχέλεάς [3] τινες ἄριστον, γογγροιτοιωνητεμὼν πλῆρες θεοτερπές. ἐπ' αὐτῷ δ' ἄλλο παρῆλθε τόσον βαστισνέην ἰσόκυκλος. μι-
b κρὰ δὲ κακκάβι' ἧς, [4] ἔχοντα τὸ μὲν γαλεουτινάρκιον ἄλλου παρῆς ἕτερον. πίων ἀπὸ τευθιάδα, καὶ σηπίου πολυποδίων ἀπαλοπλοκάμων. θερμὸς μετὰ ταῦτα παρῆλθεν ἰσοτράπεζος ὅλος μνήστης συνόδων πυρὸς, ἔπειτα βαθμοὺς ἀτμίζων, ἐπὶ τῷ δ' ἐπίπυσται τευθίδες ὦ φίλαι, καὶ ξανθαὶ μελικαρίδες αἱ κοῦφαι [5] παρῆλθον, θρυμματίδες δ' ἐπὶ ταύταις εὐπέταλοι, χλωραί τε ἡδυφάρυγγες, [6]
c πυρίων τε στεγναὶ βύσται μέγαθος κακκάβου γλυκὺ [7] ὄξιος ὀμφαλὸς θοινάας, καλεῖται παρά γ'

1 Suspicabar ἀλλὰ λοπὰς ἧς. Sed ἀλλ' ἀλλοπλατεῖς est in ms. Tum in eodem mox 2 πάντ' ἔπαθεν, & 3 ἐγχέλεα. 4 κακκάβι' ἔχοντα edd. Sed κακκαβίης ἐχ. ms. 5 κυφαὶ legendum censuit vir doctus. 6 τε δη φάρυγγες ms. 7 In eodem sic scribitur: βύσται μέγαθος κακά· κακκάβου γλυκυου ὄξ.

accessit non cacabus, o Philetas, sed patella, cuius amplitudo quaquaversum mensam occupabat, anguillas quasdam pingues pransi sunt, congrumque frustratim discederunt, fartum, divini saporis. Post id ferculum advenit magnitudinis aequalis, scaphae par, orbis, humeris gestatus, in quo pusilli cacabi fuere, unus quidem galei pinguis, alter torpedinis, superiori proximus, alius loliginis, sepiae, & molli crine polypodum igne calentium. Post haec accessit mensae par alius orbis, eorum aemulus & tanquam rivalis qui ignem comitantur, nidoris plurimum exhalans: super hoc charae appulerunt dispersae loliginis, flavaeque, leves, ac mellitae squillae, & praeter has foliis pulcrae thrymmatides, virentes, faucibus iucundae, ferventes, spissae, immersae iusculo, cacabi magnitudine, cum acore dulces, convivii umbilici, quas

ἐμὶν καὶ τίν᾽ σαφ᾽ οἶδα. ἔστα δὲ, ναὶ μὰ θεοὺς [1] ὑπερμέγεθες [2] τίθεμος [3] θυγμοῦ μόλεν ὀπτὸν ἐκεῖθεν θερμὸν, ὅθεν γλυφὶς τέτμενον [4] εὐθὺς ἐπ᾽ αὐτὰς τὰς ὑπογαστρίδας διανεκέος ἐπάμυνε πέμιντε μελοικαίτιν [5] μάλα κεν κεχαροίμεθα, ἀλλ᾽ οὐθὲν ἐλλείπομεν θοιναπαρέης, ὅτε παλάξαι δύνατ᾽ ἐπικρατέως. ἔγω γετικοῦ, καὶ λέγοι τις πάντα παρῆν ἑτοίμως ὔμμιν, παρέπεσσε δὲ θερμὸν σπλάγχον. ἔπειτα δὲ νῆστις δέλφακος οἰκετικᾶς, καὶ νώτιος εἴληφε, d καὶ ὀσφῦς, καὶ μινυρίγματα θερμὰ, καὶ κεφάλαιον ὅλον διάπτυχες ἐφθὸν, ἀπερπευθηνὸς ἀλεκτοτρόφου, πνικτᾶς ἐρίφου παρέθηκε, εἶτα δίεφθα κροκώλια, σχελίδας τε [6] μετ᾽ αὐτῶν λευκοφορινοχρόους, ῥύγχη, καὶ κεφαλαὶ, ἄποδος τεχνά-

1 Vulgo παράγεμιν κάπιν σαφύοιδα ἑσταδαναιμαθέους. 2 ὑπερμέγεθος edd. 3 τίθεμες puto oportebat. 4 τέμενον edd. 5 ἐμὶν τε μέλοι καὶ τὶν corr. Koen. 6 χρόχῳ. λασχελίδας τε edd.

apud nos vocant καπυροφυσοοιδεῖς. *Manſa quoque nobis eſt inuſitatae magnitudinis ſalſamenti pulpa, quam ad nos profectam, aſſam, calentem attigimus: inde dimiſſi mox ac continenter ſumina ulti ſumus, omnia molientes quo maior voluptas eſſet, aliudque nihil ex praeſentibus epulis intactum relinqueretur, quod abſumere ſtrenue poſſemus. Ego vero, ſi quis interroget qualia nobis parata eſſent, reſpondeam, adlapſum fuiſſe calens viſcus, deinde lactes porci domeſtici: adveniſſeque bovis tergus ac lumbos, & calentia minutalia. Poſt haec allatum eſt integrum caput, in duas partes diviſum, ac explicatum, olla coctum operculata, nonnihil rubeſcens, hoedi, lacte ſolo nutriti. Inde pernas croco tinctas bis elixas, albo cutis colore, cum ſuperioribus obſoniis, & roſtra, capitaque ſuum praebuerunt, & ſcite & artificioſe*

ματι ὄντες [1] ἐσιφωμένον. ἐφθά τ' ἔπειτα κρέα, ὀπτὰ ἄλλ' ἐρίφων τε, καὶ ἀρνῶν ἀθυπέρωμα [2] καρὸς χορδή· γλυκὺς ταμιξεριφαρνογένης [3] ἀνδηφιλέοντι [4] θεοὶ τούτῳ φιλέτας ἔσθοις, καὶ λαγῶά τ' ε ἔπειτ' ἀλεκτρυόνων τε νεοσσοὶ, περδίκων, φάσεων τε χύδαν. ἤδη δὲ παρεβάλλετο θερμὰ πολλὰ, καὶ μαλακοπτυχέων ἄρτων. ὁμοσσύζυγα δὲ, ξανθόν τ' ἐπεισῆλθε μέλι, καὶ γάλα σύμπακτον, τὸ καὶ τυρὸν ἅπας τις ἦ μὲν [5] ἔφασκεν ἁπαλὸν, κἠγὼν ἐφάμαν. ὅτε δ' ἤδη βρωτύος, ἠδὲ ποτᾶτος ἐς κόρον ἑταῖροι ἵμεν, [6] τῆνα μὲν ἐξαπαείρεον δμῶες· ἔπειτα δὲ παῖδες νίπτρ' ἔδοσαν κατὰ χειρῶν." [7]

XXIX. Cleopatrae convivium.

Σωκράτης δὲ ὁ Ῥόδιος ἐν τρίτῳ Ἐμφυλίου πολέμου, τὸ Κλεοπάτρας ἀναγράφων συμπόσιον, τῆς f τελευταίας Αἰγύπτου βασιλευσάσης, γημαμένης δ' Ἀντωνίῳ Ῥωμαίων στρατηγῷ ἐν Κιλικίᾳ, φησὶν οὕ-

1 τεχνάματ' ἰόντες edd. 2 ἀθυπέρκομα edd. 3 Forſ. γλυκύς τε μιξεριφ. 4 Immo, ἂν δὲ φιλέωντι θεοὶ, tum forſan τούτῳ, pro τούτῳ. 5 ἡ μὲν vulgo. ἣ μὴν malebam. 6 ἧσμεν edd. quod in ἦσμεν mutandum cenſuit Maitt. 7 κατὰ χειρός. edd.

congeſta omnia: deinde partim elixam hoedinam, partim aſſam, agninamque ſimul. Horum venuſto capiti mixtim ſuperſtabant inteſtina ſuaviſſima hoedorum & agnorum, quibus Dii cum amicis epulantes veſcuntur libenter. Advecti ſunt & lepores, & gallinarum pulli, phaſianorumque, ac perdicum, abundanter. Iam & panis molliter convoluti plurimum adiectum eſt. Una cum his coniugata venerunt, mel flavum, concretum lac, Tyronapaſtis, quam lautam eſſe aiebant, & faſſus ego quoque ſum. Nobis vero iam cibo potioneque ſatiatis, o amici, abſtulerunt ea famuli: deinde manibus eluendis aquam pueri dedere.

29. Socrates vero Rhodius, tertio libro de Bello Civili, Cleopatrae convivium deſcribens, ultimae Aegypti reginae, quae Antonio Romanorum imperatori nu-

τως· „Ἀπαντήσασα τῷ Ἀντωνίῳ ἡ Κλεοπάτρα ἐν Κιλικίᾳ, παρεσκεύασεν αὐτῷ βασιλικὸν συμπόσιον, ἐν ᾧ πάντα χρύσεα καὶ λιθοκόλλητα, περιττῶς ἐξειργασμένα ταῖς τέχναις· ἦσαν δὲ, φησὶ, καὶ οἱ τοῖχοι ἀλουργέσι καὶ διαχρύσοις ἐμπεπετασμένοι ὕφεσι. καὶ δώδεκα τρίκλινα διαστρώσασα, ἐκάλεσε τὸν Ἀντώνιον μεθ' ὧν ἐβούλετο, ἡ Κλεοπάτρα. τοῦ δὲ τῇ πολυτε- a
λείᾳ τῆς ὄψεως ἐκπλαγέντος, ὑπομειδιάσασα, ταῦτ' ἔφη πάντα δωρεῖσθαι αὐτῷ, καὶ εἰς αὔριον παρεκάλει συνδειπνῆσαι πάλιν, ἥκοντα μετὰ τῶν φίλων καὶ τῶν ἡγεμόνων. ὅτε καὶ πολλῷ κρεῖττον διακοσμήσασα τὸ συμπόσιον, ἐποίησε φανῆναι τὰ πρῶτα μικρά· καὶ πάλιν καὶ ταῦτα ἐδωρήσατο. τῶν δ' ἡγεμόνων, ἐφ' ᾗ ἕκαστος κατέκειτο κλίνῃ, καὶ τὰ κυλίκια, καθὼς ταῖς στρωμναῖς ἐμεμέριστο, ἑκάστῳ φέρειν ἐπέ-

psit in Cilicia, sic ait, »Postquam Antonio obviam venit Cleopatra in Cilicia, regium ei convivium instruxit; in quo vasa omnia aurea, & gemmis distincta erant, exquisitaque arte elaborata. Erant vero etiam parietes, inquit, tapetibus purpura & auro distinctis obducti. Tum stratis tricliniis duodecim, ad coenam Antonium, cum quibuscunque vellet, vocavit Cleopatra. Illo igitur magnificentiâ adspectus stupefacto, subridens regina, *ista omnia se ei donare* ait: & in posterum diem rursus invitavit ut coenatum ad se veniret cum amicis & copiarum ducibus. Tum vero multo splendidius instructo convivio effecit, ut exigua viderentur priora: ac rursus haec quoque dono ei dedit. Ducum vero unicuique & lectulum, super quo quisque cubuerat, & vasa potoria, prouti per singulos lectulos distributa fuerant, secum auferenda permisit. Et di-

τρεψε. καὶ κατὰ τὴν ἄφοδον, τοῖς μὲν ἐν ἀξιώμασι
b φορεῖα σὺν τοῖς κομίζουσι, τοῖς πλείοσι δὲ καταργύροις σκευαῖς κεκοσμημένους ἵππους, πᾶσι δὲ λαμπτηροφόρους παῖδας Αἰθίοπας παρέστησε. Τῇ δὲ τετάρτῃ τῶν ἡμερῶν ταλαντιαίους εἰς ῥόδα μισθοὺς δέδωκε· καὶ κατεστρώθη ἐπὶ πηχυαῖα βάθη [1] τὰ ἐδάφη τῶν ἀνδρώνων, [2] ἐμπεπετασμένων δικτύων τοῖς κάλυξιν. " [3] Ἱστορεῖ δὲ καὶ „αὐτὸν τὸν Ἀντώνιον, ἐν Antonius Bacchum aemulatur.
Ἀθήναις μετὰ ταῦτα διατρίψαντα, περίοπτον ὑπὲρ τὸ
Θέατρον κατασκευάσαντα σχεδίαν, χλωρᾷ πεπυκασμένην ὕλῃ, ὥσπερ ἐπὶ τῶν Βακχικῶν ἄντρων γί-
c νεται, ταύτης τύμπανα καὶ νεβρίδας καὶ παντοδαπὰ ἄλλα ἀθύρματα Διονυσιακὰ ἐξαρτήσαντα, μετὰ τῶν φίλων ἐξ ἑωθινοῦ κατακλινόμενον μεθύσκεσθαι, λειτουργούντων αὐτῷ τῶν ἐξ Ἰταλίας μεταπεμφθέντων ἀκροαμάτων, συνηθροισμένων ἐπὶ τὴν θέαν τῶν Παν-

1 ἐπὶ τῇ χειαβάθῃ edd. vett. ἐπὶ πήχυια βάθη ed. Caſ. cum mss. ἐπὶ πυκνὰ βάθη citatur e ms. Farneſ. 2 τῶν δένδρων mss. Deſunt duae voces libris editis. 3 Vulgo τοῖς ἕλιξιν.

greſſuris, qui dignitate excellebant, lecticas cum lecticariis baiulis; caeteris equos argenteis phaleris ornatos; omnibus Aethiopicos pueros, qui faces praeferrent, exhibuit. Quarto vero die talenti ſumtu convehendas roſas curavit: & ad cubiti altitudinem ſtrata erant pavimenta coenaculorum, expanſis retibus ſuper floribus. « Narrat etiam »ipſum Antonium poſt haec, cum Athenis verſaretur, ſuper theatro temporarium pegma exſtruxiſſe omnium oculis expoſitum, viridi fronde tectum, ut fit in Bacchicis antris, ſuſpenſis ex eo tympanis & hinnulorum pellibus aliisque multifariis Bacchicorum ludorum crepundiis: ibi cum amicis a primo mane recubantem compotaſſe, miniſtrantibus ei mimis ſcurrisque, quos ex Italia acciverat, confluentibus

ελλήνων. μετέβαινε δ' ἐνίοτε, φησὶ, καὶ ἐπὶ τὴν ἀκρόπολιν, ἀπὸ τῶν τειχῶν λαμπάσι δαδουχουμένης πάσης τῆς Ἀθηναίων πόλεως. καὶ ἔκτοτε ἐκέλευσεν ἑαυτὸν Διόνυσον ἀνακηρύττεσθαι κατὰ τὰς πόλεις ἁπάσας." Καὶ Γάϊος δὲ ὁ αὐτοκράτωρ, ὁ Καλλίκολα προσαγορευθεὶς διὰ τὸ ἐν στρατοπέδῳ γεννηθῆναι, οὐ μόνον ὠνομάζετο νέος Διόνυσος, ἀλλὰ καὶ τὴν Διονυσιακὴν πᾶσαν ἐνδύνων στολὴν προῄει, καὶ οὕτως ἐσκευασμένος ἐδίκαζεν.

Caligula, novus Bacchus.

d

XXX.

Thebanorum coena.

Εἰς ταῦτα ἐστὶν ἀποβλέποντα, τὰ ὑπὲρ ἡμᾶς,[1] ἀγαπᾶν τὴν Ἑλληνικὴν πενίαν, λαμβάνοντα πρὸ ὀφθαλμῶν καὶ τὰ παρὰ Θηβαίοις δεῖπνα. περὶ ὧν Κλείταρχος ἐν τῇ πρώτῃ τῶν περὶ Ἀλέξανδρον Ἱστοριῶν διηγούμενος, καὶ ὅτι ὁ πᾶς αὐτῶν πλοῦτος ηὑρέθη μετὰ τὴν ὑπ' Ἀλεξάνδρου τῆς πόλεως κατασκαφὴν ἐν ταλάντοις τετρακοσίοις τεσσαράκοντά φησιν,

e

1 Ista τὰ ὑπὲρ ἡμᾶς aut delenda aut mutanda cenſuit Caſaub.

ad id ſpectaculum Graecis univerſis. Transibat etiam, inquit, ſubinde in arcem, totâ Athenienſium urbe facibus e tectis praelucente. Et ex eo tempore per omnes civitates *Bacchum* ſe praeconis voce iuſſit proclamari. « Pariter vero etiam Caius imperator, qui, quia in exercitu & caſtris natus erat, Caligula eſt cognominatus, non modo *novus Bacchus* adpellatus eſt, ſed & univerſo Bacchico cultu habituque indutus in publicum prodibat, atque ita inſtructus ius dicebat.

30. Haec, quae ſupra nos ſunt, intuens aliquis, laudaverit Graecorum tenuitatem, *Thebanorum* etiam coenas ob oculos ſibi ponens. De quibus verba faciens Clitarchus, libro primo Hiſtoriarum Alexandri, ait, omnes eorùm divitias poſt urbem ab Alexandro everſam intra quadringenta & quadraginta talenta eſſe re-

ζωμὸς, καὶ περίκομμα· πρόσχερα δὲ ἑκάστῳ δύο κρέα. Ἐνόμιζον δ' ἐν ἅπασι τοῖς δείπνοις, μάλιστα δὲ τοῖς λεγομένοις μάζωσι, (τοῦτο γὰρ ἔτι καὶ νῦν ἡ Διονυσιακὴ σύνοδος ἔχει τοὔνομα,) τοῖς ἐσθίουσι τῶν νέων ἀνδρικώτερον, ζωμόν τ' ἐγχεῖν πλείω, καὶ μάζας καὶ ἄρτους παραβαλεῖν. γενναῖος γὰρ ὁ τοιοῦτος ἐκρίνετο καὶ ἀνδρώδης ὑπάρχειν. Θαυμαστὸν γὰρ ἦν
c καὶ περιβόητον παρ' αὐτοῖς ἡ πολυφαγία. Μετὰ δὲ τὸ δεῖπνον σπονδὰς ἐποιοῦντο, οὐκ ἀπονιψάμενοι τὰς χεῖρας, ἀλλ' ἀποματτόμενοι τοῖς ψωμοῖς, καὶ τὴν ἀπομαγδαλίαν [1] ἕκαστος ἀπέφερε· τοῦτο ποιοῦντες ἕνεκα τῶν ἐν ταῖς ἀμφόδοις γινομένων νυκτερινῶν φόβων. ἀπὸ δὲ τῶν σπονδῶν παιᾶνα ᾄδεται. Ὅταν δὲ τοῖς Ἥρωσι θύωσι, [2] βουθυσία μεγάλη γίνεται, καὶ ἑστιῶνται πάντες μετὰ τῶν δούλων· οἱ δὲ παῖδες ἐν

εὐδειπνίας edd. & εὐδείπνειας ms. *A.* 1 Rectius ἀπομαγδαλιὰν ſcribetur. 2 Θύσωσι ms. *Epit.*

commune omnibus ius adponitur, & minutal: cuique vero, in manus, duo carnium fruſta. Erat autem more apud eos receptum omnibus in coenis, maxime vero in eis quae *mazones* adpellantur, (quod nomen etiam nunc Bacchicum convivium obtinet) ut iuvenibus prae caeteris ſtrenue edentibus, plus iuris infunderent, & maiorem mazae & panum copiam adponerent. Fortis enim & ſtrenuus eſſe exiſtimabatur talis iuvenis: nam admirationi atque laudi apud eos erat edacitas. Poſt coenam libationem faciebant, manibus non lotis, ſed micâ panis abſterſis; & panem, quo abſterſerant manus, ſecum quisque auferebat: id quod faciebant terrorum nocturnorum cauſſâ, qui in compitis incidere poſſent. Poſt libationem paean canitur. Cum vero Heroibus ſacra faciunt, multos boves caedunt, & epulantur omnes cum ſervis: pueri vero in illis conviviis ſimul cum pa-

ταῖς ἑστιάσεσι μετὰ τῶν πατέρων, ἐπὶ λίθων καθήμενοι γυμνοὶ, συνδειπνοῦσιν." Θεόπομπος δ' ἐν τῇ d ἕκτῃ καὶ τεσσαρακοστῇ τῶν Φιλιππικῶν· „Οἱ Ἀρκάδες, φησὶν, ἐν ταῖς ἑστιάσεσιν ὑποδέχονται τοὺς δεσπότας καὶ τοὺς δούλους, καὶ μίαν πᾶσι τράπεζαν παρασκευάζουσι, καὶ τὰ σιτία πᾶσιν εἰς τὸ μέσον παρατιθέασι, καὶ κρατῆρα τὸν αὐτὸν πᾶσι κιρνᾶσι." [1]

XXXII. Naucratitarum coenae.

„Παρὰ δὲ Ναυκρατίταις, ὡς φησιν Ἑρμείας ἐν τῷ δευτέρῳ τῶν Περὶ τοῦ Γρυνείου Ἀπόλλωνος, ἐν τῷ πρυτανείῳ δειπνοῦσι γενεθλίοις Ἑστίας Πρυτανίτιδος, καὶ Διονυσίοις, ἔτι δὲ τῇ τοῦ Κωμαίου Ἀπόλλωνος πανηγύρει, εἰσιόντες πάντες ἐν στολαῖς λευκαῖς, ἃς e μέχρι καὶ νῦν καλοῦσι πρυτανικὰς ἐσθῆτας. καὶ κατακλινθέντες [2] ἐπανίστανται εἰς γόνατα, τοῦ ἱεροκήρυκος τὰς πατρίους εὐχὰς καταλέγοντος, συσπένδοντες. μετὰ δὲ ταῦτα κατακλιθέντες, λαμβάνουσιν ἕκαστος

1 κίρνῶσι edd. 2 Forſ. κατακλιθέντες, ut paulo poſt.

tribus coenant, ſaxis nudi inſidentes. « Theopompus vero, ſexto & quadrageſimo Rerum Philippicarum: »Arcades, inquit, epulis ſolennibus heros & ſervos excipiunt, & eamdem omnibus menſam inſtruunt, cibosque omnibus in medium adponunt, eumdemque cálicem omnibus miſcent.«

32. »Apud *Naucratitas*, ut ſcribit Hermeas libro ſecundo de Gryneo Apolline, coenant in prytaneo natalitiis Veſtae Prytanitidis, & feſtis Bacchanalibus, itemque in Comaei Apollinis celebritate, ingredientes omnes candidis induti ſtolis, quas etiam nunc *prytanicas veſtes* adpellant. Et poſtquam adcubuerunt, ſurgentes rurſus in genua procumbunt, una cum ſacro praecone libantes, patrias preces praeeunte. Dein poſtquam iterum adcubuerunt, accipiunt quisque vini cotulas duas,

ζωμὸς, καὶ περίκομμα· πρόσχερα δὲ ἑκάστῳ δύο κρέα. Ἐνόμιζον δ' ἐν ἅπασι τοῖς δείπνοις, μάλιστα δὲ τοῖς λεγομένοις μάζωσι, (τοῦτο γὰρ ἔτι καὶ νῦν ἡ Διονυσιακὴ σύνοδος ἔχει τοὔνομα,) τοῖς ἐσθίουσι τῶν νέων ἀνδρικώτερον, ζωμόν τ' ἐγχεῖν πλείω, καὶ μάζας καὶ ἄρτους παραβαλεῖν. γενναῖος γὰρ ὁ τοιοῦτος ἐκρίνετο καὶ ἀνδρώδης ὑπάρχειν. θαυμαστὸν γὰρ ἦν
c καὶ περιβόητον παρ' αὐτοῖς ἡ πολυφαγία. Μετὰ δὲ τὸ δεῖπνον σπονδὰς ἐποιοῦντο, οὐκ ἀπονιψάμενοι τὰς χεῖρας, ἀλλ' ἀποματτόμενοι τοῖς ψωμοῖς, καὶ τὴν ἀπομαγδαλίαν [1] ἕκαστος ἀπέφερε· τοῦτο ποιοῦντες ἕνεκα τῶν ἐν ταῖς ἀμφόδοις γινομένων νυκτερινῶν φόβων. ἀπὸ δὲ τῶν σπονδῶν παιὰν ᾄδεται. Ὅταν δὲ τοῖς Ἥρωσι θύωσι, [2] βουθυσία μεγάλη γίνεται, καὶ ἐστιῶνται πάντες μετὰ τῶν δούλων· οἱ δὲ παῖδες ἐν

εὐδειπνίας edd. & εὐδείπνειας ms. *A*. 1 Rectius ἀπομαγδαλιὰν ſcribetur. 2 θύσωσι ms. *Ep*.

commune omnibus ius adponitur, & minutal: cuique vero, in manus, duo carnium fruſta. Erat autem more apud eos receptum omnibus in coenis, maxime vero in eis quae *mazones* adpellantur, (quod nomen etiam nunc Bacchicum convivium obtinet) ut iuvenibus prae caeteris ſtrenue edentibus, plus iuris infundant, & maiorem mazae & panum copiam adponant. Fortis enim & ſtrenuus eſſe exiſtimabatur talis iuvenis: nam admirationi atque laudi apud eos erat edacitas. Poſt coenam libationem faciebant, manibus non lotis, ſed micâ panis abſterſis; & panem, quo abſterſerant manus, ſecum quisque auferebat: id quod faciebant terrorum nocturnorum cauſſâ, qui in compitis incidere poſſent. Poſt libationem paean canitur. Cum vero Heroibus ſacra faciunt, multos boves caedunt, & epulantur omnes cum ſervis: pueri vero in illis conviviis ſimul cum pa-

ταῖς ἑστιάσεσι μετὰ τῶν πατέρων, ἐπὶ λίθων καθήμενοι γυμνοὶ, συνδειπνοῦσιν." Θεόπομπος δ' ἐν τῇ d
ἕκτῃ καὶ τεσσαρακοστῇ τῶν Φιλιππικῶν· „Οἱ Ἀρκάδες, φησὶν, ἐν ταῖς ἑστιάσεσιν ὑποδέχονται τοὺς δεσπότας καὶ τοὺς δούλους, καὶ μίαν πᾶσι τράπεζαν παρασκευάζουσι, καὶ τὰ σιτία πᾶσιν εἰς τὸ μέσον παρατιθέασι, καὶ κρατῆρα τὸν αὐτὸν πᾶσι κρινᾶσι." [1]

XXXII. Naucratitarum coenae.

„Παρὰ δὲ Ναυκρατίταις, ὡς φησιν Ἑρμείας ἐν τῷ δευτέρῳ τῶν Περὶ τοῦ Γρυνείου Ἀπόλλωνος, ἐν τῷ πρυτανείῳ δειπνοῦσι γενεθλίοις Ἑστίας Πρυτανίτιδος, καὶ Διονυσίοις, ἔτι δὲ τῇ τοῦ Κωμαίου Ἀπόλλωνος πανηγύρει, εἰσιόντες πάντες ἐν στολαῖς λευκαῖς, ἃς e
μέχρι καὶ νῦν καλοῦσι πρυτανικὰς ἐσθῆτας. καὶ κατακλινθέντες [2] ἐπανίστανται εἰς γόνατα, τοῦ ἱεροκήρυκος τὰς πατρίους εὐχὰς καταλέγοντος, συσπένδοντες. μετὰ δὲ ταῦτα κατακλιθέντες, λαμβάνουσιν ἕκαστος

1 κιρνῶσι edd. 2 Forſ. καταχλιθέντες, ut paulo poſt.

tribus coenant, ſaxis nudi inſidentes." Theopompus vero, ſexto & quadrageſimo Rerum Philippicarum: »Arcades, inquit, epulis ſolennibus heros & ſervos excipiunt, & eamdem omnibus menſam inſtruunt, cibosque omnibus in medium adponunt, eumdemque calicem omnibus miſcent."

32. »Apud *Naucratitas*, ut ſcribit Hermeas libro ſecundo de Gryneo Apolline, coenant in prytaneo natalitiis Veſtae Prytanitidis, & feſtis Bacchanalibus; itemque in Comaei Apollinis celebritate, ingredientes omnes candidis induti ſtolis, quas etiam nunc *prytanicas veſtes* adpellant. Et poſtquam adcubuerunt, ſurgentes rurſus in genua procumbunt, una cum ſacro praecone libantes, patrias preces praeeunte. Dein poſtquam iterum adcubuerunt, accipiunt quisque vini cotulas duas,

οἴνου κοτύλας δύο, πλὴν τῶν ἱερέων τοῦ τε Πυθίου Ἀπόλλωνος, καὶ τοῦ Διονύσου· τούτων γὰρ ἑκατέρῳ διπλοῦς ὁ οἶνος μετὰ καὶ τῶν ἄλλων μερίδων δίδοται. ἔπειτα ἑκάστῳ παρατίθεται ἄρτος καθαρὸς, εἰς πλά-
f τος πεποιημένος, ἐφ' ᾧ ἐπίκειται ἄρτος ἕτερος, ὃν κριβανίτην καλοῦσι· καὶ κρέας ὕειον, καὶ λεκάριον πτισάνης ἢ λαχάνου τοῦ κατὰ καιρὸν γινομένου, ᾠά τε δύο, καὶ τυροῦ τροφαλὶς, σῦκά τε ξηρὰ, καὶ πλακοῦς, καὶ στέφανος. καὶ ὃς ἂν ἔξω τι τούτων ἱεροποιὸς παρασκευάσῃ, ὑπὸ τῶν τιμούχων ζημιοῦται. ἀλλὰ μὴν οὐδὲ τοῖς σιτουμένοις ἐν πρυτανείῳ ἔξωθεν προσεισφέρειν τι βρώσιμον ἔξεστι· μόνα δὲ ταῦτα καταναλίσκουσιν, τὰ ὑπολειπόμενα τοῖς οἰκέταις μεταδιδόντες.
a Ταῖς δ' ἄλλαις ἡμέραις πάσαις τοῦ ἐνιαυτοῦ ἔξεστι τῶν σιτουμένων τῷ βουλομένῳ ἀνελθόντι εἰς τὸ πρυτανεῖον δειπνεῖν, οἴκοθεν παρασκευάσαντα αὐτῷ λάχα-

exceptis Pythii Apollinis & Bacchi ſacerdotibus, quorum utrique duplex vini pariter atque caeterorum portio datur. Tum unicuique panis adponitur purus, in latitudinem formatus, cui alius impoſitus panis eſt, quem furnaceum vocant, & caro ſuilla, & patella ptiſanae, aut oleris quod fert anni tempeſtas, & ova duo, & caſei recentis fruſtum, ficique ficcae, & placenta, & corona. Quicumque ſacrificator praeter iſta aliquid parat, is a magiſtratibus (*timuchos* vocant) mulctatur. Quin nec aliis, qui in prytaneo veſcuntur, quidquam cibi forinſecus praeter iſta (eo die) licet inferre: ſed haec ſola conſumunt, & reliquias famulis impertiuntur. Aliis vero omnibus anni diebus unicuique eorum, qui in prytaneo aluntur, licet, cum adſcendit, domo aliquid ſibi paratum adferre, ſive olus aliquod, ſive

νόν τι, ἢ τῶν ὀσπρίων, καὶ τάριχος, ἢ ἰχθῦν, κρέως δὲ χοιρείου βραχύτατον· καὶ τούτων μεταλαμβάνων [1] κοτύλην οἴνου. Γυναικὶ δὲ οὐκ ἔξεστιν εἰσιέναι εἰς τὸ πρυτανεῖον, ἢ μόνῃ τῇ αὐλητρίδι. οὐκ εἰσφέρεται δὲ οὐδὲ ἀμὶς [2] εἰς τὸ πρυτανεῖον. Ἐὰν δέ τις Ναυκρατιτῶν γάμους ἑστιᾷ, ὡς ἐν τῷ γαμικῷ νόμῳ γέγραπται, ἀπείρηται ᾠὰ καὶ μελίπηκτα δίδοσθαι." Τίς δὲ ἡ b τούτων αἰτία, Οὐλπιανὸς ἡμᾶς διδάσκειν δίκαιος.

XXXIII. Coena Aegyptia.

Λυγκεὺς δ' ἐν τοῖς Αἰγυπτιακοῖς, προκρίνων τὰ Αἰγυπτιακὰ δεῖπνα τῶν Περσικῶν· „Αἰγυπτίων ἐπιστρατευσάντων, φησὶν, ἐπὶ Ὦχον τὸν Περσῶν βασιλέα, καὶ νικηθέντων, ἐπεὶ ἐγένετο αἰχμάλωτος ὁ τῶν Αἰγυπτίων βασιλεὺς, ὁ Ὦχος αὐτὸν φιλανθρώπως ἄγων ἐκάλεσε καὶ ἐπὶ δεῖπνον. τῆς οὖν παρασκευῆς γενομένης λαμπρᾶς, ὁ Αἰγύπτιος κατεγέλα, ὡς εὐ-

1 Forſ. μεταλαμβάνειν, aut μετελάμβανον. Defectum locum iudicavit Caſaub. 2 ἀμὶς ms. *A*.

leguminis nonnihil, aut ſalſamentum, aut piſcem, ſuillae vero carnis parum admodum: & pro his accipit (praeter ſtatutam portionem) cotulam vini. Mulieri autem non licet prytaneum intrare, niſi ſoli tibicini. Nec vero matula in prytaneum infertur. Si quis vero Naucratitarum nuptiale convivium celebrat, vetitum eſt ova & melitas placentas adponi." Quarum rerum quaenam cauſſa ſit, aequum eſt ut Ulpianus nobis exponat.

33. Lynceus vero, in Aegyptiacis, anteponens *Aegyptias coenas* Perſicis: „Cum Aegyptii, inquit, expeditione adverſus Ochum Perſarum regem ſuſcepta victi fuiſſent, rexque Aegyptiorum captus eſſet; Ochus humaniter eum tractans vocavit etiam ad coenam. Quae cum eſſet ſplendido adparatu inſtructa, riſit Aegyptius,

τελῶς τοῦ Πέρσου διαιτωμένου. Εἰ δὲ θέλεις, ἔφη,
c εἰδέναι, ὦ βασιλεῦ, πῶς δεῖ σιτεῖσθαι τοὺς εὐδαίμονας βασιλέας, ἐπίτρεψον τοῖς ἐμοῖς ποτε γενομένοις μαγείροις παρασκευάσαι σοι Αἰγύπτιον δεῖπνον. Καὶ κελεύσαντος, ἐπεὶ παρεσκευάσθη, ἡσθεὶς ὁ Ὦχος τῷ δείπνῳ· Κακὸν κακῶς σε, ἔφη, ὦ Αἰγύπτιε, ἀπωλέσειαν οἱ θεοὶ, ὅστις δεῖπνα τοιαῦτα καταλιπὼν ἐπεθύμησας θοίνης εὐτελεστέρας." Τίνα δ' ἦν τὰ Αἰγύπτια δεῖπνα, Πρωταγορίδης ἐν τῷ πρώτῳ Περὶ Δαφνικῶν Ἀγώνων διδάσκει ἡμᾶς, λέγων οὕτως· „Τρίτη δ' ἐστὶν ἰδέα δείπνων, Αἰγυπτιακή· τρα-
d πεζῶν μὲν οὐ παρατιθεμένων, πινάκων δὲ περιφερομένων."

„Παρὰ δὲ Γαλάταις, φησὶ Φύλαρχος, ἐν τῇ ἕκτῃ, ἐν ταῖς τραπέζαις ἄρτους πολλοὺς κατακεκλασμένους παρατίθεσθαι χύδην, καὶ κρέατα ἐκ τῶν λεβήτων· ὧν οὐδεὶς γεύεται, εἰ μὴ πρότερον θεάσηται

XXXIV. Coena Gallorum.

quasi tenui vivendi ratione uteretur Persa. *Sin scire cupis*, inquit, *qualis victus esse debeat felicium regum, permitte coquis olim meis, ut Aegyptiam tibi coenam parent.* Quod quum ita fieri iussisset Ochus, paratâ coenâ laetus: *Malum te*, inquit, *male perdant Dii; qui tales coenas relinquens, tenuiores nostras epulas concupiveris.*« Quales vero fuerint coenae Aegyptiae docet nos Protagorides, primo libro de Ludis Daphnicis, ubi sic ait: »Tertium est genus coenarum, Aegyptiacum: in quo cibi non imponuntur mensae, sed circumferuntur patinae.«

34. »Apud *Gallos*, [sive, *Galatas* dici malueris] ut scribit Phylarchus libro sexto, promiscue mensis imponuntur panes multi confracti, & ex ahenis (elixae) carnes. Nemo autem horum quidquam gustat, prius-

τὸν βασιλέα, εἰ ἥψατο τῶν παρακειμένων." Ἐν δὲ τῇ τρίτῃ ὁ αὐτὸς Φύλαρχος „Ἀριάμνην, φησὶ, τὸν Γαλάτην, πλουσιώτατον ὄντα, ἀπαγγείλασθαι ἑστιάσαι Γαλάτας πάντας ἐνιαυτόν· [1] καὶ τοῦτο συντελέσαι, ποιήσαντα οὕτως. κατὰ τόπους τῆς χώρας [2] e τὰς ἐπικαιροτάτους τῶν ὁδῶν διέλαβε σταθμοῖς· ἐπί τε τούτοις ἐκ χαράκων καὶ τῶν καλάμων τῶν τε οἰσυΐνων [3] ἐπεβάλλετο σκηνὰς, χωρούσας ἀνὰ τετρακοσίους ἄνδρας, καὶ πλείους ἔτι, καθὼς ἂν ἐκποιῶσιν οἱ τόποι τό τ' ἀπὸ τῶν πόλεων δέξασθαι καὶ τῶν κωμῶν μέλλον ἐπιῤῥεῖν πλῆθος. ἐνταῦθα δὲ λέβητας ἐπέστησε κρεῶν παντοδαπῶν μεγάλους, οὓς πρὸ ἐνιαυτοῦ, καὶ πρὸ τοῦ μέλλειν, [4] μεταπεμψάμενος τεχνίτας ἐξ ἄλλων πόλεων, ἐχαλκεύσατο. θύματα δὲ f καταβάλλεσθαι ταύρων καὶ συῶν καὶ προβάτων τε

1 Forf. ἐς ἐνιαυτόν. 2 καὶ τὰς ἐπιχ. ms. *A.* quod vide ne verum ſit. 3 οἰσῦων ed. Caſaub. 4 πρὸ τοῦ ἐπαγγέλλειν malles cum Caſaub.

quam viderit regem aliquid eorum, quae adpoſita ſunt, tetigiſſe. « Idem Phylarchus tertio libro ſcribit: » Ariamnem Gallum, cum eſſet opulentiſſimus, edixiſſe, *ſe Gallos omnes per integrum annum epulis excepturum;* idque praeſtitiſſe, tali inita ratione. Diverſis regionis tractibus opportuniſſimas vias manſionibus diviſit; in quibus ex palis, arundinibus & viminibus tabernacula erexit, capientia quodque viros quadringenos, atque etiam amplius, prout poſceret locorum ratio, quo caperent multitudinem ex oppidis & agris confluxuram. Ibi ingentia ahena diſpoſuit omni genere carnium repleta, quae ſuperiori anno, priusquam exhibiturus convivium eſſet, per fabros ex aliis oppidis arceſſitos conficienda curaverat. Caeſam autem quotidie eſſe magnam victimarum multitudinem, taurorum, ſuum, ovium, alia-

καὶ λοιπῶν κτηνῶν ἑκάστης ἡμέρας πολλά. πίθους τε οἴνου παρεσκευάσθαι, [1] καὶ πλῆθος ἀλφίτων πεφυραμένων. Καὶ οὐ μόνον, φησὶν, οἱ παραγινόμενοι τῶν Γαλατῶν ἀπὸ τῶν κωμῶν καὶ τῶν πόλεων ἀπήλαυον· [2] ἀλλὰ καὶ οἱ παριόντες ξένοι ὑπὸ τῶν ἐφεστηκότων παίδων οὐκ ἠφίεντο, ἕως ἂν μεταλάβωσι τῶν παρασκευασθέντων. "

XXXV. Coena Thracica.

Θρακίων δὲ δείπνων μνημονεύει Ξενοφῶν ἐν ἑβδόμῃ [3] Ἀναβάσεως, τὸ παρὰ Σεύθῃ διαγράφων συμ-
a πόσιον ἐν τούτοις· „Ἐπειδὴ δὲ εἰσῆλθον ἐπὶ τὸ δεῖπνον πάντες, (τὸ δὲ δεῖπνον ἦν καθημένοις κύκλῳ,) ἔπειτα δὲ τρίποδες εἰσηνέχθησαν πᾶσιν. οὗτοι δὲ ὅσον εἴκοσι, κρεῶν μεστοὶ νενεμημένων, καὶ ἄρτοι ζυμῖται [4] μεγάλοι προσπεπερονημένοι ἦσαν πρὸς τοῖς κρέασι. μάλιστα δ' αἱ τράπεζαι κατὰ τοὺς ξένους ἀεὶ ἐτίθεντο· νόμος γὰρ ἦν. Καὶ πρῶτος τοῦτ' ἐποίει Σεύθης· ἀνε-

1 παρασκευάσασθαι edd. 2 ἀπέλαβον Hoesch. 3 Perperam h. l. vulgo ἕκτῃ. 4 ζύμιτες ed. Ven. cum ms. *A*.

rumque pecudum. Doliaque parata fuisse vini, & farinae subactae magnam copiam. Ac non modo, inquit, Gallorum quicumque ex agris & oppidis aderant, fruebantur his quae parata erant; sed ne peregrini quidem, qui accedebant, ab adstantibus pueris dimittebantur, quin suam etiam partem accepissent. «

35. *Thracicarum coenarum* Xenophon meminit, septimo libro De Cyri Expeditione, ubi convivium apud Seuthen his verbis describit: »Postquam ad coenam ingressi essent omnes, consedissentque in orbem, tum tripodes adlati sunt universis. Erant autem circiter viginti, carnibus pleni discissis, & panes magni fermentati carnibus erant adfixi. Maxime vero penes hospites ponebantur semper mensae: id enim moris erat. Et primus

λόμενος τοὺς παρ' αὐτῷ κειμένους ἄρτους διέκλα κατὰ μικρὰ, καὶ διερρίπτει οἷς αὐτῷ ἐδόκει, καὶ τὰ κρέα ὡσαύτως, ὅσον μόνον γεύσασθαι ἑαυτῷ καταλιπών. καὶ οἱ ἄλλοι δὲ κατὰ τὰ αὐτὰ ἐποίουν, καθ' b
οὓς αἱ [1] τράπεζαι ἔκειντο. Ἀρκὰς δέ τις, Ἀρύστας [2] ὄνομα, φαγεῖν δεινὸς, τὸ μὲν διαῤῥίπτειν εἴα χαίρειν· λαβὼν δ' εἰς τὴν χεῖρα ὅσον τριχοίνικον ἄρτον, καὶ κρέα θέμενος ἐπὶ τὰ γόνατα, ἐδείπνει. Κέρατα δ' οἴνου περιέφερον, καὶ πάντες ἐδέχοντο. ὁ δὲ Ἀρύστας, ἐπεὶ παρ' αὐτὸν φέρων τὸ κέρας ὁ οἰνοχόος ἦν, εἶπεν, ἰδὼν τὸν Ξενοφῶντα οὐκ ἔτι δειπνοῦνται· Ἐκείνῳ, ἔφη, δός· σχολάζει γὰρ ἤδη, ἐγὼ δ' οὔπω. ἐνταῦθα μὲν δὴ [3] γέλως ἐγένετο. Ἐπεὶ δὲ προὐχώρει ὁ πότος, c
εἰσῆλθεν ἀνὴρ Θρᾷξ, ἵππον ἔχων λευκὸν, καὶ λαβὼν κέρας μεστὸν, προπίνω σοι, ὦ Σεύθη, ἔφη, καὶ τὸν

1 καὶ αἱ τράπ. ms. *A.* 2 Ἄριστος vulgo apud Xenoph. 3 μὲν ἤδη ed. Baſ. & Caſ. ut vulgo apud Xenoph.

hoc faciebat Seuthes: ſumtos panes, qui iuxta ipſum poſiti erant, fruſtulatim rupit, & quibus ipſi videbatur proiiciendo diſtribuit, pariterque carnes; tantum quod guſtaret ſibi relinquens. Tum vero & alii ſimiliter faciebant, penes quos poſitae menſae erant. Arcas vero quidam, Aryſtas nomine, impendio vorax, neglecta illa proiiciendi cibi comitate, capto manibus pane trium fere choenicum, & carnibus genubus impoſitis, coenabat. Circumferebantur autem vini cornua, & omnes accipiebant. Ubi vero ad Aryſtam venit pincerna cornu ferens, videns ille Xenophontem non amplius coenantem: *Iſti*, inquit, *praebe: otioſus enim iam eſt, ego vero nondum.* Ac tum quidem riſus exortus eſt. Procedente vero compotatione, intravit Thrax quidam, equum habens album: qui accepto pleno cornu, *Propino*, inquit,

ἵππον [1] δωροῦμαι· ἐφ' οὗ καὶ διώκων, ὃν ἂν ἐθέλῃς, αἱρήσεις· καὶ ἀποχωρῶν, οὐ μὴ δείσῃς τὸν πολέμιον. ἄλλος παῖδα εἰσαγαγὼν, οὕτω ἐδωρήσατο προπίνων· καὶ ἄλλος, ἱμάτια τῇ γυναικί· καὶ Τιμασίων προπίνων [2] φιάλην τε ἀργυρᾶν, καὶ κοπίδα [3] ἀξίαν δέκα μνῶν. Γνήσιππος δέ τις Ἀθηναῖος ἀναστὰς εἶπεν, ὅτι ἀρχαῖος εἴη νόμος κάλλιστος, τοὺς μὲν ἔχοντας
d διδόναι τῷ βασιλεῖ τιμῆς ἕνεκα, τοῖς δὲ μὴ ἔχουσι διδόναι τὸν βασιλέα. Ξενοφῶν δὲ ἀνέστη θαρσαλέως, καὶ δεξάμενος τὸ κέρας εἶπεν· Ἐγώ σοι, ὦ Σεύθη, δίδωμι ἐμαυτὸν, καὶ τοὺς ἐμοὺς τούτους ἑταίρους, φίλους εἶναι πιστοὺς, καὶ οὐδένα ἄκοντα. καὶ νῦν πάρεισιν οὐδὲν προσαιτοῦντες, ἀλλὰ καὶ πονεῖν ὑπὲρ σοῦ καὶ προκινδυνεύειν βουλόμενοι. καὶ ὁ Σεύθης ἀναστὰς συνέπιε, καὶ συγκατεσκεδάσατο [4] μετ' αὐτοῦ τὸ κέ-

1 Addunt τοῦτον eaedem editt. 2 προπίνων ἐδωρήσατο eſt apud Xenoph. 3 τάπιδα ed. Baſ. & Caſ. ex Xenoph. 4 Eaedem editiones perperam συγκατεσκέδασε τῷ μετ' αὐτοῦ.

tibi, o Seuthe, & hunc equum do; quo vectus, quemcumque volueris, perſequens capies: &, cum te recipere volueris, nihil ab ullo hoſte timebis. Alius filium ſuum introductum, eodem modo propinans, donavit regi: alius, veſtes pro regis uxore: & Timaſion ſimiliter propinans, phialam argenteam, & enſem falcatum decem minarum pretio. Tum adſurgens Gneſippus Athenienſis, ait: *priſcum eſſe inſtitutum pulcerrimum, ut, qui haberent, dona darent regi, honoris cauſſa; qui vero non haberent, eis ut dona daret rex.* Xenophon vero ſurrexit confidenter, & accepto cornu dixit: *Ego vero, o Seuthe, do tibi me ipſum & hos meos ſodales, amicos tibi futuros fideles, nec ullum invitum. Atque iam nunc adſunt, nihil a te petentes, ſed pro te labores & pericula ſuſcipere parati.* Et Seuthes ſurgens bibit cum eo, ſimulque cum eo reliquum poculi in terram profudit.

ρας. Μετὰ δὲ ταῦτα εἰσῆλθον κέρασί τε οἷοις σημαίνουσιν αὐλοῦντες, καὶ [1] σάλπιγξιν ὠμοβοείαις [2] ῥυθμούς τε καὶ οἱονεὶ μαγάδι σαλπίζοντες. "

XXXVI. Celtarum coenae ex Posidonio.

Ποσειδώνιος δὲ ὁ ἀπὸ τῆς Στοᾶς, ἐν ταῖς Ἱστορίαις, ἃς συνέθηκεν οὐκ ἀλλοτρίως ἧς προῄρητο Φιλοσοφίας, πολλὰ παρὰ πολλοῖς ἔθιμα καὶ νόμιμα ἀναγράφων· „ Κελτοὶ, φησὶ, τὰς τροφὰς [3] προτίθενται, χόρτον ὑποβάλλοντες, καὶ ἐπὶ τραπεζῶν ξυλίνων, μικρὸν ἀπὸ τῆς γῆς ἐπηρμένων. ἡ τροφὴ δ' ἐστὶν, ἄρτοι μὲν ὀλίγοι, κρέα δὲ πολλὰ ἐν ὕδατι, καὶ ὀπτὰ ἐπ' ἀνθράκων ἢ ὀβελίσκων. προσφέρονται δὲ ταῦτα καθαρίως μὲν, λεοντωδῶς δὲ, ταῖς χερσὶν ἀμφοτέραις αἴροντες ὅλα μέλη, καὶ ἀποδάκνοντες· ἐὰν δὲ ἧ τι δυσαπόσπαστον, μαχαιρίῳ μικρῷ παρατέμνοντες, ὃ τοῖς

1 Temere rurſus εἰσῆλθον Κερασουνταῖοι οἱ αὐλοῖς σημαίνουσιν, καὶ σαλπ. ed. Baſ. & Caſ. ex corrupta apud Xenophontem ſcriptura. 2 ὠμοβοΐναις vulgo apud Xen. indeque ed. Baſ. & Caſaub. ὠμοβοίαις ms. *A.* ὠμοβοίαις ed. Ven. 3 χοὰς edd.

Poſt haec intrarunt qui cornua, qualibus ad ſigna danda utuntur, inflabant, & tubis ex crudo boum corio confectis modulate, ac veluti magadin pulſarent, canebant. "

36. Poſidonius vero Stoicus, in Hiſtoriis, quas compoſuit ratione minime aliena ab ea, quam ſecutus eſt, philoſophia, varia variorum populorum inſtituta moresque recenſens: »*Celtae*, inquit, [*ſive*, Galli Galliam incolentes] convivis ſubſtrato foeno inſidentibus cibos adponunt ſuper menſis ligneis, parum ſupra terram elatis. Sunt autem cibi: parum quidem panis, ſed caro multa, partim elixa, partim aſſa ſive ſuper prunis ſive in verutis. Comedunt autem illa ſatis quidem munde illata; ſed leonino more ambabus manibus integros artus capientes, & morſu dilaniantes: quod ſi quid aegrius divellitur, cultello praecidunt, qui vaginâ tectus pecu-

κολεοῖς ἐν ἰδίᾳ θήκῃ παράκειται. προσφέρονται δὲ καὶ ἰχθῦς οἵ τε παρὰ τοὺς ποταμοὺς οἰκοῦντες, καὶ παρὰ τὴν ἐντὸς καὶ τὴν ἔξω θάλασσαν· καὶ τούτους δὲ ὀπτοὺς, μετὰ ἁλῶν, καὶ ὄξους, καὶ κυμίνου. τοῦτο δὲ καὶ εἰς τὸν ποτὸν [1] ἐμβάλλουσιν. ἐλαίῳ δὲ οὐ χρῶνται διὰ σπάνιν· καὶ διὰ τὸ ἀσύνηθες, ἀηδὲς αὐτοῖς
b φαίνεται. Ὅταν δὲ πλείονες συνδειπνῶσιν, κάθηνται μὲν ἐν κύκλῳ· μέσος δὲ ὁ κράτιστος, ὡς ἂν κορυφαῖος χοροῦ, διαφέρων τῶν ἄλλων ἢ κατὰ τὴν πολεμικὴν εὐχέρειαν, ἢ κατὰ τὸ γένος, ἢ κατὰ πλοῦτον. ὁ δ' ὑποδεχόμενος, παρ' αὐτόν· ἐφεξῆς δ' ἑκατέρωθε, κατ' ἀξίαν ἧς ἔχουσιν ὑπεροχῆς. καὶ οἱ μὲν τοὺς θυρεοὺς ὁπλοφοροῦντες ἐκ τῶν ὀπίσω παρεστᾶσιν· οἱ δὲ δορυφόροι, κατὰ τὴν ἀντικρὺ καθήμενοι κύκλῳ, καθάπερ οἱ δεσπόται συνευωχοῦνται. τὸ δὲ ποτὸν οἱ διακονοῦντες ἐν ἀγ-
c γείοις περιφέρουσιν, ἐοικόσι μὲν ἀμβίκοις, [2] ἢ κερα-

1 εἰς τὸ ποτὸν edd. 2 μὴν ἀμβίκοις vulgo: quod in μικροῖς

liari in loculo adiacet. Veſcuntur autem etiam piſcibus hi qui fluvios adcolunt, aut maris ſive interioris ſive exterioris litora; eisque aſſis, cum ſale, & aceto, & cumino: hoc autem etiam potioni iniiciunt. Oleo vero non utuntur, ob raritatem: &, quoniam inſolitum, ingratum illis videtur. Ubi plures una coenant, in orbem ſedent: in medio quidem praeſtantiſſimus, veluti chorum ducens; nempe qui caeteris vel bellica dexteritate vel nobilitate vel divitiis antecellit. Huic adſidet convivator: & reliqui deinde utrimque ordine, prout quisque dignitate alterum praeit. Et armigeri quidem, qui ſcuta geſtant, pone ſtant: ſatellites vero, e regione oppoſita in orbem ſedentes, epulantur & ipſi haud ſecus quam heri. Potum vero famuli in vaſis circumferunt, quae cadis illis, quos *ambicas* Graeci vocant, ſi-

μέοις, [1] ἢ ἀργυροῖς· καὶ γὰρ τοὺς πίνακας, ἐφ' ὧν τὰς τροφὰς προτίθενται, τοιούτους ἔχουσιν· οἱ δὲ χαλκοῦς, οἱ δὲ κάνεα ξύλινα καὶ πλεκτά. τὸ δὲ πινόμενόν ἐστι, παρὰ μὲν τοῖς πλουτοῦσιν, οἶνος, ἐξ Ἰταλίας καὶ τῆς Μασσαλιητῶν χώρας παρακομιζόμενος· ἄκρατος δ' οὗτος· ἐνίοτε δὲ καὶ ὀλίγον ὕδωρ παραμίγνυται. παρὰ δὲ τοῖς ὑποδεεστέροις, ζύθος πύρινον, μετὰ μέλιτος ἐσκευασμένον· παρὰ δὲ τοῖς πολλοῖς, καθ' αὑτό· καλεῖται δὲ κόρμα. [2] ἀποῤῥοφοῦσι δὲ ἐκ τοῦ αὐτοῦ ποτηρίου κατὰ μικρὸν, οὐ πλεῖον κυάθου· d πυκνότερον δὲ τοῦτο ποιοῦσι. περιφέρει δὲ ὁ παῖς ἐπὶ τὰ δεξιὰ καὶ τὰ λαιά. οὕτως διακονοῦνται· [3] καὶ τοὺς θεοὺς προσκυνοῦσιν, ἐπὶ τὰ δεξιὰ στρεφόμενοι."

XXXVII. Ἔτι ὁ Ποσειδώνιος, διηγούμενος καὶ τὸν Λουερ-

βίχοις mutandum cenſuit Caſaubonus. Pro ἀμβίκοις fortaſſe ἄμβιξι legendum; ſed & iſtud ferri poteſt. 1 Forſ. ἢ κεραμέοις δέ. 2 Perperam δέρκομα edd. κοῦρμι apud Dioſc. 3 Nil mutant libri, niſi quod poſt διακονοῦνται nulla ponitur diſtinctio in editis.

milia ſunt, caeterum vel fictilia vel argentea: nam & lances, in quibus cibos adponunt, argenteas nonnulli habent; alii vero aeneas; alii caniſtra lignea aut vimine texta. Eſt vero potus, apud divites quidem, vinum ex Italia aut ex Maſſilienſium regione advectum; & id quidem merum: interdum vero parum aquae mixtum habet: apud paulo tenuiores, cereviſia triticea, cum melle parata; apud plerosque autem vulgo, cereviſia abſque melle: *corma* eum potum vocant. Sorbillant autem ex eodem poculo paulatim non amplius cyatho; ſed id ſaepius faciunt. Circumfert autem puer a dextra verſus ſiniſtram. Ita miniſtrant: atque etiam Deos adorant, ad dextram converſi. «

37. Idem Poſidonius, divitias enarrans *Luernii* [ſi-

νίου [1] τοῦ Βιτύιτος πατρὸς πλοῦτον, τοῦ ὑπὸ Ῥωμαίων καθαιρεθέντος, φησί· „ δημαγωγοῦντα αὐτὸν τοὺς ὄχλους, ἐν ἅρματι φέρεσθαι διὰ τῶν πεδίων, καὶ σπείρειν χρυσὸν καὶ ἄργυρον ταῖς ἀκολουθούσαις τῶν Κελτῶν μυριάσι· φράγμα τε ποιεῖν δωδεκαστάδιον τε- e τράγωνον, ἐν ᾧ πληροῦν λημνοὺς πολυτελοῦς πόματος, παρασκευάζειν τε τοσοῦτο βρωμάτων πλῆθος, ὥστε ἐφ' ἡμέρας πλείονας ἐξεῖναι τοῖς βουλομένοις, εἰσερχομένοις τῶν παρασκευασθέντων ἀπολαύειν, ἀδιαλείπτως διακονουμένοις. [2] Ἀφορίσαντος δ' αὐτοῦ προθεσμίαν ποτὲ τῆς θοίνης, ἀφυστερήσαντά τινα τῶν βαρβάρων ποιητὴν ἀφικέσθαι, καὶ συναντήσαντα μετὰ ᾠδῆς ὑμνεῖν αὐτοῦ τὴν ὑπεροχὴν, ἑαυτὸν δ' ὑποθρηνεῖν ὅτι ὑστέρηκε· τὸν δὲ τερφθέντα, θυλάκιον αἰτῆσαι f χρυσίου, καὶ ῥῖψαι αὐτῷ παρατρέχοντι. ἀνελόμενον

Luernii Gallidivitiae.

1 Λουερίου apud Strab. 2 Vulgo διακονουμένους.

ve, *Luerii*, *Arverni*,] patris Bituitis illius, qui a Romanis ſublatus eſt, ait: »Popularem gratiam aucupantem, cum per agros curru veheretur, aurum argentumque ſparſiſſe proſequentibus eum Gallorum myriadibus: & ſeptum duodecim ſtadiorum cinxiſſe quadratum, in quo plures eſſent lacus, ſumtuoſa potione repletos, & cibariorum tantam copiam paratam, ut per complures dies, quicumque voluiſſet, poteſtatem intrandi haberet, & rebus paratis fruendi, miniſtrantibus indeſinenter famulis. Eidem, quum epularum diem aliquando conſtituiſſet, barbarum quemdam poëtam, ſero nec ad ipſum diem adventantem, occurriſſe in via, hymnumque ceciniſſe, quo & illius laudes praedicabat, & ſuam ſortem, quod ſero veniſſet, lamentabatur: quo carmine delectatum illum, ſacculum auri popoſciſſe, & cantori a latere currenti proieciſſe: quo ſublato poëtam, de-

δ' ἐκεῖνον πάλιν ὑμνεῖν, λέγοντα, διότι τὰ ἴχνη τῆς γῆς, ἐφ' ἧς ἁρματηλατεῖ, χρυσὸν καὶ εὐεργεσίας ἀνθρώποις φέρει." Ταῦτα μὲν οὖν ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ ἱστόρησεν.

XXXVIII. Coenae Parthorum.

Ἐν δὲ τῇ πέμπτῃ, περὶ Πάρθων [1] διηγούμενος, φησίν· „Ὁ δὲ καλούμενος Φίλος, τραπέζης μὲν οὐ κοινωνεῖ· χαμαὶ δ' ὑποκαθήμενος, ἐφ' ὑψηλῆς κλίνης κατακειμένῳ τῷ βασιλεῖ, τὸ παραβληθὲν ὑπ' αὐτοῦ κυνιστὶ σιτεῖται· καὶ πολλάκις διὰ τὴν τυχοῦσαν αἰτίαν ἀποσπασθεὶς τοῦ χαμαιπετοῦς δείπνου, ῥάβδοις καὶ ἱμάσιν ἀστραγαλώτοις μαστιγοῦται· καὶ γενόμενος αἱμόφυρτος, τὸν τιμωρησάμενον ὡς εὐεργέτην ἐπὶ τὸ ἔδαφος πρηνὴς προσπεσὼν προσκυνεῖ." Ἐν δὲ τῇ ἑκκαιδεκάτῃ, περὶ Σελεύκου διηγούμενος τοῦ βασιλέως, ὡς εἰς Μηδίαν ἀνελθὼν, καὶ πολεμῶν Ἀρσάκει ἠχμαλωτίσθη ὑπὸ τοῦ βαρβάρου, καὶ ὡς πολὺν χρόνον παρὰ τῷ Ἀρσάκει διέτριψεν, ἀγόμενος a

1 Παρθυαίων edd.

nuo laudes eius canentem, dixisse, *vestigia terrae, in qua ille curru vehatur, aurum & beneficia mortalibus ferre.*« Haec igitur tertio & vicesimo libro ille memoriae prodidit.

38. Libro quinto vero (idem Posidonius) de *Parthis* differens, ait: »Qui amicus vocatur, is mensae non est particeps; verum humi subsidens infra regem in sublimi lecto recumbentem, quod ab illo proiicitur, id canis instar comedit: ac saepe quamlibet leviculam ob caussam ab humili illa coena abreptus, flagris lorisque caeditur nodosis; & cruore foedatus, eum a quo est supplicio adfectus, veluti accepto beneficio, in terram procumbens veneratur.« Dein, libro decimo sexto, ubi de Seleuco rege refert, quo pacto expeditione in Mediam susceptа adversus Arsacem, captus a barbaro, & diu apud Arsacem commoratus, regie apud eum ha-

βασιλικῶς, γράφει καὶ ταῦτα· „Παρὰ Πάρθοις ἐν τοῖς δείπνοις ὁ βασιλεὺς τήν τε κλίνην, ἐφ' ἧς μόνος
b κατέκειτο, μετεωροτέραν τῶν ἄλλων καὶ κεχωρισμένην εἶχε, καὶ τὴν τράπεζαν μόνῳ, καθάπερ ἥρωϊ, πλήρη βαρβαρικῶν θοινημάτων παρακειμένην." [1] Ἱστορῶν δὲ καὶ περὶ Ἡρακλέωνος τοῦ Βεροιαίου, ὃς ὑπὸ τοῦ Γρυποῦ καλουμένου Ἀντιόχου τοῦ βασιλέως προαχθεὶς, μικροῦ δεῖν τῆς βασιλείας ἐξέβαλεν τὸν εὐεργέτην, γράφει ἐν τῇ τετάρτῃ τῶν Ἱστοριῶν τάδε· „Ἐποιεῖτό τε τῶν στρατιωτῶν τὰς κατακλίσεις ἐπὶ τοῦ ἐδάφους ἐν ὑπαίθρῳ, ἀνὰ χιλίους, δειπνίζων. τὸ
c δὲ δεῖπνον ἦν, ἄρτος μέγας καὶ κρέας· τὸ δὲ ποτὸν, κεκραμένος οἶνος οἷος δήποτε ὕδατι ψυχρῷ. διηκόνουν δὲ ἄνδρες μαχαιροφόροι, καὶ σιωπὴ ἦν εὔτακτος." Ἐν δὲ τῇ δευτέρᾳ· „Ἐν τῇ Ῥωμαίων, φησὶ, πόλει, ὅταν εὐωχῶνται ἐν τῷ τοῦ Ἡρακλέους ἱερῷ, δειπνί-

Romanorum coena in Herculis templo.

1 παρακειμένων vulgo.

bitus esset, praeter alia haec scribit: »Apud Parthos rex, cum coenabat, altiorem caeteris lectum habebat, & separatum ab aliis, in quo solus recumbebat: & mensam sibi soli, veluti Heroi, adpositam, barbaricis ferculis refertam.« Idem, ubi de *Heracleone* exponit *Beroënse*, qui, cum ab Antiocho rege, cui cognomen Grypus erat, ad dignitatem esset promotus, parum abfuit quin regno eiiceret benefactorem, haec scribit, Historiarum quarto: »Coenam exhibens militibus, discumbere eos humi sub dio iussit, per millenos distributos. Erat autem coena, panis magnus, & caro; potus autem, vinum qualecumque, frigida temperatum. Ministrabant autem viri gladiis cincti, & silentium erat modestum.« Libro vero secundo: »In *Romanorum* urbe, ait, cum in Herculis templo epulantur, coenam prae-

ζοντος τοῦ κατὰ καιρὸν θριαμβεύοντος, καὶ ἡ παρασκευὴ τῆς εὐωχίας Ἡρακλεωτικὴ ἐστί. διοινοχεῖται μὲν γὰρ οἰνόμελι· τὰ δὲ βρώματα, ἄρτοι μεγάλοι, καὶ καπνιστὰ ἔφθα κρέα, καὶ τῶν προσφάτως [1] καθιερωθέντων ὀπτὰ δαψιλῆ. Παρὰ δὲ Τυρρηνοῖς δὶς d τῆς ἡμέρας τράπεζαι πολυτελεῖς παρασκευάζονται. ἀνθιναί τε στρωμναὶ, καὶ ἐκπώματα ἀργυρᾶ παντοδαπά· καὶ δούλων πλῆθος εὐπρεπῶν παρέστηκεν, ἐσθήσεσι πολυτελέσι κεκοσμημένων." Τίμαιος δ' ἐν [2] τῇ πρώτῃ τῶν Ἱστοριῶν, καὶ τὰς θεραπαίνας, φησὶ, παρ' αὐτοῖς, μέχρις οὗ ἂν αὐξηθῶσι, γυμνὰς διακονεῖσθαι.

XXXIX. Indorum coena.

Μεγασθένης δ', ἐν τῇ δευτέρᾳ τῶν Ἰνδικῶν· Τοῖς Ἰνδοῖς, φησὶν, ἐν τῷ δείπνῳ παρατίθεσθαι ἑκάστῳ τράπεζαν· ταύτην δ' εἶναι ὁμοίαν ταῖς ἐγγυθήκαις, e καὶ ἐπιτίθεσθαι ἐπ' αὐτῇ τρυβλίον χρυσοῦν, εἰς ὃ ἐμβαλεῖν αὐτοὺς πρῶτον μὲν τὴν ὄρυζαν ἑφθὴν, ὡς ἄν τις

1 Vulgo προσφάτων. 2 Vulgo Τίμαιος ἐν absque coniunct.

bente eo qui per id tempus triumphum agit, adparatus etiam epularum Herculeus est. Totâ enim coenâ mulsum pro vino infunditur: cibi vero sunt, panes magni, & fumo durata caro elixa, & assae carnis larga e victimis modo caesis copia. Apud *Etruscos* vero bis per diem mensae struuntur sumtuosae: & stragula sunt floribus distincta, pocula autem argentea varii generis: & servorum multitudo adstat formosorum, pretiosis vestibus ornatorum." Timaeus vero, Historiarum libro primo, ait, apud eosdem famulas etiam, quousque adultae sint, nudas ministrare.

39. Megasthenes vero, secundo libro Rerum Indicarum, scribit: Apud *Indos* in coena unicuique adponi mensam, simílem repositoriis vasorum: ei imponi catinum aureum, in quem coniiciatur primum oryza cocta,

ἐψήσειε χόνδρον· ἔπειτα ὄψα πολλὰ κεχειρουργημένα ταῖς Ἰνδικαῖς σκευασίαις. „Γερμανοὶ δὲ, ὡς ἱστορεῖ Ποσειδώνιος ἐν τῇ τριακοστῇ, ἄριστον προσφέρονται κρέα μεληδὸν ὠπτημένα, καὶ ἐπιπίνουσι γάλα, καὶ τὸν οἶνον ἄκρατον. Καμπανῶν δέ τινες παρὰ τὰ συμπόσια μονομαχοῦσι.“ Νικόλαος δ' ὁ Δαμασκηνὸς, Gladiatores inter coenam apud Romanos.
εἷς τῶν ἀπὸ τοῦ Περιπάτου Φιλοσόφων, ἐν τῇ δεκάτῃ πρὸς ταῖς ἑκατὸν τῶν Ἱστοριῶν, Ῥωμαίους ἱστορεῖ παρὰ τὸ δεῖπνον συμβάλλειν μονομαχίας, γράφων οὕτως· „Τὰς τῶν μονομάχων θέας οὐ μόνον ἐν πανηγύρεσι καὶ θεάτροις ἐποιοῦντο Ῥωμαῖοι, παρὰ Τυρρηνῶν παραλαβόντες τὸ ἔθος, ἀλλὰ καὶν ταῖς ἑστιάσεσιν. ἐκάλουν γοῦν τινες πολλάκις ἐπὶ δεῖπνον τοὺς φίλους ἐπί τε ἄλλοις, καὶ ὅπως ἂν δύο ἢ τρία ζεύγη ἴδοιεν μονομάχων· ὅτε καὶ κορεσθέντες δείπνου καὶ μέθης, εἰσεκάλουν τοὺς μονομάχους. καὶ ὁ μὲν ἅμα

veluti apud nos alica coquitur; tum vero multa obsonia Indicis scitamentis parata. »*Germani* vero, uti narrat Posidonius libro trigesimo, in prandio vescuntur carne membratim assata, bibuntque lac, & vinum merum. *Campanorum* vero nonnulli, inter epulas singulari certamine digladiantur.« Nicolaus vero Damascenus, Peripateticus philosophus, centesimo decimo libro Historiarum, *Romanos*, scribit, inter coenam gladiatorum paria committere. »Gladiatorum spectacula, ait, non modo publicis ludis in theatro edebant Romani, more ab Etruscis accepto, verum etiam inter epulas. Vocabant sane nonnumquam ad coenam amicos, cum alia illis pollicentes, tum spectaculum duorum aut trium parium gladiatorum. Et tunc illi, cibo satiati, ac vino temulenti, advocabant gladiatores: quorum ut quisque iu-

ἐσφάττετο, αὐτοὶ δ' ἐκρότουν ἐπὶ τούτῳ ἡδόμενοι. Ἤδη δέ τις καὶν ταῖς διαθήκαις γέγραφε, γυναῖκας εὐπρεπεστάτας μονομαχῆσαι, ἃς ἐκέκτητο· ἕτερος δὲ, παῖδας ἀνήβους ἐρωμένους ἑαυτοῦ. ἀλλὰ γὰρ οὐκ ἠνέσχετο ὁ δῆμος τὴν παρανομίαν ταύτην, ἀλλ' ἄκυρον τὴν διαθήκην ἐποίησεν." Ἐρατοσθένης δ' ἐν πρώτῳ Ὀλυμπιονικῶν, τοὺς Τυρρηνούς φησι πρὸς αὐλὸν πυκτεύειν. a

XL.

Coenantes digladiantur Galli.

Ποσειδώνιος δ' ἐν τρίτῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν· „Κελτοὶ, φησὶν, ἐνίοτε παρὰ τὸ δεῖπνον μονομαχοῦσιν. ἐν γὰρ τοῖς ὅπλοις ἀγερθέντες [1] σκιαμαχοῦσι, καὶ πρὸς ἀλλήλους ἀκροχειρίζονται· ποτὲ δὲ καὶ μέχρι τραύματος προΐασιν· καὶ ἐκ τούτου ἐρεθισθέντες, ἐὰν μὴ ἐπισχῶσιν οἱ παρόντες, καὶ ἕως ἀναιρέσεως ἔρχονται. Τὸ δὲ παλαιὸν, φησὶν, ὅτι παρατεθέντων κωλήνων τὸ μηρίον ὁ κράτιστος ἐλάμβανεν· b

1 ἐγερθέντες vulgo.

gulabatur, ita illi ſpectaculo delectati adplaudebant. Fuit etiam qui teſtamento ſcriberet, mulieres formoſiſſimas, quas ſuo aere ille emiſſet, ſingulari certamine pugnaturas; alius vero, impuberes pueros, quos in deliciis ille habuiſſet: at eam iniquitatem non tulit populus, ſed abrogavit teſtamentum." Eratoſthenes vero, libro primo Olympionicarum, Etruſcos, ait, ad tibiae modulos pugillatu contendere.

40. Poſidonius vero, tertio & viceſimo Hiſtoriarum: „*Celtae*, ait, nonnumquam inter coenam gladiatorio certamine congrediuntur. Quum enim armati conveniant, umbratilem quamdam pugnam inſtituunt, & exercitii cauſſa inter ſe conflictantur: interdum vero etiam usque ad vulnera procedunt; & inde irritati, niſi alii praeſentes inhibeant, ad caedem usque progrediuntur. Priſcis vero temporibus, inquit, moris apud eosdem fuerat, ut adpoſitis in coena pernis, quicumque

εἰ δέ τις ετερος ἀντιποιήσαιτο, συνίσταντο μονομαχήσοντες μέχρι θανάτου. ἄλλοι δ' ἐν θεάτρῳ, λαβόντες ἀργύριον ἢ χρυσίον, οἱ δὲ οἴνου κεραμίων ἀριθμόν τινα, καὶ πιστωσάμενοι τὴν δόσιν, καὶ τοῖς ἀναγ- Pretio guttur sibi abscindi patiuntur.
c καίοις φίλοις διαδωρησάμενοι, ὕπτιοι ἐκταθέντες ἐπὶ θυρεῶν κεῖνται· καὶ παραστάς τις ξίφει τὸν λαιμὸν ἀποκόπτει. " Εὐφορίων δ' ὁ Χαλκιδεὺς, ἐν Ἱστορικοῖς Ὑπομνήμασιν, οὕτω γράφει· „ Παρὰ δὲ τοῖς Ῥωμαίοις προτίθεσθαι πέντε μνᾶς τοῖς ὑπομένειν βουλομένοις τὴν κεφαλὴν ἀποκοπῆναι πελέκει, ὥστε τοὺς κληρονόμους κομίσασθαι τὸ ἆθλον· καὶ πολλάκις ἀπογραφομένους πλείους, δικαιολογεῖσθαι καθ' ὃ [1] δικαιότατός ἐστιν ἕκαστος αὐτὸς [2] ἀποτυμπανισθῆναι.
d Ἕρμιππος δ' ἐν πρώτῳ Περὶ Νομοθετῶν, τῶν XLI.

1 Al. καθὸ. 2 αὐτῶν *Epit.* indeque Euſtath.

fortiſſimus eſſet, femur acciperet: ſin alius quiſpiam id ſibi vindicaret, ſingulari certamine congreſſi ad mortem depugnabant. Alii in theatro, ſtipulata auri vel argenti ſumma, aut doliolorum vini numero aliquo, captis de praeſtando promiſſo pignoribus, initaque ratione ut merces iſta inter neceſſarios ipſorum, quos maxime caros habent, dividatur, ſupinos ſeſe ſuper clypeis humi iacientibus extendunt: & adſtans aliquis guttur eis gladio praecidit. « Euphorion vero Chalcidenſis, in Commentariis Hiſtoricis, ſic ſcribit: » Apud Romanos quinque minas his proponi, qui ſibi caput amputari ultro patiantur ea conditione, ut haeredes ipſorum pretium illud accipiant: fierique interdum, ut, cum plures nomen ſuum ſint profeſſi, veluti iure diſceptent illi inter ſe, unoquoque contendente aequum eſſe ut ipſe (prae caeteris) ſupplicio adficiatur.

41. Hermippus vero, primo libro de Legumlatoribus,

Singularium certaminum inventores Mantinenſes.

μονομαχούντων εὑρετὰς ἀποφαίνει Μαντινεῖς, Δημώνακτος ἑνὸς τῶν πολιτῶν συμβουλεύσαντος· καὶ ζηλωτὰς τούτου γενέσθαι Κυρηναίους. Ἔφορος δ' ἐν ἕκτῃ Ἱστοριῶν· „Ἤσκουν, φησὶ, τὰ πολεμικὰ οἱ Μαντινεῖς καὶ Ἀρκάδες. τήν τε στολὴν τὴν πολεμικὴν, καὶ τὴν ὅπλισιν τὴν ἀρχαίαν, ὡς εὑρόντων ἐκείνων, ἔτι καὶ νῦν Μαντινικὴν ἀποκαλοῦσι. πρὸς δὲ τούτοις καὶ ὁπλομαχίας μαθήσεις ἐν Μαντινείᾳ πρῶτον εὑρέθησαν, Δημέου τὸ τέχνημα καταδείξαντος." Ὅτι δὲ ἀρχαῖον ἦν τὸ περὶ τοὺς μονομάχους, Ἀριστοφάνης εἴρηκεν ἐν Φοινίσσαις οὕτως·

Ἐς Οἰδίπου δὲ παῖδε, διπτύχω κόρω,
Ἄρης κατέσκηψ', οἵ γε [1] μονομάχου πάλης
ἀγῶνα νῦν ἱστᾶσιν. [2]

Grammaticalia.

Ἔοικε δὲ πεποιῆσθαι τὸ ὄνομα οὐκ ἐκ τοῦ μάχη, ἀλλ' ἐκ ῥήματος [3] τοῦ μάχεσθαι μᾶλλον συγ-

1 Vulgo κατέσκηψέ τε. 2 ἑστᾶσιν vulgo. 3 ἐκ τοῦ ῥήμ. edd.

ſingularium certaminum inventores tradit fuiſſe Mantinenſes, ſuadente eis uno e civibus Demonacte: eumque morem dein aemulatos eſſe Cyrenenſes. Ephorus autem ſexto Hiſtoriarum: » Bellicas exercitationes, inquit, inſtituerunt Mantinenſes & Arcades: & ad hunc usque diem militaris cultus, & vetuſta armatura, tamquam ab illis inventa, *Mantinenſis* vocatur. Adhaec etiam armis digladiandi ars ac diſciplina Mantineae inventa eſt, Demea illud artificium ex profeſſo docente. « Antiquum autem fuiſſe ſingularium certaminum morem, Ariſtophanes declarat, cum in Phoeniſſis ait:

Oedipi vero filios, geminos iuvenes,
Mars invaſit; qui quidem ſingularis pugnae
certamen nunc inſtituunt.

Videtur autem vocabulum μονομάχος non tam a nomine μάχη ductum, quam e verbo μάχεσθαι compoſi-

κεῖσθαι. ὁπότε γὰρ τὸ μάχη συντιθέμενον, τὸ τέλος εἰς ος [1] τρέπει, ὡς ἐν τῷ σύμμαχος, πρωτόμαχος,
f ἐπίμαχος, ἀντίμαχος, Φιλόμαχον γένος ἐκ Περσέως παρὰ Πινδάρῳ, τηνικαῦτα προπαροξύνεται. ὁπότε δὲ παροξύνεται, τὸ μάχεσθαι ῥῆμα περιέχει· ὡς ἐν τῷ πυγμάχος, ναυμάχος, αὐτόν σε πυλαμάχε [2] πρῶτον, παρὰ Στησιχόρῳ, ὁπλομάχος, τειχομάχος, πυργομάχος. Ὁ δὲ κωμῳδιοποιὸς [3] Ποσείδιππος ἐν Πορνοβοσκῷ φησίν·

Ὁ μὴ πεπλευκὼς, οὐδὲν ἑώρακεν κακόν·
a τῶν μονομαχούντων ἐσμὲν ἀθλιώτεροι.

Ὅτι δὲ καὶ οἱ ἔνδοξοι, καὶ οἱ ἡγεμόνες ἐμονομάχουν, καὶ ἐκ προκλήσεως τοῦτ' ἐποίουν, ἐν ἄλλοις εἰρήκαμεν. Δίυλλος [4] δ' ὁ Ἀθηναῖος ἐν τῇ ἑνάτῃ τῶν Ἱστοριῶν φησιν, ὡς Κάσσανδρος ἐκ Βοιωτίας ἐπανιὼν, καὶ θά- Gladiatorum ludi apud Macedonas.

1 Vulgo τὸ τέλος ἴσως τρέπει. 2 Vulgo πυγμάχε. 3 κωμικὸς *Epit.* κωμῳδοποιὸς edd. 4 Διΰαλος vulgo.

tum. Nam quoties e *nomine* μάχη compoſitum vocabulum in ος definit, (ſicut in vocibus σύμμαχος, πρωτόμαχος, ἐπίμαχος, ἀντίμαχος, φιλόμαχον *Perſei genus* apud Pindarum) ſemper acuitur antepenultima ſyllaba. Sed ubi in penultima acuitur vocabulum, ibi *verbum* μάχεσθαι in ſe comprehendit: velut in hisce, πυγμάχος, ναυμάχος, *ipſum te* πυλαμάχε *primum*, apud Steſichorum, ὁπλομάχος, τειχομάχος, πυργομάχος. Poſidippus in Lenone ait:

Qui non navigavit, is nihil vidit mali:
gladiatoribus nos ſumus miſeriores.

Sed & illuſtres viros & duces exercituum ſingulari certamine pugnaſſe, & ex provocatione id feciſſe, alibi docuimus. Diyllus vero Athenienſis nono Hiſtoriarum libro ſcribit, Caſſandrum e Boeotia redeuntem, cum re-

ψας τὸν βασιλέα καὶ τὴν βασίλισσαν ἐν Αἰγαῖς, καὶ μετ' αὐτῶν τὴν Κύνναν τὴν Εὐρυδίκης μητέρα, καὶ τοῖς ἄλλοις τιμήσας οἷς προσήκει, καὶ μονομαχίας ἀγῶνα ἔθηκεν, εἰς ὃν κατέβησαν τέσσαρες τῶν στρατιωτῶν.

XLII.

Hegesianax apud Antiochum.

Δημήτριος δ' ὁ Σκήψιος, ἐν τῷ δωδεκάτῳ τοῦ Τρωϊκοῦ Διακόσμου· „Παρὰ Ἀντιόχῳ, φησὶ, τῷ b βασιλεῖ, τῷ Μεγάλῳ προσαγορευθέντι, ἐν τῷ δείπνῳ πρὸς ὅπλα ὠρχοῦντο οὐ μόνον οἱ βασιλέως φίλοι, ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεύς. ἐπεὶ δὲ καὶ εἰς Ἡγησίανακτα τὸν Ἀλεξανδρέα ἀπὸ Τρωάδος, τὸν τὰς Ἱστορίας γράψαντα, ἡ τῆς ὀρχήσεως τάξις ἐγένετο, ἀναστὰς εἶπεν· Πότερον, ὦ βασιλεῦ, κακῶς ὀρχούμενον ἐμὲ θεάσασθαι βούλει, ἢ καλῶς ἀπαγγέλλοντός μου ἴδια ποιήματα θέλεις ἀκροάσασθαι; κελευσθεὶς οὖν λέγειν, οὕτως ἥσε τὸν βασιλέα, ὥστ' ἐράνου τε ἀξιωθῆναι, καὶ τῶν φίλων εἷς γενέσθαι. Δοῦρις δ' ὁ c

gem & reginam ſepeliiſſet Aegis, cum eisque Cynnam matrem Eurydices; & omnibus honoribus, quibus par erat, proſecutus eſſet defunctos; certamen etiam edidiſſe gladiatorium, in illudque deſcendiſſe quatuor ex militibus.

42. Demetrius vero Scepſius, duodecimo libro Ordinationis aciei Troianae ſcribit: »Apud Antiochum regem, qui Magnus eſt cognominatus, inter coenam armatos ſaltaſſe non modo amicos regis, ſed etiam regem ipſum. Ubi vero ad Hegeſianactem Alexandrenſem ex Troade, eum qui Hiſtorias ſcripſit, ſaltandi vices pervenere, ſurgens ait: *Utrum me male ſaltantem ſpectare, Rex, mavis; an bene recitantem quaedam mea carmina audire?* Recitare igitur iuſſus, ita oblectavit Antiochum, ut & ſtipendio rex eum honoraret, & in amicorum nume-

Σάμιος, ἐν τῇ τῶν Ἱστοριῶν ἑπταικαιδεκάτῃ, Πολυσπέρχοντα, φησὶν, εἰ μεθυσθείη, καίτοι πρεσβύτερον ὄντα, ὀρχεῖσθαι, οὐδενὸς Μακεδόνων ὄντα δεύτερον οὔτε κατὰ τὴν στρατηγίαν, οὔτε κατὰ τὴν ἀξίωσιν· καὶ ἐνδυόμενον αὐτὸν κροκωτὸν, καὶ ὑποδούμενον σικυώνια, διατελεῖν ὀρχούμενον. Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν ὀγδόῃ Ἀσιατικῶν ἱστορεῖ, ὡς οἱ ἑστιῶντες Ἀλέξανδρον τὸν Φιλίππου τῶν φίλων, τὸ μέλλον παρατεθήσεσθαι τῶν τραγημάτων περιεχρύσουν. ὅτε δὲ θέλοιεν ἀναλίσκειν, περιελόντες τὸν χρυσὸν ἅμα τοῖς ἄλλοις ἐξέβαλλον, ἵνα τῆς μὲν πολυτελείας οἱ φίλοι θεαταὶ γένωνται, οἱ δ' οἰκέται κύριοι. Ἐπιλελησμένοι δ' ἦσαν οὗτοι, ὡς καὶ Δοῦρις ἱστορεῖ, ὅτι καὶ Φίλιππος ὁ τοῦ Ἀλεξάνδρου πατὴρ ποτήριον χρυσοῦν ὁλκὴν ἄγον πεντήκοντα δραχμὰς κεκτημένος, τοῦτο

Polysperchon.

Deaurata bellaria.

rum adsciscret.« Duris Samius, Historiarum libro decimo septimo, scribit, Polysperchontem, ubi adpotus esset, quamvis aetate grandiorem, saltare solitum, cum nemini Macedonum neque rei militaris peritia cederet, neque dignitate; & croceam vestem calceosque Sicyonios indutum, saltare non desiisse. Agatharchides Cnidius, Asiaticarum Historiarum libro octavo, narrat » Alexandri amicos, Philippi filii, epulis excipientes regem, deauratse bellaria mensis imponenda: quoties vero comedere aliquid ex his voluissent, detrahentes aurum, simul cum aliis rebus (ad comedendum inutilibus) abiecisse; ut magnificentiae spectatores essent familiares, fructus autem illius ad servos rediret.« At immemores hi erant, quod etiam Duris tradit, Philippum Alexandri patrem, cum poculum haberet quinquaginta drachmarum pondere, poculum illud, quoties cubi-

ἐλάμβανε κοιμώμενος ἀεὶ, καὶ πρὸς κεφαλὴν αὐτοῦ κατετίθετο. Σέλευκος δὲ „Θρᾳκῶν, φησὶ, τινὰς ἐν τοῖς συμποσίοις ἀγχόνην παίζειν, βρόχον ἀρτήσαντας ἔκ τινος ὕψους στρογγύλον, πρὸς ὃν κατὰ κάθετον προστίθεσθαι λίθον εὐπερίτρεπτον τοῖς ἐπιβαίνουσι. διαλαγχάνειν οὖν αὐτοὺς, καὶ τὸν λαχόντα, ἔχοντα δρεπάνιον, ἐπιβαίνειν τῷ λίθῳ, καὶ τὸν τράχηλον εἰς τὸν βρόχον ἐντιθέναι· παρερχόμενον δὲ ἄλλον ἐγείρειν τὸν λίθον, καὶ ὁ κρεμάμενος ὑποτρέχοντος [1] τοῦ λίθου, ἐὰν μὴ ταχὺ φθάσας ἀποτέμῃ [2] τῷ δρεπάνῳ, τέθνηκε· καὶ οἱ ἄλλοι γελῶσι, παιδιὰν ἔχοντες τὸν ἐκείνου θάνατον.“

Suſpendii luſus apud Thracas.

XLIII.

Ταῦτ' εἰπεῖν εἶχον, ἄνδρες φίλοι καὶ συμπόται, τῶν Ἑλλήνων πολὺ πρῶτοι, περὶ ἀρχαίων συμποσίων ἐπιστάμενος. Ἀκριβῶς δ' ὁ σοφὸς Πλάτων, ἐν τῷ πρώτῳ Νόμων περὶ συμποσίων διηγεῖται, λέγων οὕ-

Sobrii Spartani.

1 Aut ſic oportuit, aut ἀποτρέχοντος, pro vulgato ἐπιτρέχοντος.
2 Malim ἀποτέμῃ τὸν βρόχον τῷ δρεπ.

tum iret, ſecum ſumtum ſub cervicali ſuo depoſuiſſe. Seleucus vero »*Thracum* nonnullos, ait, *Suſpendium* ludere in conviviis; laqueum bene teretem ex aliqua altitudine ſuſpendentes, ſubiecto ad perpendiculum lapide, volubili ſi quis inſiſtat. Sortiri igitur illos inter ſe, &, cui ſors obveniſſet, eum inſiſtere lapidi, cultro falcato munitum, & collum laqueo inſerere. Tum accedens alius lapidem movet: & ille, dum provolvitur lapis, ſuſpenſus, ni laqueum propere cultro abſciderit, perit: ridentque caeteri, pro ioco habentes illius exitium.«

43. Haec habui quae dicerem, o viri amici & convivae, Graecorum primarii, quae *de Conviviis veterum* mihi cognita ſunt. Adcurate vero ſapiens Plato, Legum libro primo, de Conviviis diſſerit, ſic ſcribens: »Ac

τως· „Καὶ οὔτ' ἂν ἐπ' ἀγρῶν ἴδοις, οὔτ' ἐν ἄστεσιν ὅσων Σπαρτιάταις μέλει, συμπόσια, οὐδ' ὁπόσα τούτοις ξυνεπόμενα πάσας ἡδονὰς κινεῖ κατὰ δύναμιν. a οὐδ' ἔστιν ὅστις ἁπάντων κωμάζοντί τινι μετὰ μέθης, οὐκ ἂν τὴν μεγίστην δίκην εὐθὺς ἐπιθείη, καὶ οὔτ' ἂν Διονύσια πρόφασιν ἔχοντ' αὐτὸν ῥύσαιτο·[1] ὥσπερ ἐν ἁμάξαις ἴδον παρ' ὑμῖν ἐγὼ, καὶ ἐν Τάραντι δὲ παρὰ τοῖς ἡμετέροις ἀποίκοις πᾶσαν τὴν πόλιν ἐθεασάμην περὶ τὰ Διονύσια μεθύουσαν. ἐν Λακεδαίμονι οὐκ ἔστ' οὐδὲν τοιοῦτον.“

XLIV. Cynulcus esuriens.

Καὶ ὁ Κύνουλκος· Ἀλλ' ὡς ὄφελον,[2] ἔφη, τὴν Θρᾴκιον ταύτην παίξας παιδιὰν διεφθάρης· ἀνέτεινες γὰρ ἡμᾶς[3] ὥσπερ νηστείαν ἄγοντας, καὶ περιμένον- b τας τὸ ἀνατέλλον ἄστρον, οὗ Φασι μὴ Φανέντος οἱ τὴν χρηστὴν ταύτην ΦιλοσοΦίαν εὑρόντες νόμιμον εἶναι

1 λύσαιτο vulgo apud Platonem. 2 Μᾶλλον ὤφελον edd. Ἄλλως ὤφελον ms. *A*. 3 διεφθάρην, ἢ τῇδε παρ' ὑμᾶς edd. διεφθάρησαν. ετινες (sic) γὰρ ἡμᾶς ms. *A*.

neque in agris, neque in oppidis, quaecumque Spartanorum ditionis sunt, convivia & compotationes videas, neque eorum quidquam quae cum his coniuncta esse solent, voluptates omnes quoad fieri potest excitantia. Neque est quisquam, quin, comissanti cuidam & ebrio obviam factus, statim gravissimam ei poenam irroget: & ne Bacchanalia quidem, si quis ea praetexat, defendere eum possint; quemadmodum vos curribus vectos vidi, & Tarenti apud nostros colonos universam civitatem Bacchanalibus temulentam conspexi. Lacedaemone vero nihil est tale.“

44. Ibi Cynulcus: Utinam, inquit, Thracicum illum ludum ludens periisses: suspensos enim tenuisti nos, tamquam ieiunium agentes, & exspectantes oriens sidus; quo nondum orto non licitum esse aiunt praecla-

μηδενὸς γεύεσθαι. ἐγὼ δ' ὁ τάλας, κατὰ τὸν κωμῳδιοποιὸν Δίφιλον,

Κεστρεὺς ἂν εἴην ἕνεκα νηστείας ἄκρας.

Ἐπελάθεσθε δὲ καὶ ὑμεῖς τῶν τοῦ ποιητοῦ καλῶν, ὃς ἔφη·

Οὐ μὲν γάρ τι χέρειον ἐν ὥρῃ δεῖπνον ἑλέσθαι.

καὶ ὁ καλὸς δ' Ἀριστοφάνης ἐν Κωκάλῳ ἔφη·

Ἀλλ' ἔστιν, ὦ πάτερ, κομιδῇ μεσημβρία,
ὀπηνίκα [1] τοὺς νεωτέρους δειπνεῖν χρεών. c

ἐμοί τε πολλῷ ἦν ἄμεινον, κατὰ τὸ Παρμενίσκου τῶν Κυνικῶν Συμπόσιον δειπνεῖν, ἢ ἐνθάδε πάντα ὥσπερ τοὺς πυρέσσοντας περιφερόμενα ὁρᾶν. Γελασάντων δὲ ἡμῶν, ἔφη τις· Ἀλλ', ὦ λῷστε ἀνδρῶν, μὴ φθονήσῃς ἡμῖν, τὸ Παρμενίσκειον ἐκεῖνο διελθεῖν Συμπόσιον. Καὶ ὃς, μετέωρον αὐτὸν παραναστήσας, ἔφη·

Ὀμνυμι δ' ὑμῖν, ἄνδρες,

1 ἡνίκα καὶ τοὺς vulgo.

rae huius philoſophiae auctores guſtare quidquam. Ego vero miſer, quod ait comicus Diphilus,

mugil paene ſum, prae extrema fame.

Obliti vero etiam vos eſtis eorum quae praeclara leguntur apud poëtam, qui dixit,

Nec vero malum erit, in tempore ſumere coenam.

Et feſtivus Ariſtophanes in Cocalo ait:

At, pater, meridies iam prorſus eſt,
quo tempore coenare iuniores debent.

Ac mihi ſatius fuiſſet, ſic coenare, ut in *Parmeniſci Cynicorum Convivio*, quam hîc omnia veluti febricitantes videre circumferri. Tum nos adriſimus, & unus aiebat: At, o virorum optime, ne nobis enarrationem illius Convivii Parmeniſci invideas. Ille vero, ſublime ſe erigens: *Iuro vobis*, inquit, *viri*; ut cum ſua-

κατὰ τὸν ἡδὺν Ἀντιφάνη, ὃς ἐν τῇ Παρεκδιδομένῃ ἔφη· [1]

Ὄμνυμι δ' ὑμῖν, ἄνδρες, αὐτὸν τὸν θεὸν,
ἐξ οὗ τὸ μεθύειν πᾶσιν ὑμῖν γίνεται·
d ἢ μὴν [2] ἑλέσθαι τοῦτον ἂν ζῆν τὸν βίον,
ἢ τὴν Σελεύκου τοῦ βασιλέως ὑπεροχήν.
Ῥοφεῖν φακῆν ἔσθ' ἡδύ, μὴ δεδοικότα·
μαλακῶς καθεύδειν, ἄθλιον, δεδοικότα.

XLV. Parmeniſci coena Cynicorum.

Ἀλλ' ὅ γε Παρμενίσκος οὕτως ὑπήρξατο· „Παρμενίσκος Μόλπιδι χαίρειν. Πλεονάζων ἐν ταῖς προσφωνήσεσι πρός σε περὶ τῶν ἐπιφανῶν κλήσεων, ἀγωνιῶ μή ποτε εἰς πληθώραν ἐμπεσὼν μεμψιμοιρήσῃς. διὸ καὶ μεταδοῦναί σοι βούλομαι τοῦ παρὰ Κέβητι e τῷ Κυζικηνῷ δείπνου. προπιὼν δ' ὑσσώπου, τὴν ὥραν ἐπάναγε ἐπὶ τὴν ἑστίασιν. Διονυσίων γὰρ ὄντων Ἀθήνησι, παρελήφθην πρὸς αὐτόν. κατέλαβον δὲ κυνικοὺς

1 Locus e mſstis ſuppletus. 2 Vulgo ἡμῖν.

vi Antiphane loquar, qui in Nuptum-tradita ſic dicit:

Iuro vobis, viri, per hunc ipſum Deum,
cuius beneficio inebriamini,
praeoptare me certe hanc vitam vivere
omni Seleuci regis magnificentiae.
Sorbere lentem, ſuave; tantum abſit metus:
miſerum, cubare molliter; ſi adſit metus.

45. Parmeniſcus vero in hunc modum exorſus eſt: „*Parmeniſcus Molpidi ſalutem.* Cum iam ſaepe multumque te compellaverim de illuſtribus conviviis, quibus vocatus interfui, vereor ne plenitudine tandem laborans de me conqueraris. Quare te participem facere volo coenae, apud Ceberem Cyzicenum habitae. Igitur poſtquam hyſſopi decoctum praebiberis, fac iuſto tempore ad epulas redeas. Bacchi dies feſti agebantur, cum ad coenam apud eum adhibitus ſum. Ibi Cynicos dis-

μὲν ἀνακειμένους ἓξ, ἕνα δὲ κύνουλκον Καρνεῖον, τὸν Μεγαρικόν. Τοῦ δείπνου δὲ χρονίζοντος, λόγος ἐγένετο, ποῖον τῶν ὑδάτων ἥδιστόν ἐστιν. καὶ τῶν μὲν ἐγκωμιαζόντων τὸ ἀπὸ τῆς Λέρνης, ἄλλων δὲ τὸ ἀπὸ τῆς Πειρήνης, ὁ Καρνεῖος κατὰ Φιλόξενον εἶπεν, τὸ κατὰ χειρῶν. καὶ τῆς τραπέζης παρατεθείσης, ἐδειπνοῦμεν,

καὶ τὴν μὲν ἐξηντλοῦμεν (φακῆν,) ἡ δ' ἐπεισρέει·
εἶτα πάλιν φακοὶ προσηνέχθησαν ὄξει βεβρεγμένοι· f

καὶ ὁ διϊτρεφὴς δραξάμενος, ἔφη·

Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος φακῶν.

καὶ ἄλλος ἐξῆς ἀνεβόησε·

Φακός σε δαίμων, καὶ φακὴ τύχη λάβοι.

Ἐμοὶ δὲ κατὰ τὸν κωμικὸν Δίφιλον, (φησὶ δ' οὗτος ἐν Πελιάσι·)

Δειπνάριον [1] ἦν ἀνθηρὸν, [ἦν] [2] γλαφυρὸν σφόδρα·

1 Τὸ δειπνάριον edd. & ms. *A.* 2 ἦν h. l. ignorant edd. & mssti.

cumbentes offendi ſex: & unum cynulcum (*canum ductorem*) Carneum, Megaricum. Dum morabatur coena, incidebat ſermo, *aquarum quaenam ſuaviſſima eſſet?* Aliis igitur Lernenſem laudantibus, aliis illam e Pirene fonte; Carneus, Philoxenum imitatus, *ea*, inquit, *quae manibus infunditur.* Adpoſitâ dein menſâ, coenavimus; & lenticulam

aliam quidem exhauſimus, influebat autem alia.

Rurſus deinde lentes illatae ſunt aceto maceratae quibus manus cupide iniiciens ille Iovis alumnus, ait:

O Iupiter, ne te lateat qui harum auctor eſt lenticularum.

Et alius rurſus exclamavit:

Lenticula te daemon, lenticula te fortuna prehendat.

Mihi vero, iuxta comicum Diphilum, ut ait ille in Peliadibus,

Coenula erat florida, perquam ſplendida erat,

Φακῆς κατ' ἄνδρα τρύβλιον μεστὸν μέγα.
a Β. Πρώτιστον οὐκ ἀνθηρόν. Α. Ἐπὶ ταύτῃ φέρων
εἰς τὸ μέσον ἐπεχόρευσε σαπέρδης μέγας,
ὑπό τι δυσώδης. Β. οὗτος ἱερὸς ἀνθίας,
ὃς πολλὰ χαίρειν ταῖς κίχλαις ἤδη λέγει. [1]

Γέλωτος [2] οὖν ἐπιῤῥαγέντος, παρῆν ἡ θεατροτορύνη Μέλισσα, καὶ ἡ κυνάμυια Νίκιον· αὗται δ' ἦσαν τῶν οὐκ ἀσήμων ἑταιρίδων. ἀποβλέψασαι οὖν αὗται εἰς τὰ παρακείμενα, καὶ θαυμάσασαι, ἐγέλων. καὶ ἡ Νίκιον ἔφη· Οὐδεὶς ὑμῶν, ἄνδρες γενειοσυλλεκτάb δαι, ἰχθὺν ἐσθίει; ἢ καθάπερ ὁ πρόγονος ὑμῶν Μελέαγρος ὁ Γαδαρεὺς ἐν ταῖς Χάρισιν ἐπιγραφομέναις ἔφη, τὸν Ὅμηρον, Σύρον ὄντα τὸ γένος, κατὰ τὰ πάτρια ἰχθύων ἀπεχομένους ποιῆσαι τοὺς ἀρχαίους, δαψιλείας πολλῆς οὔσης κατὰ τὸν Ἑλλήσποντον; ἢ

1 Duo posteriores versus vulgo sic leguntur:
ὑπό τι δυσάδης οὗτος ἦρος ἀνθίαν
ὃν πολλὰ ταῖς κίχλαις ἤδη λέγειν.
nec mutant quidquam membranae, nisi quod λέγει dant pro λέγειν. 2 οὗτος post Γέλωτος inserit ms. *A.* quod, ni temere prorsus irrepsit, in οὕτως mutandum.

ingens viritim catinus, plenus lenticulâ.
B. *Prima pars non florida.* A. *Post eam veniens*
in medium introsiliit saperda magnus;
parum quidem male olens. B. *Hic sacer anthias,*
qui turdos omnes multum valere iubet.

Multo oborto risu intravit theatri-tudicula Meliſſa, & canina-muſca Nicium: utraque ex meretriculis non ignobilibus. Quae intuitae adpoſita fercula, mirantes riſere. Et Nicion dixit: *Nemo veſtrûm, viri barbam-colligentes, piſcem comedit? An quoniam progenitor veſter Meleager Gadarenus in carmine, quod Gratiae inſcribitur, Homerum ait Syrum fuiſſe genere, eâque cauſſâ abſtinentes piſcibus feciſſe veteres, quamvis magna eorum copia in Helleſponto eſ-*

μόνον ἀνέγνωτε σύγγραμμα αὐτοῦ τὸ περιέχον Λεκίθου καὶ Φακῆς σύγκρισιν; ὁρῶ γὰρ πολλὴν παρ' ὑμῖν τῆς Φακῆς τὴν σκευήν. εἰς ἣν ἀποβλέπουσα συμβουλεύσαιμ' ἂν ὑμῖν, κατὰ τὸν Σωκρατικὸν Ἀντισθένην, ἐξάγειν ἑαυτοὺς τοῦ βίου, τοιαῦτα σιτου- c
μένους. Πρὸς ἣν ὁ Καρνεῖος ἔφη· Εὐξίθεος ὁ Πυθαγορικὸς, ὦ Νίκιον, ὥς φησι Κλέαρχος ὁ Περιπατητικὸς ἐν δευτέρῳ Βίων, ἔλεγεν, ἐνδεδέσθαι τῷ σώματι καὶ τῷ δεῦρο βίῳ τὰς ἁπάντων ψυχὰς τιμωρίας χάριν· καὶ διείπασθαι τὸν Θεὸν, ὡς, εἰ μὴ μενοῦσιν ἐπὶ τούτοις ἕως ἂν ἐκὼν αὐτοὺς λύσῃ, πλέοσι καὶ μείζοσιν ἐμπεσοῦνται τότε λύμαις. διὸ πάντας εὐλαβουμένους τὴν τῶν κυρίων ἀνάτασιν, [1] φοβεῖσθαι τοῦ ζῆν ἑκόντες ἐκβῆναι, μόνον τε τὸν ἐν τῷ γήρᾳ θάνατον d
ἀσπασίως προσίεσθαι, [2] πεπεισμένους τὴν ἀπόλυσιν τῆς ψυχῆς μετὰ τῆς τῶν κυρίων γίγνεσθαι γνώμης. τούτοις τοῖς δόγμασιν ἡμεῖς πειθόμεθα. — Ὑμῖν δὲ [3]

1 Vulgo ἀνάστασιν. 2 προΐστασθαι vulgo. 3 Intercidit fortaſſe ἔφη ἐκείνη, vel ἔφη ἡ Νίκιον.

ſet? *An unum illius ſcriptum legiſtis, quo Comparatio continetur Piſi & Lenticulae? nam multum apud vos lenticulae video adparatum: quem ego reſpiciens, ſuadere vobis velim, ſecundum Socraticum Antiſthenem, ut e vita vos educatis, tali victus ratione utentes.* Cui Carneus reſpondit: Euxitheus Pythagoricus, o Nicion, ut ait Clearchus Peripateticus ſecundo libro Vitarum, *illigatas* dixit *eſſe corpori & terrenae vitae animas, poenae cauſſâ: & edixiſſe Deum, ni maneant in his donec ipſe ultro eos liberaſſet, fore ut in plura dein gravioraque mala incidant. Quare omnes, veritos Dominorum minas illas, cavere ne ſponte vita excedant, & ſolam in ſenectute mortem libenter admittere, perſuaſos illam animae liberationem ex Dominorum fieri voluntate. Hisce praeceptis nos paremus.* — [Ad quae illa:] »*At vobis non invideo*, [in-

φθόνος οὐδὲ εἷς ἐλέσθαι ἔν τι τῶν τριῶν ἔχειν κακῶν. Οὐ γὰρ ἐπίστασθε, ὦ ταλαίπωροι, ὅτι αἱ βαρεῖαι αὗται τροφαὶ φράττουσι [1] τὸ ἡγεμονικὸν, καὶ οὐκ ἐῶσι τὴν φρόνησιν ἐν αὐτῇ [2] εἶναι. "

XLVI.

Θεόπομπος οὖν ἐν πέμπτῳ Φιλιππικῶν φησί· „ Τὸ γὰρ ἐσθίειν πολλὰ, καὶ κρέα φαγεῖν, τοὺς μὲν λογισμοὺς ἐξαιρεῖ, καὶ τὰς ψυχὰς ποιεῖται βραδυτέρας, ὀργῆς δὲ καὶ σκληρότητος καὶ πολλῆς σκαιότητος ἐμπίπλησι. " καὶ ὁ θαυμάσιος δὲ Ξενοφῶν φησιν, ὡς ἡδὺ μὲν μάζαν καὶ κάρδαμα φαγεῖν πεινῶντι, ἡδὺ δὲ ὕδωρ ἀρυσάμενον ἐκ ποταμοῦ διψῶντα πιεῖν. Σωκράτης δὲ καὶ πολλάκις κατελαμβάνετο διαπεριπατῶν ἑσπέρας βαθείας πρὸ τῆς οἰκίας, καὶ πρὸς τοὺς πυνθανομένους, τί τηνικάδε, ἔλεγεν, ὄψον συνάγειν πρὸς τὸ δεῖπνον. Ἡμῖν δὲ αὐτάρκης μερὶς ἦν [3] ἂν παρ' ὑμῶν λάβωμεν· καὶ οὐ χαλεπαίνομεν ὡς

Fami vulgares cibi sufficiunt.

1 θράττουσι coni. Coray. 2 ἐν αὐτῇ ms. Ven. ἐν αὐτῷ ms. *Ep.* 3 μερὶς ἦν ms. *A.*

quit] *ut unum e tribus malis vobis eligatis. Nec enim noſtis, o miſeri! gravia haecce alimenta obſepire principem animae partem, & obſtare quo minus ſibi conſtet prudentia.* «

46. Igitur Theopompus, Philippicorum quinto libro, ait: »Multum cibum capere, ac praeſertim carne multa veſci, rationis iudicium eripit, & animos tardiores facit, eosque iracundia & duritia & multa vecordia implet. « Et admirabilis Xenophon dicit: *ſuave eſſe mazam & naſturtium comedere eſurienti; ſuaveque ſitienti, aquam bibere e flumine hauſtam.* Itaque Socrates etiam ſaepe deprehenſus eſt multâ veſperâ obambulans ante aedes ſuas: & percunctantibus, *cur tam ſero?* reſpondebat: *obſonium ſe colligere ad coenam.* Nobis vero ſuffecerit portio, quamcumque a vobis accipiemus, nec aegre feremus tam-

ἔλαττον φερόμενοι, καθάπερ ὁ παρὰ Ἀντικλείδῃ Ἡρακλῆς. φησὶ γὰρ οὗτος ἐν τῷ δευτέρῳ τῶν Νόστων· „Μετὰ τὸ συντελέσαι τοὺς ἄθλους Ἡρακλέα, Εὐρυσθέως θυσίαν τινὰ ἐπιτελοῦντος συμπαραληφθέντα, [1] καὶ τῶν τοῦ Εὐρυσθέως υἱῶν τὰς μερίδας ἑκάστῳ παρατιθέντων, τῷ δ' Ἡρακλεῖ ταπεινοτέραν παραβέντων, ὁ Ἡρακλῆς ἀτιμάζεσθαι ὑπολαβών, ἀπέκτεινε τρεῖς τῶν παίδων, Περιμήδην, Εὐρύβιον, Εὐ- a
ρύπυλον." Οὐ τοιοῦτοι οὖν τὸν θυμὸν ἡμεῖς, εἰ καὶ πάντα Ἡρακλέους ζηλωταί.

XLVII. Laus lenticulae.

Τραγικὸν γὰρ ἡ φακῆ ἐστιν· Ἀρχάγαθος ἔφη πο . . . γεγραφέναι. [2] ἧς καὶ [3] ροφοῦντ' Ὀρέστην τῆς νόσου πεπαυμένον· φησὶ Σώφιλος ὁ κωμῳδιοποιός. Στωϊκὸν δὲ δόγμα ἐστίν· ὅτι τε πάντα εὖ ποιήσει ὁ σοφὸς, καὶ φακῆν

1 συμπαραχληθέντα edd. Iidemque paulo poſt omittunt υἱῶν. 2 Poſt πο (quod dedit ms. *A.* pro πῷ vel πω, quod habebant edd.) *puncta* nonnulla poſui, quibus lacunam indicarem. 3 Verba ἧς καὶ ex *Epit.* adieci.

quam minus ferentes, quemadmodum apud Anticlidem Hercules. Ait enim hic, libro ſecundo Reverſionum: »Herculem laboribus ſuis defunctum, cum ſacrificium aliquod celebraret Euryſtheus, ad convivium cum aliis eſſe adhibitum. Ubi quum filii Euryſtei portiones unicuique adponerent, Herculi vero adpoſuiſſent tenuiorem vilioremque, occidiſſe Herculem tres ex pueris, Perimedem, Eurybium, Eurypylum.« Non igitur eâ nos ſumus iracundiâ, quamvis caeteroquin Herculis in omnibus aemulatores.

47. *Eſt enim res tragoediis etiam digna, lenticula,* ſcripſiſſe alicubi . . . ait Archagathus: *quâ etiam ſorptâ Oreſtem a morbo convaluiſſe,* Sophilus ait comicus. Eſt autem Stoicorum decretum: *Et alia omnia recte facturum ſapientem, & lenticulam prudenter*

Φρονίμως ἀρτύσει. διὸ καὶ Τίμων ὁ Φλιάσιος ἔφη·

Καὶ (Ζηνώνειόν) [1] γε φακῆν [2] ἑψεῖν ὃς μὴ φρονίμως μεμάθηκεν·

b ὡς οὐκ ἄλλως δυναμένης ἑψηθῆναι φακῆς, εἰ μὴ κατὰ τὴν Ζηνώνειον ὑφήγησιν, ὃς ἔφη·

εἰς δὲ φακῆν ἔμβαλλε δυωδέκατον κοριάννου.

καὶ Κράτης δ' ὁ Θηβαῖος ἔλεγεν·

— — Μὴ πρὸ φακῆς λοπάδ' αὔξων,
εἰς στάσιν ἄμμε βάλῃς.

Χρύσιππός τε ἐν τῷ Περὶ τοῦ Καλοῦ, γνώμας τινὰς ἡμῖν εἰσφέρων, φησί· „Μή ποτ' ἐλαίαν ἔσθιε, ἀκαλήφην ἔχων· χειμῶνος ὥρᾳ βολβοφακῆν." Βαβαὶ, βαβαί.

Βολβοφακῆ δ' οἷον ἀμβροσίη ψύχους κρυόεντος. [3]

c Ὁ χαρίεις τε Ἀριστοφάνης ἐν Γηρυτάδῃ ἔφη·

1 Vocem Ζηνώνειον uncis includere visum erat. 2 φακὴν ms. *A*. Idemque paulo ante φακή 'στιν, & mox deinde Εἰς δὲ φακήν. 3 Vulgo sic fere interpunctus legebatur iste locus: Μήποτ' ἐλαίαν ἔσθι' ἀκαλήφην ἔχων χειμῶνος ὥρᾳ, βολβοφακὴν βαβαὶ βαβαὶ, βολβοφακὴ (vel βαβαὶ βαβαί. βολβοφακὴ) δ' οἷον ἀμβροσίη &c.

ter *conditurum*. Itaque & Timon Phliasius ait:

Et (Zenoniam) qui quidem elixare prudenter lenticulam non didicit.

Quasi non aliter posset elixari lenticula, nisi ex Zenonis praecepto. Praeceperat autem ille:

In lenticulam iniice duodecimam partem coriandri.

Et Crates Thebanus dixit:

Ne prae lenticula pluris faciens delicatam patinam, in turbas nos conicias.

Et Chrysippus in libro de Honestate, sententiolas quasdam adferens, ait: *Ne olivam edas, urticam habens: hiemis tempore lenticulam cum bulbis elixam.* Papae! [exclamabamus:] papae!

Lenticula vero cum bulbis veluti ambrosia est rigido frigore.

Et festivus Aristophanes in Gerytade ait:

Πτισάνην διδάσκεις αὐτὸν ἑψεῖν ἢ φακῆν.

καὶ ἐν Ἀμφιαράῳ·

Ὅστις φακῆν ἥδιστον ὄψων [1] λοιδορεῖς.

Ἐπίχαρμος δ' ἐν Διονύσοις·

Χύτρα δὲ φακέας ἥψετο.

Ἀντιφάνης Ὁμοίαις· [2]

Εὖ δὲ γίνετ'· ἢ φακῆν ἕψει,

ἢ γε [3] με δίδασκε τῶν ἐπιχωρίων τίς εἶς.

Οἶδα δὲ καὶ τὴν Ὀδυσσέως, τοῦ φρονιμωτάτου καὶ συνετωτάτου, ἀδελφὴν Φακῆν καλουμένην, ἣν ἄλλοι τινὲς Καλλιστὼ ὀνομάζουσιν, ὡς ἱστορεῖν Μνασέαν d τὸν Πατρέα ἐν τρίτῳ Εὐρωπιακῶν, φησὶ Λυσίμαχος ἐν τρίτῳ Νόστων.

XLVIII. Ἐπὶ τούτοις γελάσαντος πάνυ ἔκλαμπρον τοῦ Πλουτάρχου, οὐκ ἐνέγκας ὁ κύων παροραθεῖσαν τὴν

1 ὄψον Euſtath. 2 Ἀντιφάνης δ' Ὁμοίαις edd. Alibi apud Noſtrum ἐν Ὁμοίοις citatur. 3 γε particula abeſt vulgo, ex coniect. a nobis adiecta.

Ptiſanam doces eum elixare aut lenticulam.

& in Amphiarao:

Tu qui lenticulam, obſoniorum ſuaviſſimum, vituperas.

Epicharmus vero, in Dionyſis: (*id eſt*, Bacchis:)

Olla vero lenticulae elixabatur.

Antiphanes vero, in Similibus:

Bene res habet: aut tu lenticulam coque,
aut me, qui ſis indigenarum, doce.

Scio vero etiam, Ulyſſi prudentiſſimo intelligentiſſimoque ſororem fuiſſe, cui *Phace* (id eſt, *Lenticula*) fuerit nomen; quam nonnulli Calliſto vocant, ut Mnaſeam Patrenſem tertio Europicorum libro tradere ait Lyſimachus tertio Noſtorum. (*id eſt*, de Reverſionibus.)

48. Super his ingentem cachinnum cum ſuſtuliſſet Plutarchus, indigne ferens Canis ſpretam ſuam ſuper

περὶ τῆς φακῆς πολυμαθίαν· Ἀλλ' ὑμεῖς γε, ἔφη, οἱ ἀπὸ τῆς καλῆς Ἀλεξανδρείας, ὦ Πλούταρχε, σύντροφοί ἐστε τῷ φακίνῳ βρώματι, καὶ πᾶσα ὑμῶν ἡ πόλις πλήρης ἐστὶ φακίνων· ὧν καὶ Σώπατρος ὁ Φάκιος παρῳδὸς μέμνηται ἐν δράματι Βακχίδι, [1] λέγων οὕτως·

e Οὐκ ἂν δυναίμην, εἰσορῶν χαλκήλατον
μέγαν κολοσσὸν Φάκινον, ἄρτον ἐσθίειν.

Ἐπεὶ τί δεῖ βροτοῖσι, (κατὰ τὸν σὸν Εὐριπίδην, γραμματικώτατε,) πλὴν δυοῖν μόνον, Laus frugalitatis.

Δήμητρος ἀκτῆς, πώματός θ' ὑδρηχόου;
ἅπερ πάρεστι, καὶ πέφυχ' ἡμᾶς τρέφειν.
ὧν οὐκ ἀπαρκεῖ πλησμονή· [2] τρυφῇ γέ τοι
ἄλλων ἐδεστῶν μηχανὰς θηρεύομεν.

καὶν ἄλλοις δέ φησιν ὁ σκηνικὸς οὗτος φιλόσοφος·

Ἀρκεῖ μετρία βιοτά

1 Vulgo Βακχίδῃ. 2 πλησμονῆς vulgo.

lenticula eruditionem: At vos, Plutarche, inquit, pulcrae Alexandriae cives, a teneris lenticulari cibo nutrimini, & plena tota veſtra urbs eſt *lenticularium.* (φακίνων.) Quorum etiam Sopater *Lenticularis* (ὁ φάκιος) meminit in Fabula Bacchide:

Non poſſum ego, cum adſpicio ex aere cuſum
magnum coloſſum lenticularem, panem comedere.

Etenim quid eſt aliud, quo opus habent mortales, ſecundum tuum Euripidem, doctiſſime Grammatice, *praeter duo ſola,*

Cereris fruges, & aquae potum?
quae adſunt nobis, & ad nos nutriendos valent.
At horum copia non ſufficit nobis: itaque luxuriae noſtrae aliorum ciborum artificia operoſe quaerimus.

Et alibi idem ſcenicus Philoſophus ait:

Sufficit modicus victus

μοι σώφρονος τραπέζης·
τὸ δ' ἄκαιρον ἄπαν, f
ὑπερβάλλον τε, μὴ προσείμαν.

καὶ ὁ Σωκράτης δ' ἔλεγεν τῶν ἄλλων ἀνθρώπων διαφέρειν, καθόσον οἱ μὲν ζῶσιν ἵν' ἐσθίωσιν, αὐτὸς δ' ἐσθίει ἵνα ζῇ. Διογένης τε πρὸς τοὺς ἐγκαλοῦντας αὐτῷ ἀποτριβομένῳ ἔλεγεν, εἴθ' ἡδυνάμην καὶ τὴν γαστέρα τρίψας τῆς πείνης καὶ τῆς ἐνδείας παύσασθαι. ὁ δ' Εὐριπίδης ἐν Ἱκέτισιν περὶ τοῦ Καπανέως φησίν·

Καπανεὺς ὅδ' ἐστὶν, ᾧ βίος μὲν ἦν πολύς· a
ἥκιστα δ' ὄλβῳ γαῦρος ἦν, φρόνημα δὲ
οὐδέν τι μεῖζον εἶχεν ἢ πένης ἀνήρ·
ψέγων τραπέζαις εἴ τις ἐξογκοῖτ' ἄγαν·
τ' ἀρκοῦν ἐπαινῶν. [1] οὐ γὰρ ἐν γαστρὸς βορᾷ
τὸ χρηστὸν εἶναι, μέτρια δ' ἐξαρκεῖν, ἔφη.

XLIX. Οὐκ ἦν γὰρ τοιοῦτος, ὡς ἔοικεν, ὁ Καπανεὺς,

1 ἀτίζων apud Eurip.

mihi moderatae menſae:
intempeſtivum autem omne,
& quod ſuperfluum eſt, non admittam.

Et Socrates, *eo ſe differre*, dicebat, *ab aliis hominibus, quod illi vivant ut edant; ipſe vero edat ut vivat.* Et Diogenes accuſantibus eum, quod ſe fricaret, *Utinam*, inquit, *ventrem fricans, fame etiam & cibi deſiderio levare me poſſem!* Euripides vero, in Supplicibus, de Capaneo ait:

Capaneus hic eſt, qui abundabat quidem opibus;
nec vero inſolens erat ſuis divitiis, nec ſpiritus ſibi
ulla parte maiores, quam vir pauper, ſumſit.
Menſâ lautiore ſi quis extumeſceret, improbans:
quod ſatis eſſet, laudans. Nec enim in ventris ingluvie
ineſſe bonum dicebat: ſed mediocria ſufficere.

49. Non enim erat, ut videtur, Capaneus talis, qualis

οἷον ὁ καλὸς Χρύσιππος διαγράφει ἐν τῷ Περὶ τῶν μὴ δι' αὑτὰ Αἱρετῶν, λέγων ὧδε· „Ἐπὶ τοσοῦτον τινὲς ἐκπίπτουσιν πρὸς τὸ ἀργύριον, ὥστε ἱστορῆσθαι, b πρὸς τῇ τελευτῇ τινὰ μὲν καταπιόντα οὐκ ὀλίγους χρυσοῦς ἀποθανεῖν· τὸν δὲ ἕτερον ῥαψάμενον εἴς τινα χιτῶνα, καὶ ἐνδύντα αὐτὸν, ἐπισκῆψαι τοῖς οἰκείοις θάψαι οὕτως, μή τε καύσαντας, μή τε θεραπεύσαντας." Οὗτοι γὰρ καὶ οἱ τοιοῦτοι μονονουχὶ βοῶντες ἀποθνήσκουσιν·

Insana auri fames.

Ὦ χρυσὲ δεξίωμα κάλλιστον βροτοῖς,
ὡς οὔτε μήτηρ ἡδονὰς τοιάσδ' ἔχει,
οὐ παῖδες ἐν δόμοισιν, [1] οὐ φίλος πατὴρ,
οἵας σὺ, χ' οἱ σὲ δώμασιν κεκτημένοι.
c εἰ δ' ἡ Κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ,
οὐ θαῦμ' ἔρωτας μυρίους αὐτὴν ἔχειν.

1 Al. οὐ παῖδες ἀνθρώποισιν.

quem descripsit honestus Chrysippus in commentario De his quae non Propter se ipsa Expetenda sunt, ubi ait: » Nonnulli tanto studio in pecuniae cupiditatem incumbunt, ut memoriae sit proditum, nonneminem instante morte nummos aureos haud paucos deglutivisse, atque sic vita excessisse: alium vero, insutis tunicae nummis, induisse tunicam, praecepisseque familiaribus, ut eo cultu se sepelirent, nec cremarent, nec corpus lavarent aut ungerent. « Hi scilicet, & qui his sunt similes, moriuntur tantum non exclamantes:

O aurum, munus pulcerrimum mortalibus!
Nam neque mater tales voluptates habet,
neque filii in familiis, neque carus pater,
quales tu, & qui te domi possident.
Quod si Veneris talis est adspectus,
mirum non est, innumeros illam amores habere.

Τοιαύτη τις ἦν ἡ φιλοχρηματία παρὰ τοῖς τότε· περὶ ἧς Ἀνάχαρσις, πυνθανομένου τινὸς, πρὸς τί οἱ Ἕλληνες χρῶνται τῷ ἀργυρίῳ, εἶπε, [1] πρὸς τὸ ἀριθμεῖν. Διογένης δ' ἐν τῇ ἑαυτοῦ Πολιτείᾳ νόμισμα εἶναι νομοθετεῖ ἀστραγάλους. καλῶς δὲ καὶ ταῦτα ὁ Εὐριπίδης εἴρηκε,

Μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεὸν,
ὃν καὶ ὁ [2] κάκιστος ῥᾳδίως ἐκτήσατο.

Χρύσιππος δ' ἐν τῇ Εἰσαγωγῇ, τῇ περὶ Ἀγαθῶν καὶ Κακῶν πραγματείᾳ, [3] νεανίσκον φησί τινα ἐκ τῆς Ἰωνίας σφόδρα πλούσιον ἐπιδημῆσαι ταῖς Ἀθήναις, πορφυρίδα ἠμφιεσμένον, ἔχουσαν χρυσᾶ κράσπεδα. πυνθανομένου δέ τινος αὐτοῦ, ποδαπός ἐστιν, ἀποκρίνασθαι, ὅτι πλούσιος. Μή ποτε τοῦ αὐτοῦ μνημονεύει καὶ Ἄλεξις ἐν Θηβαίοις, λέγων οὕτως·

1 εἰπεῖν edd. vett. cum ms. *A*. ubi forſ. λέγεται intercidit. 2 ὃν χ' ὡ vel ὃν χὡ edd. 3 Hoc titulo alibi apud Noſtrum libellus iſte citatur. Hoc loco in edd. ſic legitur ἐν τῇ εἰσαγωγῇ τῆς εἰς τὴν περὶ ἀγ. καὶ κακῶν πραγματείας: ſic & ms. *A*. niſi quod in fine πραγματείᾳ habet.

Tale igitur ea aetate hominibus inerat pecuniae ſtudium: de quo Anacharſis, percunctante quodam, *Ad quid Graeci uterentur pecuniâ?* reſpondit, *Ad numerandum.* Diogenes vero, in ſua Republica, pro nummis ut eſſent pecudum tali, lege ſanxit. Bene vero etiam hoc dixit Euripides:

Ne mihi Plutum dixeris: non veneror Deum,
quem etiam peſſimus facile ſibi conciliaverit.

Chryſippus vero in Iſagoge, quae inſcribitur de Bonis & Malis Tractatio, iuvenem ex Ionia, ait, praedivitem Athenis verſatum eſſe, purpurea veſte indutum, aureis fimbriis ornatâ. Qui interrogatus ab aliquo, *cuiás eſſet*, reſpondit, *Pluſium ſe eſſe.* (id eſt, *Divitem.*) Neſcio an eiusdem etiam meminerit Alexis in Thebanis, cum ait:

A. Ἔστιν δὲ ποδαπὸς τὸ γένος οὗτος; B. Πλούσιος·
τούτους δὲ πάντες φασὶν εὐγενεστάτους.
πένητας εὐπατρίδας γὰρ [1] οὐδὲ εἰς ὁρᾷ. [2]

L. Logodiarrhoea.

e Ταῦτ' εἰπὼν ὁ Κύνουλκος, ἐπεὶ μὴ ἐκροταλίσθη, θυμωθείς· Ἀλλ' ἐπειδὴ οὗτοι, ἔφη, ὦ συμποσίαρχε, ὑπὸ λογοδιαῤῥοίας ἐνοχλούμενοι μὴ πεινῶσιν, ἢ τὰ περὶ τῆς φακῆς λεχθέντα χλευάζουσιν· (ἐν νῷ ἔχοντες τὰ εἰρημένα Φερεκράτει ἐν Κοριαννοῖ·

A. Φέρε δὴ, κατακλινῶ· σὺ δὲ τράπεζαν [3] φέρε, καὶ κύλικα, κἀντραγεῖν, ἵν' ἥδιον πίω.

B. Ἰδοὺ, κύλιξ σοι, καὶ τράπεζα, καὶ φακοί.

A. Μή μοι φακοὺς, μὰ τὸν Δί'· οὐ γὰρ ἥδομαι.
f ἢν γὰρ τράγῃ τις, τοῦ στόματος ὄζει κακόν.)

1 γὰρ vulgo ignorant omnes. πένητας οὐδ' εὐπατρ. erat in editt. Ven. & Baſ. ubi πένητας δ' εὐπατρ. corrigebat Hoeſch. ex *Epitome*. Particulam prorſus omiſit Caſaub. quam nec ms. *A.* agnoſcit. 2 Perperam poſtremus verſus Pherecrati tribuitur in ed. Caſauboni, verbis his in contextu adiectis, φησί που Φερεκράτης. 3 τράπεζάν μοι φέρε legebat Toup.

A. *Cuiâs eſt his genere?* B. Πλούσιος: (*Dives:*)
hos autem dicunt cuncti nobiliſſimos.
Pauperes enim nobiles nemo videt. [vel, *nemo reſpicit.*]

50. His dictis Cynulcus, quum ei nemo adplauderet, ſtomachatus: At quoniam hi, inquit, o convivii Magiſter, verborum profluvio vexati non eſuriunt; aut quia haec rident, quae de lenticula dicta ſunt: (in animo nempe habentes quae Pherecrates dixit in Corianno:

A. *Age igitur, adcumbam: tu vero menſam adfer,*
& calicem, & cibi nonnihil, iucundius ut bibam.
B. *Ecce tibi calicem, & menſam, & lenticulam!*
A. *Ne mihi lenticulam! per Iovem: eâ non delector;*
hâc enim qui veſcitur, os ei grave olet.)

ἐπεὶ οὖν διὰ τοῦτο φυλάττονται οἱ σοφοὶ οὗτοι τοὺς φακοὺς, ἀλλ' ἡμῖν γε ποίησον δοθῆναι ἄρτον, μεθ' ὧν μηδὲν τῶν πολυτελῶν, ἀλλὰ κἂν τὴν πολυθρύλλητον ἔχῃς φακῆν, [1] ἢ τὸν καλούμενον κόγχον. Γελασάντων δὲ πάντων, καὶ ἐπὶ τῷ κόγχῳ μάλιστα· Ἀπαίδευτοί ἐστε, ἔφη, ἄνδρες δαιτυμόνες, οὐκ ἀναγινώσκοντες βιβλία, ἃ μόνα παιδεύει τοὺς ἐπιθυμοῦντας τῶν καλῶν· λέγω δὲ τὰ Τίμωνος τοῦ Πυῤῥωνίου τῶν Σίλλων. οὗτος γάρ ἐστιν ὃς καὶ τοῦ κόγχου μνημονεύει ἐν τῷ δευτέρῳ τῶν Σίλλων, λέγων οὕτως·

Κόγχος: Romanorum *conchis*.

ἃ

Οὔτε μοι ἡ Τηΐη [2] μᾶζ' ἀνδάνει, οὔτε καρύκκη [3]
ἡ Λυδῶν· λιτῇ δὲ καὶ αὐαλέῃ [4] ἐνὶ κόγχῳ
Ἑλλήνων, ἣ πᾶσα περισσοτρύφητος οἰζύς.

Διαφόρων γὰρ οὐσῶν καὶ τῶν ἐκ Τέω μαζῶν, (ὡς

1 Rurſus φακὴν ms. *A*. 2 Temere ἐκταίη & paulo poſt τῶν ἐκταίων edd. 3 καρύκη edd. & mox dein καρυκῶν iidem, non male. 4 αὐσταλέῃ edd.

quoniam igitur hanc ob cauſſam cavent hi ſapientes viri a lenticula; at nobis ſaltem panem fac dari, cum aliquo eorum quos habes ciborum: nihil quidem ſumtuoſi, ſed vel hanc ipſam decantatam lenticulam, ſi habes, vel *conchum* qui vocatur. [*Fabam* dicebat, quae *conchis* vocabatur a Romanis.] Tum vero ridentibus omnibus, ſuper *concho* maxime: Ineruditi eſtis, inquit, viri convivae; nec libros legitis, qui ſoli pulcrarum rerum cupidos erudiunt; Timonis Pyrrhonii dico Sillorum libros. Hic eſt enim qui *conchorum* etiam meminit, Sillorum ſecundo, ubi ita ſcribit:

Non mihi Teia maza placet, neque carycca (conditura)
Lydorum: ſed vili & arida in concho
Graecorum omnis ſuperflue-luxurians miſeria.

Cum enim exquiſita bonitate ſint Teiae mazae, (quem-

καὶ τῶν ἐξ Ἐρετρίας, ὡς Σώπατρος ἐν Βάκχιδος Μνηστῆρσι φησὶ γάρ·

b Ἐρέτρειαν ὡρμήθημεν εἰς λευκάλφιτον·)

καὶ τῶν Λυδίων καρυκκῶν· προκρίνει ἀμφοτέρων ὁ Τίμων τὸν κόγχον.

LI. In lente unguentum; proverb.

Πρὸς ταῦτα ὁ καλὸς ἡμῶν ἑστιάτωρ Λαρήνσιος καὶ αὐτὸς ἔφη· Ὦ ἄνδρες κυνοσσόοι, [1] κατὰ τὴν Στράττιδος τοῦ κωμῳδιοποιοῦ Ἰοκάστην, ἥτις ἐν ταῖς ἐπιγραφομέναις Φοινίσσαις φησί·

Παραινέσαι δὲ σφῶν τι βούλομαι σοφόν·
ὅτ' ἂν φακῆν ἕψητε, μὴ 'πιχεῖν μύρον.

Καὶ ὁ Σώπατρος δέ, οὗ τὰ νῦν μέμνησαι, ἐν Νεκυίᾳ c μνημονεύει οὕτως·

Ἰθακος Ὀδυσσεὺς, τὸ ἐπὶ τῇ φακῇ μύρον,
πάρεστι· θάρσει θυμέ.

1 Sic ſcribendum putavi pro vulgato κύνες οἱ: niſi nude ἄνδρες κύνες oportuit, deleto οἱ: aut potius ἄνδρες Κυνικοί.

admodum & Eretrienſes, ut Sopater in Bacchidis Procis docet, dicens,

Eretriam profecti ſumus, candida-polenta-celebrem.)

atque etiam Lydiae caryccae; utrisque Timon praefert conchum.

51. Ad haec praeclarus noſter convivator Larenſius, ipſe etiam ſermonem orſus, ait: Ego vero, o viri canum agitatores, [*ſive*, viri canes,] quod apud comicum Strattidem in fabula Phoeniſſis Iocaſte ait:

Prudens vobis aliquod conſilium dare volo:
lenticulam cum coquitis, ne infundatis unguentum.

Sed & Sopater, cuius tu modo mentionem feciſti, in Necyia, [*id eſt*, in Deſcenſu in Orcum] eiusdem verbi ſic meminit:

Ithacenſis Ulyſſes, quod aiunt in lente unguentum,
adeſt: confide, mî anime!

Κλέαρχος δὲ, ὁ ἀπὸ τοῦ Περιπάτου, ἐν τοῖς περὶ Παροιμιῶν, ὡς παροιμίαν ἀναγράφει τὸ ἐπὶ τῇ Φακῇ μύρον. ἧς μέμνηται καὶ ὁ ἐμὸς προπάτωρ Οὐάρρων, ὁ Μενίππιος ἐπικαλούμενος· καὶ οἱ πολλοὶ τῶν γραμματικῶν τῶν Ῥωμαϊκῶν, οὐχ ὁμιλήσαντες πολλοῖς Ἑλληνικοῖς ποιηταῖς καὶ συγγραφεῦσιν, οὐκ ἴσασιν ὅθεν εἴληφεν ὁ Οὐάρρων τὸ ἰαμβεῖον. Σὺ δέ μοι δοκεῖς, ὦ Κύνουλκε, (τούτῳ γὰρ χαίρεις τῷ ὀνόματι, d
οὐ λέγων ὃ ἐκ γενετῆς σε ἡ μήτηρ κέκληκεν,) κατὰ τὸν σὸν Τίμωνα, εἶναί μοι καλός τε μέγας τε· οὐκ ἐπιστάμενος, ὅτι κόγχος παρὰ προτέρῳ [1] μνήμης τετύχηκεν Ἐπιχάρμῳ ἐν τῇ Ἑορτῇ καὶ Νάσοις,[2] Ἀντιφάνει τε τῷ κωμικῷ, ὃς ὑποκοριστικώτερον αὐτὸν ὠνόμασεν ἐν Γάμῳ οὕτως·

Vatro, cogn. Menippeus.

Κογχίον τε [3] μικρὸν, ἀλλᾶντος τε προστετμημένον. [4]

1 Vulgo παρ' ὁποτέρῳ. 2 καὶ ἐν Νάσοις malebam. 3 Forſ. Κογχίου τε. 4 Forſ. προτετμημένον. πρὸς τετμημένου corr. Coray.

Clearchus vero Peripateticus, in libris de Proverbiis, etiam illud in proverbiis recenſet, *in lente unguentum.* Eiusdem quoque meus progenitor *Varro* meminit, *Menippeus* cognomine: & multi ex Romanis Grammaticis, non multum in Graecis poëtis ſcriptoribusque verſati, neſciunt unde iambum illum ſumſerit Varro. Tu vero mihi videris, o Cynulce, (hoc enim tu gaudes nomine, tacens illud quo te recens natum mater adpellavit) ſecundum tuum Timonem, *bonus & magnus* homo eſſe, qui neſcias, *conchi* mentionem etiam fieri apud ſuperiorem (Timone) Epicharmum, in Feſto, & in Inſulis; & apud Antiphanem comicum, qui diminutivo nomine uſus eſt, in Nuptiis, ubi ait:

Et parum conchuli, & praeſectum hillae fruſtum.

Ἐξῆς ἁρπάσας τὸν λόγον ὁ Μάγνος· Ὁ μὲν πάντα
e ἄριστος, ἔφη, Λαρήνσιος ὀξέως καὶ καλῶς ἀπήντησεν τῷ γάστριδι κυνὶ περὶ τοῦ κόγχου. ἐγὼ δὲ κατὰ τοὺς τοῦ Παφίου Σωπάτρου Γαλάτας, παρ' οἷς ἔθος ἐστὶν, ἡνίκ' ἂν προτέρημά τι ἐν τοῖς πολέμοις λάβωσι θύειν τοῖς θεοῖς τοὺς αἰχμαλώτους,

Γαλάτας μιμούμενος
κἀγὼ, κατακαύσειν ἠὐξάμην τοῖς δαίμοσι
διαλεκτικοὺς τρεῖς τῶν παρεγγεγραμμένων.
καὶ μὴν, Φιλοσοφεῖν Φιλολογεῖῶ τ' ἀκηκοὼς
f ὑμᾶς ἐπιμελῶς, καρτερεῖν θ' αἱρουμένους,
τὴν πεῖραν ὑγιῆ λήψομαι τῶν δογμάτων,
πρόσθεν [1] καπνίζων· εἶτ' ἐὰν [2] ὀπτωμένων
εἴδω τιν' ὑμῶν συσπάσαντα τὸ σκέλος,
Ζηνωνικῷ πραθήσεθ' οὗτος κυρίῳ

1 Hoc satis esse putavi. In ms. *A.* sic scribitur προσ θ τον καπν. litera θ literae σ superscripta, & spatio nonnullo ante τον relicto. προθέος. τὸν καπνίζων ed. Ven. & Bas. πρόσθ' . . . . τοι, τὸν καπνίζων ed. Cas. pro quo idem Casaub. in Animadv. πρὸς πῦρ καπνίζων reponi iussit. πρότερον καπνίζων scripsit Grot. 2 ἐάν γ' aut ἐὰν δ' requirebam.

Hîc sermonem arripiens Magnus: Acute & pulcre, quod ad conchum adtinet, guloso huic cani respondit, inquit, vir omni ex parte praestantissimus Larensius. Ego vero, secundum Paphii Sopatri Galatas, apud quos moris est, cum felici successu in bellis usi sunt, Diis immolare captivos, — — *Galatas imitans*

ego quoque, cremare velim Diis
Dialecticos tres ex his suppositiitis.
Nam cum philosophari & de sapientia disputare audiverim
vos adcurate, patientiamque doloris profiteri;
experimentum certum vestrorum capiam dogmatum,
primum igni admovens: dein, si quem assatum
e vobis videro crus contrahentem,
Zenonico hic vendetur domino,

ἐπ' ἐξαγωγῇ, τὴν Φρόνησιν ἀγνοῶν.

LII. Pythagoreorum abstinentia.

Μετὰ παῤῥησίας γὰρ ἐρῶ πρὸς αὐτούς· εἰ αὐτάρκειαν ἀσπάζῃ, Φιλόσοφε, τί οὐ τοὺς Πυθαγορικοὺς ἐκείνους ζηλοῖς, περὶ ὧν Φησιν Ἀντιφάνης μὲν ἐν Μνήμασι τάδε· a

Τῶν Πυθαγορικῶν δ' ἐνέτυχον [1] ἄθλιοι τινὲς,
ἐν τῇ χαράδρᾳ τρώγοντες ἅλιμα, καὶ κακὰ
τοιαῦτα συλλέγοντες ἐν τῷ κωρύκῳ. [2]

καὶν τῷ κυρίως [3] Κωρύκῳ δ' ἐπιγραφομένῳ Φησί·

Πρῶτον μὲν, ὥσπερ πυθαγορίζων, ἐσθίει
ἔμψυχον οὐδέν, τῆς δὲ πλείστης τοὐβολοῦ
μάζης μελαγχρῆ μερίδα λαμβάνων λέπει.

Ἄλεξις δ' ἐν Ταραντίνοις· b

Οἱ πυθαγορίζοντες γὰρ, ὡς ἀκούομεν,
οὔτ' ὄψον ἐσθίουσιν, οὔτ' ἄλλ' οὐδὲ ἓν
ἔμψυχον, οἶνόν τ' οὐχὶ πίνουσιν μόνοι.

1 Sic ex coniect. pro vulgato δὲ τυχὸν. 2 Tria verba ἐν τῷ κωρύκῳ e coniect. adiecta. 3 Vulgo κἂν τῷ κυρίῳ Κωρύκῳ.

deportandus, ut qui sapientiam non didicerit.

52. Libere enim illis dicam: Si frugalitatem paucis contentam amas, philosophe, quidni Pythagoreos imitaris illos, de quibus Antiphanes in Monumentis ait:

Pythagoricorum occurrebant miseri nonnulli,
in valle rodentes alima, ac misera
talia colligentes in pera.

Et in fabula, quae proprie Pera inscribitur:

Primum quidem, veluti Pythagorissans, comedit
animatum nihil: sed obolo-emtae, si modo tanti,
mazae nigram partem sumens decorticat.

Alexis vero in Tarentinis:

Pythagorissantes enim, ut accipimus,
nec pisces comedunt, nec aliud quidquam
animatum, & vinum soli non bibunt.

Ἐπιχαρίδης μὲν τὰς κύνας κατεσθίει,
τῶν Πυθαγορείων εἷς, ἀποκτείνας μὲν οὖν·[1]
οὐκ ἔτι γὰρ ἔστ' ἔμψυχον.

προελθών τε φησί·

A. Πυθαγορισμοὶ, καὶ λόγοι
λεπτοὶ, διεσμιλευμέναι τε φροντίδες
τρέφουσ' ἐκείνους. τὰ δὲ καθ' ἡμέραν, τάδε·
c ἄρτος καθαρὸς εἷς ἑκατέρῳ, ποτήριον
ὕδατος· τοσαῦτα ταῦτα. B. Δεσμωτηρίου
λέγεις δίαιταν. A. Πάντες οὗτοι γ'[2] οἱ σοφοὶ
διάγουσι, καὶ τοιαῦτα κακοπαθοῦσι. B. Πού;[3]
A. Τρυφῶσιν ἕτεροι πρὸς ἑτέρους. ἆρ' οἶσθ', ὅτι
Μελανιππίδης ἑταῖρός ἐστι, καὶ Φάων,
καὶ Φυρόμαχος, καὶ Φανός· οἳ δ' ἡμέρας
δειπνοῦσι πέμπτης ἀλφίτων κοτύλην μίαν.

1 ἀποκτείνας γενοῦ vulgo. 2 Forſ. οὕτω γ'. 3 Iungunt vulgo κακοπαθοῦσί που.

Epicharides quidem canibus veſcitur,
Pythagoreorum unus; poſtquam occidit nempe:
non enim tum amplius anima eis ineſt.

Tum progreſſus, ait:

A. *Pythagoriſmi & ſermones*
ſubtiles, & ſcalpello-politae disputatiunculae
alunt illos: caeterum dantur in diem haec,
panis purus unicuique, & poculum
aquae; nil amplius. B. *Carceris*
narras victum. A. *Omnes ſane ſic ſapientes iſti*
vivunt, & has aerumnas tolerant. B. *Qui ſic?*
A. *At in delicüs quidem habent alter alterum. Noſtin' tu,*
Melanippidem facilem ſe praebere, & Phaonem,
& Phyromachum, & Phanum? qui quinto quoque
die coenant polentae cotulam unam.

καὶ ἐν Πυθαγοριζούσῃ,

Α. Ἡ δ' ἑστίασις, ἰσχάδες, καὶ στέμφυλά,
καὶ τυρὸς ἔσται· ταῦτα γὰρ θύειν νόμος d
τοῖς Πυθαγορείοις. Β. Νὴ Δί', ἱερεῖον μὲν οὖν,
ὁποῖον οὖν [1] κάλλιστον, ὦ βέλτιστ', ἔχῃ.

καὶ μετ' ὀλίγα·

Ἔδει θ' ὑπομεῖναι μικρὸν, ἀσιτίαν, ῥύπον,
ῥίγος, σιωπὴν, στυγνότητ', ἀλουσίαν.

LIII. Τούτων δ' ὑμεῖς, ὦ Φιλόσοφοι, οὐδὲν ἀσκεῖτε· ἀλλὰ καὶ, τὸ πάντων χαλεπώτερον, λαλεῖτε περὶ ὧν οὐκ οἴδατε· καὶ, ὡς κοσμίως ἐσθίοντες, ποιεῖτε τὴν ἔνθεσιν κατὰ τὸν ἥδιστον Ἀντιφάνη· οὗτος γὰρ ἐν Δραπεταγωγῷ λέγει· e

Pythagoreos male imitantur Cynici.

Κοσμίως ποιῶν τὴν ἔνθεσιν,
μικρὰν μὲν ἐκ τοῦ πρόσθε, μεστὴν δ' ἔνδοθεν

1 ὁποῖον ἂν malim.

Et in Muliere Pythagoriſſante:

A. *Epulae erunt, caricae, & fraces*
& caſeus: haec enim ſacrificare fas eſt
Pythagoreis. B. *Immo, per Iovem, victima,*
quam poterit, o optime, habere pulcerrimam.

Et paulo poſt:

Oportebat tolerare paululum inediam, ſordes,
frigus, ſilentium, triſtitiam, illuviem.

53. At horum vos, Philoſophi, nihil exercetis: verum etiam, quod omnium moleſtiſſimum eſt, loquimini de rebus quae ignotae ſunt vobis: ac, veluti modeſte comedentes, buccas facitis quales ille apud ſuaviſſimum Antiphanem, qui in Drapetagogo (*i. e.* Fugitivum-retrahente) ait:

Modeſte faciens buccam,
parvam quidem ab anteriore parte, plenam vero intus

τὴν χεῖρα, καθάπερ αἱ γυναῖκες. [1]
καταφάγετε πάμπολλα, καὶ ταχύτατα· ἔξον, κατὰ τὸν αὐτὸν τοῦτον ποιητὴν, ἐν Θομβυκίῳ [2] λέγοντα, δραχμῆς ὠνήσασθαι „τὰς προσφόρους ἡμῖν τροφὰς, σκόροδα, τυρὸν, κρόμμυα, κάππαριν· πάντα ταῦτ' ἐστὶν δραχμῆς." Ἀριστοφάνης [3] δ' ἐν Πυθαγορείοις·

Τί; πρὸς θεῶν, οἰόμεθα, τοὺς πάλαι ποτὲ,
τοὺς Πυθαγοριστὰς γινομένους, [4] οὕτως [5] ῥυπᾶν
ἑκόντας, ἢ φορεῖν τρίβωνας ἡδέως;
οὐκ ἔστι τούτων οὐδέν, ὡς ἐμοὶ δοκεῖ·
ἀλλ' ἐξ ἀνάγκης, οὐκ ἔχοντες οὐδὲ ἓν,
τῆς εὐτελείας πρόφασιν εὑρόντες καλὴν,
ὅρους ἔπηξαν, τοῖς πένησι χρησίμους.
ἐπεὶ παράθες αὐτοῖσιν [6] ἰχθῦς, ἢ κρέας,

1 Verba καθάπερ αἱ γυναῖκες ad sequentia referunt alii. 2 Θομβυκίωνι edd. Forſ. Βομβυλίῳ. 3 Ἀριστοφῶν videtur legendum. 4 γενομένους Brunck. cum Grot. 5 ὄντως edd. cum ms. *A*. 6 αὐτοῖς vulgo. αὐτοῖς ἂν Grot.

manum, ſicut mulieres.

Quamplurima devoratis, & perquam celerrime: cum liceat, ut ait idem poëta in Thombycione, [*ſive*, Bombylione,] drachmâ emere *cibos qui vobis conducunt, allia, caſeum, cepas, capparim: omnia iſta drachmâ conſtant.* Ariſtophanes vero in Pythagoreis:

Quid arbitramur, per Deos, an familiam
veterem Pythagorae ſponte ſqualliſſe,
quaeſiſſe, & laceris delectatos palliis?
Nihil horum ſic ſe habere mea ſententia eſt.
Sed, nihil habentes, quod tulit neceſſitas,
pulcro texerunt velo parſimoniae,
& utilem pauperibus fixerunt modum.
At tu vel piſces his vel carnem adponito:

κἂν μὴ κατεσθίωσι καὶ τοὺς δακτύλους,
ἐθέλω κρέμασθαι δεκάκις.

Οὐκ ἄκαιρον δ' ἐστὶ, μνημονεῦσαι καὶ τοῦ εἰς ὑμᾶς a
ποιηθέντος ἐπιγράμματος, ὅπερ παρέθετο ὁ Δελφὸς
Ἡγήσανδρος ἐν ἕκτῳ Ὑπομνημάτων·

Ὀφρυανασπασίδαι, ῥινεγκαταπηξιγένειοι,
σακκογενειοτρόφοι, καὶ λοπαδαρπαγίδαι,
ἱματανωπερίβαλλοι, ἀνηλιποκαιβλεπέλαιοι, [1]
νυκτιλαθραιοφάγοι, νυκτιπαταιπλάγιοι,
μειρακιεξαπάται, καὶ συλλαβοπευσιλαληταὶ, [2]
δοξοματαιόσοφοι, ζηταρετησιάδαι. b

LIV. Ἀρχέστρατός τε ὁ Γελῷος ἐν τῇ Γαστρολογίᾳ — (ἣν μόνην ὑμεῖς ῥαψῳδίαν οἱ σοφοὶ ἀσπάζεσθε, μόνον τοῦτο πυθαγορίζοντες, τὸ σιωπᾶν, δι' ἀσθένειαν

1 νηλιποκαιβλεπέλαιοι edd. An ἀνηλιποκαικλεπέλαιοι?
2 συλλαβοπευσιλαβηταὶ edd. quod ſcriptae lectioni praeferendum cenſuit Caſ.

niſi & haec edant, & digitos praerodant ſuos,
pendere cupio decies.

Nec vero fuerit alienum, Epigramma etiam commemorare in vos editum, quod adpoſuit Hegeſander Delphus fexto Commentariorum:

Supercilia - attollentes, naſum - in - barba - defigentes,
barbam - in - ſacco - alentes, & patinarum - raptores,
pallium - ſuperne - geſtantes, discalceati - incedentes - & oleum - ſpectantes,
noctu - clam - comedentes, noctu - oblique - discurrentes,
Adoleſcentulorum - deceptores, & ſyllabarum - loquaces - rimatores,
vanam - ſapientiam - gloriantes, virtutem - quaerere - profitentes.

54. Archeſtratus vero Gelous in Gaſtrologia: — quod unum carmen vos ſapientes miramini; hoc uno Pythagoram ſequentes, quod ſilentium agitis, nempe

λόγων τοῦτο ποιοῦντες· ἔτι τε τὴν Σφοδρίου τοῦ Κυνικοῦ Τέχνην Ἐρωτικὴν, καὶ τὰς Πρωταγορίδου Ἀκροάσεις Ἐρωτικὰς, Περσαίου τε τοῦ καλοῦ Φιλοσόφου Συμποτικοὺς Διαλόγους, συντεθέντας ἐκ τῶν Στίλπωνος καὶ Ζήνωνος ἀπομνημονευμάτων, ἐν οἷς ζητεῖ, c Ὅπως ἂν μὴ κατακοιμηθῶσιν οἱ συμπόται; καὶ, Πῶς ταῖς ἐπιχύσεσι χρηστέον; Πηνίκα τε εἰσακτέον τοὺς ὡραίους καὶ τὰς ὡραίας εἰς τὸ συμπόσιον; καὶ, πότε αὐτοὺς προσδεκτέον ὡραϊζομένους, καὶ πότε παραπεμπτέον ὡς ὑπερορῶντας; καὶ περὶ προσοψημάτων, καὶ περὶ ἄρτων, καὶ περὶ τῶν ἄλλων, ὅσα τε περιεργότερον περὶ Φιληματων εἴρηκεν ὁ ΣωΦρονίσκου. Φιλόσοφος, [1] ὃς περὶ ταῦτα τὴν διάνοιαν ἀεὶ στρέφων, πιστευθεὶς, ὥς φησιν Ἕρμιππος, ὑπ' Ἀντιγόνου τὸν d Ἀκροκόρινθον, κωθωνιζόμενος ἐξέπεσεν καὶ αὐτῆς τῆς Κορίνθου, καταστρατηγηθεὶς ὑπὸ τοῦ Σικυωνίου Ἀρά-

Persaei Stoici Dialogi compotorii.

1 Iunguntur ὁ Σωφρονίσκου φιλόσοφος in ed. Baſ. & Caſaub.

quoniam dicendo nihil valetis: tum vero & Sphodriae Cynici miramini Artem Amandi, & Protagoridae Lectiones Eroticas, & Perſaei praeclari philoſophi Compotorios Dialogos, ex Stilponis & Zenonis commentariis compoſitos; in quibus quaerit, *Quo pacto, convivae ne obdormiſcant, caveatur? Qua ratione utendum ſit propinationibus? Quando introducendi ſint formoſi & formoſae in convivium? &, quando recipiendi ſint, & belle cum eis agendum; quando contra, veluti per contemtum, amandandi? porro de Obſoniorum variis generibus, de Panibus,* denique cum de aliis rebus, tum de his quae *ſuper Oſculis* curioſius a Sophroniſci filio diſputata ſunt. Philoſophus, qui hisce rebus unice animo occupatus, cum ei ab Antigono, ut narrat Hermippus, credita eſſet arx Corinthi, compotationibus dans operam, & arce & urbe excidit, Arati

του· ὁ πρότερον ἐν τοῖς Διαλόγοις πρὸς Ζήνωνα διαμιλλώμενος, ὡς ὁ σοφὸς πάντως [1] ἂν εἴη καὶ στρατηγὸς ἀγαθὸς, μόνον [2] τοῦτο διὰ τῶν ἔργων διαβεβαιωσάμενος ὁ καλὸς τοῦ Ζήνωνος οἰκιτιεύς. χαριέντως γὰρ ἔφη Βίων ὁ Βορυσθενίτης, θεασάμενος αὐτοῦ χαλκῆν εἰκόνα, ἐφ' ἧς ἐπεγέγραπτο, ΠΕΡΣΑΙΟΝ [3] ΖΗΝΩΝΩΣ ΚΙΤΙΕΑ· πεπλανῆσθαι εἶπε τὸν ἐπιγράψαντα· δεῖν γὰρ οὕτως ἔχειν, ΠΕΡΣΑΙΟΝ ΖΗΝΩΝΩΣ ΟΙΚΙΤΙΕΑ. ἦν γὰρ οὗτος οἰκέτης γεγονὼς τοῦ Ζήνωνος, ὡς Νικίας ὁ Νικαεὺς ἱστορεῖ ἐν τῇ Περὶ τῶν Φιλοσόφων Ἱστορίᾳ, καὶ Σωτίων ὁ Ἀλεξανδρεὺς ἐν ταῖς Διαδοχαῖς. δύο δὲ συγγράμμασι τοῦ Περσαίου ἀπηντήκαμεν τῆς σοφῆς ταύτης πραγματείας, τοιοῦτον ἔχουσι τὸ ἐπιγράμμα, Συμποτικῶν διαλόγων.

Servus olim Zenonis Persaeus.

LV. Κτησίβιος δ' ὁ Χαλκιδεὺς, ὁ Μενεδήμου γνώριμος, ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος ἐν τοῖς Βίοις,

1 πάντων edd. cum ms. *A*. 2 μόνος ed. Caſ. quod cum ſuperioribus iunctum ille voluit. 3 ΠΕΡΣΑΙΟΥ malebam, & dein ΚΙΤΤΙΕΩΣ.

Sicyonii artibus deceptus: is qui antea in Dialogis Zenonem aemulatus contenderat, *Sapientem omnino etiam bonum imperatorem eſſe;* id quod rebus ſuis geſtis unice comprobavit bellus ille Zenonis ſervulus. De quo feſtive Bion Boryſthenites, cum aeneam eius ſtatuam vidiſſet, in qua erat inſcriptum PERSAEUS ZENONIS CITIEUS, erraſſe dixit eum qui ita ſcripſit, cum ſic oportuiſſet, PERSAEUS ZENONIS OIKITIEYΣ. Fuerat enim ille famulus (οἰκέτης) Zenonis, ut tradit Nicias Nicaeenſis in Philoſophorum Hiſtoria, & Sotion Alexandrinus in Succeſſionibus. Duos autem libros videre mihi contigit praeclari illius operis Perſaei, quibus hic erat titulus, *Compotoriorum Dialogorum* libri.

55. Creſibius vero Chalcidenſis, Menedemi familiaris, ut ait Antigonus Caryſtius in Vitis, interrogatus

f ἐρωτηθεὶς ὑπό τινος, τί περιγέγονεν ἐκ Φιλοσοφίας αὐτῷ; ἔφη· Ἀσυμβόλως δειπνεῖν. διὸ καὶ ὁ Τίμων που πρὸς αὐτὸν ἔφη· Cteſibius philoſophus paraſitus.

Δειπνομανὲς, νεκροῦ [1] ὄμματ' ἔχων, κραδίην δ' ἀκύλιστον.

Ἦν δ' εὔστοχος ὁ Κτησίβιος, καὶ χαρίεις περὶ τὸ γελοῖον· διὸ καὶ πάντες αὐτὸν ἐπὶ τὰ συμπόσια παρε-
a κάλουν· οὐχ ὥσπερ σὺ, Κυνικὲ, ὁ μηδέποτε ταῖς Χάρισιν, ἀλλ' οὐδὲ ταῖς Μούσαις θύσας. Φυγοῦσα γ' οὖν σε καὶ τοὺς σοὶ παραπλησίους ἡ ἀρετὴ, ἡδονῇ παρακάθηται, ὡς φησι Μνασάλκης ὁ Σικυώνιος ἐν Ἐπιγράμμασιν· Virtus & Voluptas.

Ἄδ' ἐγὼ ἀ τλάμων ἀρετὰ παρὰ τῇδε κάθημαι
Ἡδονῇ, αἰσχίστως κειραμένα πλοκάμους,
θυμὸν ἄχει μεγάλῳ βεβολημένα· εἴπερ ἄπασιν
b ἀ κακόφρων Τέρψις κρεῖσσον ἐμοῦ κέκριται.

1 An νεβροῦ, *hinnuli oculos habens?*

ab aliquo, *quemnam ex Philoſophia fructum retuliſſet? Hunc*, inquit, *ut abſque ſymbola coenem.* Quare etiam alicubi Timon in eum dixit:

Coenarum-inſane-captator, cadaveris oculos habens, cor vero immotum.

Erat autem argutus Cteſibius & feſtivus ad movendum riſum: quare etiam omnes eum ad convivia vocabant: non uti tu, Cynice, qui numquam Gratiis, immo vero ne Muſis quidem umquam litaſti. Quare & te tuique ſimiles fugiens Virtus adſidet Voluptati, ut ait Mnaſalcas Sicyonius in Epigrammatibus:

Ecce ego miſera Virtus huic adſideo Voluptati, crinibus turpiſſime detonſis, dolore magno intus perculſa; quoniam a cunctis male-ſana Delectatio mihi praeponitur.

In vitio eſt nimia abſtinentia.

Βάτων δ' ὁ κωμικὸς ἐν Ἀνδροφόνῳ φησί·

Τῶν φιλοσόφων τοὺς σώφρονας ἐνταυθοῖ καλῶ,
τοὺς ἀγαθὸν αὐτοῖς οὐ διδόντας οὐδὲ ἓν,
τοὺς τὸν φρόνιμον ζητοῦντας ἐν τοῖς περιπάτοις
καὶ ταῖς διατριβαῖς, ὥσπερ ἀποδεδρακότα.
Ἄνθρωπ' ἀλάστωρ, διὰ τί, συμβολὰς ἔχων,
νήφεις; τί τηλικοῦτον ἀδικεῖς τοὺς θεούς;
τί τἀργύριον, ἄνθρωπε, τιμιώτερον
σαυτοῦ τέθεικας, ἢ πέφυκε τῇ φύσει;
Ἀλυσιτελὴς εἶ τῇ πόλει, πίνων ὕδωρ·
τὸν γὰρ γεωργὸν καὶ τὸν ἔμπορον κακοῖς.
ἐγὼ δὲ τὰς προσόδους, μεθύων, καλὰς ποῶ.
Ἔπειθ' ἕωθεν περιάγεις τὴν λήκυθον,
καταμανθάνων τοὔλαιον, ὥστε περιφέρειν
ὡρολόγιον δόξει τις, οὐχὶ λήκυθον.)

LVI. Ἀρχέστρατος δὲ, ὦ Κύνουλκε, ὃν ἀντὶ τοῦ Ὁμή-

Bato vero comicus, in Homicida, ait:

Nunc illos ego compello frugi philoſophos,
qui nil ſibi ipſis umquam comedunt boni;
qui ubique quaerunt rectum ac ſapientem virum,
tamquam fugitivum, in ambulacris & ſcholis.
Pernicies hominum! cum tibi ſit quod conferas,
cur genium fraudas, cur ingratus es in Deos?
Dic, maius pretium cur ponis pecuniae,
natura quam fert, cur eam praefers tibi?
Aquam bibendo, publicum damno adficis;
laedens agricolae & mercatoris commoda:
at ego temulentus augeo vectigalia.
Deinde ampullam mane a ſummo portitans,
oleum usque & usque exploras, ſic horologium
ut te aliquis ferre, non ampullam, exiſtimet.

56. Archeſtratus vero, o Cynulce, quem tu loco

ρου προσκυνεῖς διὰ τὴν γαστέρα, („ἧς οὐ λαμυρώτε- Ventre nihil impudentius.
d ρον οὐδέν.“ ὁ Τίμων σου φησί·)[1] περὶ τοῦ κυνὸς τοῦ
θαλαττίου ἱστορῶν, γράφει καὶ ταῦτα·

Ἀλλ' οὐ πολλοὶ ἴασι βροτῶν τόδε θεῖον ἔδεσμα,
οὐδ' ἔσθειν ἐθέλουσ' ὅσσοι κεφαττελεβώδη[2]
ψυχὴν κέκτηνται θνητῶν, εἰσίν τ' ἀπόπληκτοι,
ὡς ἀνθρωποφάγου τοῦ θηρίου ὄντος. ἅπας δὲ
ἰχθὺς σάρκα φιλεῖ βροτέην, ἄν περ περικύρσῃ·
ὥστε πρέπει καθαρῶς, ὁπόσοι τάδε μωρολογοῦσι,
τοῖς λαχάνοις προσάγειν, καὶ πρὸς Διόδωρον ἰόν- Diodorus Pythagoricus,
τας
e τὸν σοφὸν, ἐγκρατέως μετ' ἐκείνου πυθαγορίζειν.

Ἦν δ' ὁ Διόδωρος οὗτος τὸ μὲν γένος Ἀσπένδιος Cynicarum sordium auctor.
Πυθαγορικὸς δὲ δόξας εἶναι, ὑμῶν τῶν Κυνικῶν τρόπον ἔζη, κομῶν, καὶ ῥυπῶν, καὶ ἀνυποδητῶν. ὅθεν καὶ Πυθαγορικὸν τὸ τῆς κόμης ἔδοξαν εἶναί τινες,

1 φησὶ deest vulgo. 2 κούφην τελεβώδη vulgo h. l. Alibi vero κούφαν γε λεβώδη. κουφὴν κ' ἀνεμώδη corr. Coray.

Homeri adoras ventris cauſſâ, (*quo nihil eſſe impudentius*, tuus Timon ait) de cane marino verba faciens, haec ſcribit:

At pauci norunt mortalium divinum hoc edulium;
neque eo veſci volunt qui ſtupidam inſectorum
animam habent e mortalibus; paventque,
quod animans ſit humana carne veſcens. At omnis
piſcis humanam amat carnem, ſi eam fuerit nactus:
ut oporteat ſimpliciter hos, qui ita ſtolide ratiocinantur,
ad olera ſe conferre, & ad Diodorum accedentes
ſapientem, abſtinentes cum eo pythagoriſſare.

Fuit autem Diodorus hic genere Aſpendius: qui cum Pythagoricus vellet videri, veſtro Cynicorum more vixit, capillatus, & ſordidus, & diſcalceatus: unde etiam ipſum hoc, comam alere, Pythagoricum eſſe nonnulli ar-

ἀπὸ τοῦ Διοδώρου προαχθὲν, ὡς φησιν Ἑρμιππος. Τίμαιος δ' ὁ Ταυρομενίτης ἐν τῇ ἐννάτῃ τῶν Ἱστοριῶν, περὶ αὐτοῦ γράφει οὕτως· „Διοδώρου, τοῦ τὸ γένος Ἀσπενδίου, τὴν ἐξηλλαγμένην εἰσαγαγόντος κατασκευὴν, καὶ τοῖς Πυθαγορείοις πεπλησιακέναι προσποιηθέντος. πρὸς ὃν ἐπιστέλλων ὁ Στρατόνικος, f ἐκέλευσε τὸν ἀπαίροντα τὸ ῥηθὲν ἀπαγγεῖλαι τῷ περὶ θηροπέπλου μανίας ὕβρεώς τε περιστάσιμον στοὰν ἔχοντι Πυθαγόρου πελάτᾳ." Σωσικράτης δ' ἐν τρίτῳ Φιλοσόφων Διαδοχῆς, βαθεῖ πώγωνι χρήσασθαι τὸν Διόδωρον ἱστορεῖ, καὶ τρίβωνα ἀναλαβεῖν, κόμην τε φορῆσαι, κατά τινα τύφον τὴν ἐπιτήδευσιν ταύτην προσαγαγόντα· [1] τῶν πρὸ αὐτοῦ Πυθαγορικῶν λαμπρᾷ τε ἐσθῆτι ἀμφιεννυμένων, καὶ λουτροῖς καὶ ἀλείμ- a μασι κουρᾷ τε τῇ συνήθει χρωμένων.

1 An προαγαγόντα?

bitrati ſunt, cum quidem a Diodoro illo ſit introductum, ut ait Hermippus. Timaeus vero Tauromenites nono libro Hiſtoriarum, de eodem in hunc modum ſcribit: „Diodorus, genere Aſpendius, inſolentem illum corporis cultum invexerat, & Pythagoricam diſciplinam ſe ſequi voluerat videri. Ad quem quum nuncium mitteret Stratonicus, iuſſit proficiſcentem *mandata perferre ſectatori Pythagorae, porticum habenti adfluentem corona hominum, furorem eius ferino habitu incedentis & reliquam inſolentiam mirantium.*" Soſicrates vero, tertio libro de Philoſophorum Succeſſione, narrat, promiſſa uſum eſſe barba Diodorum, & tritum pallium ſumſiſſe, comamque aluiſſe, inſtitutumque illud ex vana quadam iactantia adhibuiſſe; cum ante ipſum Pythagorei ſplendida amicti veſte incederent, & balneis & unguentis & tonſura pro aliorum hominum more uſi eſſent.

LVII.

Cynici, philosophiam mentientes.

Εἰ δ' ὑμεῖς ὄντως, ὦ Φιλόσοφοι, τὴν αὐτάρκειαν ἀσπάζεσθε, καὶ τὰ τῶν δείπνων εὐτελῆ, τί ἐνταῦθα παραγίνεσθε μηδὲ κληθέντες; ἢ ὡς εἰς ἀσώτιον, μαγειρικὰ σκεύη καταλέγειν μαθησόμενοι; ἢ ὡς τὸν Ἀθηνογένους Κεφαλίωνα ἀποστοματιοῦντες; κατὰ γὰρ τὸν Σοφοκλέους Κηδαλίωνα, ἐστὲ

Μαστιγίαι, κέντρωνες, ἀλλοτριοφάγοι.

Ὅτι δ' ὑμεῖς οἱ Φιλόσοφοι περὶ τὰ δεῖπνα ἀεὶ τὸν νοῦν ἔχετε, δέον ὑμᾶς [1] ἐπιφαγεῖν τι αἰτήσαι, ἢ ἐπε-
b σθίειν τι τῶν κυνικῶν βρωμάτων· οὔτε γὰρ χαριτογλωσσεῖν ἡμᾶς [2] θέμις· δῆλον ἐξ ὧν καὶ Ἄλεξις ἐν τῷ ἐπιγραφομένῳ Λίνῳ ἱστορεῖ. Ὑποτίθεται δὲ τὸν Ἡρακλέα παρὰ τῷ Λίνῳ παιδευόμενον, καὶ κελευσθέντα ἀπὸ βιβλίων πολλῶν παρακειμένων λαβόντα ἐντυχεῖν. κεῖνος δ' ὀψαρτυτικὸν λαβὼν βιβλίον ἐν χεροῖν, περισπουδάστως ἐκράτει. λέγει δὲ οὕτως ὁ Λίνος·

Hercules apud Linum.

1 ὑμᾶς ed. Caſ. 1. 2 ὑμᾶς edd.

57. Quod ſi vere vos, o Philoſophi, continentiam ſequimini, & coenas frugales amatis; cur huc veniſtis, ne vocati quidem? Utrum velut in *ganeum*, in quo enumerare *culinaria vaſa* diſceretis? an Athenogenis Cephalionem recitaturi? Nam, quod ait Sophocleus Cedalion,

Verberones eſtis, veteratores, alienos cibos vorantes.

Habere autem vos philoſophos animum ſemper in coenis occupatum; quos ſemper oportet aliquid petere *comedendum* aut *vorandum* (ἐπιφαγεῖν aut ἐπεσθίειν) cynicorum ciborum: nam χαριτογλωσσεῖν, *ad gratiam loqui*, nefas eſt nobis: manifeſtum fit ex his quae Alexis in fabula, cui Linus titulus, tradit. Fingit enim Herculem, Lini inſtitutione utentem, iuberi ab eo ex pluribus qui adeſſent libris ſumere aliquem, in quo legeret. Ille vero librum de Arte coquinaria in manus ſumtum, ſtudioſe tenebat. Sic igitur loquitur Linus:

Βιβλίον

ἐντεύθεν ὅ τι βούλει προσελθὼν γὰρ λάβε,
ἔπειτ' ἀναγνώσει, πάνυ γε διασκοπῶν
ἀπὸ τῶν ἐπιγραμμάτων, ἀτρέμα τε, καὶ σχολῇ.
Ὀρφεὺς ἔνεστιν, Ἡσίοδος, τραγῳδίαι,
Χοίριλος, Ὅμηρος, Ἐπίχαρμος, συγγράμματα
παντοδαπά. δηλώσεις γὰρ οὕτω τὴν φύσιν,
ἐπὶ τί μάλισθ' ὥρμησε. ΗΡ. Τουτὶ λαμβάνω.
ΛΙΝ. Δεῖξον τί ἐστὶ πρῶτον. ΗΡ. Ὀψαρτυσία,
ὡς φησι τοὐπίγραμμα. ΛΙΝ. Φιλόσοφός τις εἶ·
εὔδηλον· ὡς, παρεὶς τοσαῦτα γράμματα,
Σιμοῦ τέχνην ἔλαβες. ΗΡ. Ὁ Σιμὸς δ' ἔστι τίς;
ΛΙΝ. Μάλ' εὐφυὴς ἄνθρωπος. ἐπὶ τραγῳδίαν
ὥρμηκε νῦν, καὶ τῶν μὲν ὑποκριτῶν πολὺ
κράτιστός ἐστιν ὀψοποιὸς, ὡς δοκεῖ
τοῖς χρωμένοις· τῶν δ' ὀψοποιῶν ὑποκριτής.

Librum
hinc, quemcumque volueris, accedens cape;
in quo deinde legas, poſtquam utique conſideraveris
ex inſcriptis titulis ſenſim & otioſe.
Orpheus adeſt, Heſiodus, tragoediae,
Choerilus, Homerus, Epicharmus, ſcripta
varii generis. Sic enim ingenium declarabis tuum,
quorſum illud maxime natura feratur. HERC. *Hunc capio.*
LIN. *Oſtende primum qui ſit.* HERC. *Ars coquinaria,*
ut dicit inſcriptio. LIN. *Philoſophus aliquis tu es;*
ſatis adparet: qui, omiſſis tot aliis ſcriptis,
Simi artem ſumſiſti. HERC. *Simus vero quis eſt?*
LIN. *Solers admodum homo. Ad tragoediam*
ſe nunc convertit: & hiſtrionum longe
optimus eſt coquus, ut his quidem videtur
qui eo utuntur; inter coquos autem optimus hiſtrio.

ΗΡ. Βούλιμός ἐστ' ἄνθρωπος· ὅ τι βούλει, λέγε.
πεινῶ γὰρ, εὖ τοῦτ' ἴσθι.

Ταῦτα τοῦ Μάγνου ἐξῆς καταδραμόντος, ἀποβλέψας ὁ Κύνουλκος εἰς τοὺς παρόντας τῶν φιλοσόφων, ἔφη· LVIII.

e Εἶδες τὴν Θασίαν ἄλμην, οἵ' ἄττα βαύζει·
ὡς εὖ καὶ ταχέως ἀπετίσατο, καὶ παραχρῆμα.
οὐ μὴν τοι παρὰ κωφὸν ὁ τυφλὸς ἔοικε λαλῆσαι; Apud surdum caecus.

ὡς ὁ Κρατῖνος ἐν τοῖς Ἀρχιλόχοις ἔφη. ἐπιλανθανόμενος γὰρ ἐν οἷς ποιεῖται δικαστηρίοις τῶν καλῶν ἰάμβων αὐτοῦ τὰς ἐπιδείξεις, ὑπὸ τῆς ἐμφύτου γαστριμαργίας καὶ ἡδυλογίας κολάβρους [1] ἀναγινώσκει, καὶ, „μέλη πάραυλα, καὶ ἀκρότητα κύμβαλα." [2]
f καὶ μετὰ τὰς καλὰς ταύτας ἀμουσολογίας περιέρχεται τὰς οἰκίας, ἐξετάζων ὅπου δεῖπνα λαμπρὰ

1 κολάρους vulgo. κολούρους, *mutilos*, legit Dalech. 2 Cratini versum Valckenarius statuit:
μέλη πάραυλα, ἀκρότητα κύμβαλα.

HERC. *Mera fames ille est: tu dic quidquid volueris: ego enim esurio, hoc scias volo.*

58. Quae quum ordine Magnus recitasset, Cynulcus praesentes respiciens philosophos, ait:

Hoccine vidisti Thasium salsamentum, (hunc verberonem,) *qualia adlatrat?*
quam se bene & celeriter ultus est, quam extemplo!
Nec vero apud surdum caecus hic videtur locutus.

ut ait Cratinus in Archilochis. Oblitus enim quibus coram iudicibus pulcros suos iactet iambos, prae innata ingluvie & suaviloquentia *colabros* recitat, & *dissona carmina ad male modulata cymbala.* Et post bellam istam invitis Musis navatam operam circumit domos, ubi lautae parentur coenae investigans, impudentior

Chaerephon parafitus.

παρασκευάζεται, ὑπὲρ τὸν Ἀθηναῖον Χαιρεφῶντα ἐκεῖνον, περὶ οὗ φησιν Ἄλεξις ἐν Φυγάδι·

Ἀεί γ' ὁ Χαιρεφῶν τιν' εὑρίσκει τέχνην·
καὶ νῦν πορίζεταί γε τὰ δεῖπν' ἀσύμβολα.
ὅπου γὰρ ἐστιν ὁ κέραμος μισθώσιμος
ὁ τοῖς μαγείροις, εὐθέως ἐξ ἑωθινοῦ
ἕστηκεν ἐλθών· κἂν ἴδῃ μισθούμενον
εἰς ἑστίασιν, τοῦ μαγείρου πυθόμενος a
τὸν ἑστιῶντα, [1] τῆς θύρας χασμωμένης
ἂν ἐπιλάβηται, πρῶτος εἰσελήλυθεν.

Οὐκ ὀκνεῖ [2] δ' ἀνὴρ οὗτος, καθάπερ καὶ ὁ καλὸς Μάγνος, καὶ ὑπερορίους ἀποδημίας ποιεῖσθαι τῆς γαστρὸς χάριν, ὡς αὐτὸς Ἄλεξις εἴρηκεν ἐν Συναποθνήσκουσιν·

Ἐπὶ δεῖπνον εἰς Κόρινθον ἐλθὼν Χαιρεφῶν
ἄκλητος, ἤδη γὰρ πέτεται διαπόντιος·

1 Temere τῶν ἐσθιόντων ed. Caſ. 2 ὤκνει malim cum Dalech.

etiam quam Athenienſis ille Chaerephon, de quo Alexis in Exſule ait:

Semper Chaerephon aliquam invenit artem:
& nunc coenas ſibi parat gratuitas.
Nam ubi proſtant vaſa culinaria, elocari ſolita
coquis; eo ſtatim a diluculo
pergens, adſtat: & poſtquam conducentem vidit
ad convivium; percontatus ex coquo
convivatorem, fores mox hiantes
ſi offenderit, primus intus eſt.

Nec vero dubitabat vir ille, quemadmodum etiam lepidus hic Magnus, extra patriae fines quoque ventris cauſſâ ſuſcipere peregrinationes, ut idem Alexis dicit in Commorientibus:

Ad coenam Corinthum venit Chaerephon
invocatus, iam enim maria pervolat.

οὕτω τι τἀλλότρι' ἐσθίειν ἐστὶν γλυκύ.

b Καὶ Θεόπομπος δ' ἐν Ὀδυσσεῖ ἔφη·

Εὐριπίδου τ' ἄριστον· [1] „Οὐ κακῶς ἔχον,
„τἀλλότρια δειπνεῖν τὸν καλῶς εὐδαίμονα."

LIX. Suaviloquentia.

Γελασάντων οὖν πάντων ἐπὶ τούτοις, ὁ Οὐλπιανὸς ἔφη· Πόθεν δὲ καὶ ἡδυλογία τοῖς ἡδονικοῖς τούτοις ἁμαρτολόγοις; Πρὸς ὃν ὁ Κύνουλκος· Ἀλλ', ὦ χοιρίον [2] εὐάρτυτον, Φρύνιχος ὁ κωμῳδιοποιὸς ἐν τῷ Ἐφιάλτῃ μνημονεύει τοῦ ἡδυλόγου [3] διὰ τούτων· Ἔστιν δ' αὐτούς γε φυλάττεσθαι τῶν νῦν χαλεπώτατον ἔργον.

c ἔχουσι γάρ τι κέντρον ἐν τοῖς δακτύλοις,
μισάνθρωπον γ' [4] ἄνθος ἥβης· εἶθ' ἡδυλογοῦσιν ἅπασιν,
αἰεὶ κατὰ τὴν ἀγορὰν περιόντες, ἐπὶ βάθροις [5] ὅταν ὦσιν·

1 τ' ἀρέσκον Grot. 2 χοιρίδιον *Ep.* 3 Forſ. ἡδυλογεῖν. 4 Abeſt vulgo γ' particula. Grotius ſic ſcripſit: μισανθρώπου ἥβης ἄνθος· κ' εἶθ' ἡδυλ. 5 Vulgo ἐπὶ τοῖς βάθροις, & initio verſus ἀεὶ pro αἰεὶ.

Adeo iucundum eſt, alieno cibo veſci.

Et Theopompus in Ulyſſe ait:

Optime Euripides dixit: » Non male habere,
» alieno ſumtu ut coenet, qui ſit bene fortunatus.«

59. Ad haec cum adriſiſſent omnes, Ulpianus ait: Unde vero ἡ ἡδυλογία (*ſuaviloquentia*) voluptariis hisce ſoloece loquentibus? Cui Cynulcus: At, *o porcelle bene condite*, Phrynichus comicus, in Ephialte, *ſuaviloquentiae* mentionem fecit, his verbis:

Eſt autem, ab his cavere, res nunc omnium difficillima:
Habent enim ſpiculum aliquod intra digitos,
hominum - oſor flos iuventutis. [ſive, *hominum - inimicum, florem iuventutis.*] *Igitur ſuaviter loquuntur omnibus, ſemper in foro circumeuntes, cum in ſubſelliis ſedent* (cives:)

ἐκεῖ δὲ [1] τούτοις, οἷς ἡδυλογοῦσι, μεγάλας
ἀμυχὰς καταμύξαντες, [2] καὶ συγκρύψαντες, ἅ-
παντα [3] γελῶσι.

Τὸ δὲ χαριτογλωσσεῖν Αἰσχύλος εἴρηκεν ἐν Προμηθεῖ δεσμώτῃ·

Γνώσει τάδ' ὡς ἔτυμα· [4] οὐδὲ μάτην
χαριτογλωσσεῖν ἔνι μοι. d

Πάλιν τε εἰπόντος τοῦ Οὐλπιανοῦ, Τίνα δ' ἐστιν, ἄνδρες Φίλοι, τὰ μαγειρικὰ σκεύη; τούτων γὰρ ἐμνημόνευσαν, ἐν τοῖς Ἀρκαδικοῖς δείπνοις μνήμης ἠξιωμένων. καὶ τὸ ἀσώτιον ποῦ κεῖται; Ἀσώτους μὲν γὰρ οἶδα διαβοήτους· ἕνα μέν, οὗ μνημονεύει Ἄλεξις ἐν Κνιδίᾳ·

Ganeones, pilulam facientes patrimonium.

Διόδωρος οὐπίτριπτος ἐν ἔτεσιν δύο

1 δὲ cum Grot. inſerui, & ἀμυχὰς ad ſequentem verſum anapaeſticum reieci; ſed peccat etiamnunc hic ſenarius ob dactylum in quarta ſede. 2 κατανύξαντες edd. 3 ἅπαντες ms. *A*. 4 Poſſis ἔτυμ' ſcribere, ut editur apud Aeſchylum. Apud Athenaeum edebatur ὡς ἔτυμά γ'· οὐδὲ γὰρ μάτην.

ibi vero, quibuscum ſuaviter locuti ſunt, eosdem mox magnis
lacerant vulneribus; tum ſe occultantes, omnia rident.

Verbo χαριτογλωσσεῖν uſus Aeſchylus eſt, in Prometheo vincto:

Cognoſces haec vera eſſe; non, in vanum
ad gratiam loqui, meum eſt.

Rurſus hic interfatus Ulpianus: At quaenam, inquit, ſunt, o dilecti viri, *coquinaria vaſa?* Horum enim hi meminerunt, quorum etiam in Arcadicis conviviis facta mentio erat. Porro, vocabulum *ganeum* (ἀσώτιον) ubi legitur? Nam *Ganeones* quidem (ἀσώτους) novi ego famoſos: in his illum, cuius Alexis meminit in Cnidia:

Diodorus, perditus ille homo, duos intra annos

σφαῖραν ἀπέδειξε τὴν πατρῴαν οὐσίαν·
οὕτω ἰταμῶς ἅπαντα κατεμασήσατο.

e Ἐν δὲ Φαίδρῳ φησίν·

Σχολῇ γε, νὴ τὸν ἥλιον, σχολῇ λέγεις.
Ἐπιχαρίδης ὁ μικρὸς ἐν πέντ' ἡμέραις
σφαῖραν ἐποίησεν τὴν πατρῴαν οὐσίαν·
οὕτω συνεστρόγγυλλεν ἰταμῶς καὶ ταχύ.

LX. Καὶ Κτήσιππος δ' ὁ Χαβρίου υἱὸς εἰς τοσοῦτον ἦλθεν ἀσωτίας, ὡς καὶ τοῦ μνήματος τοῦ πατρὸς, εἰς ὃ Ἀθηναῖοι χιλίας ἀνήλωσαν δραχμὰς, τοὺς λίθους πωλῆσαι εἰς τὰς ἡδυπαθείας. Δίφιλος γ' οὖν ἐν ταῖς Ἐναγίζουσι φησὶν,

Cteſippus, Chabriae filius.

f Εἰ μὴ συνήθης Φαιδίμῳ γ' ἐτύγχανεν
ὁ Χαβρίου Κτήσιππος, εἰσηγησάμην
νόμον τιν' οὐκ ἄχρηστον, ὡς ἐμοὶ δοκεῖ,
ὥστ' ἐπιτελεσθῆναι ποτ' αὐτῷ τοῦ πατρὸς

pilulam effecit ſuum patrimonium:
ideo celeriter omnia abſorpſit.

In Phaedro vero ait:

Lente vero aedepol, lente factum narras.
Epicharides quidem, parvus ille, quinque diebus
pilulam fecit ſuum patrimonium:
ita conglobavit praecipitanter & celeriter.

60. Cteſippus vero, Chabriae filius, eo progreſſus eſt perditae luxuriae, ut de ſepulcrali etiam monumento patris, in quod mille drachmas impenderant Athenienſes, lapides venderet, ut haberet quo libidini faceret ſatis. Igitur Diphilus in Parentantibus ait:

Niſi Phaedimo familiaris eſſet
Cteſippus, Chabriae filius, ſuaſurus eram
legem non inutilem, ut mihi videtur,
quo abſolveretur tandem patris illius

τὸ μνῆμα· κατ' ἐνιαυτὸν ἕνα * λίθον [1]
ἁμαξιαῖον. καὶ σφόδ' εὐτελὲς λέγω.

Τιμοκλῆς δ' ἐν Δημοσατύροις φησίν·

Οὐδ' ὁ Χαβρίου Κτήσιππος ἔτι τρὶς κείρεται,
ἐν ταῖς γυναιξὶν λαμπρὸς, οὐκ ἐν ἀνδράσιν. a

Καὶ Μένανδρος δ' ἐν Ὀργῇ περὶ αὐτοῦ τάδε λέγει·

Καί τοι νέος πότ' ἐγενόμην κἀγὼ, γύναι·
ἀλλ' οὐκ ἐλούμην πεντάκις τῆς ἡμέρας
τότ', ἀλλὰ νῦν. οὐδὲ χλανίδ' εἶχον, ἀλλὰ νῦν.
οὐδὲ μύρον εἶχον, ἀλλὰ νῦν· καὶ βάψομαι,
καὶ παρατιλοῦμαι, νὴ Δία, καὶ γενήσομαι
Κτήσιππος, οὐκ ἄνθρωπος. ἐν ὀλίγῳ χρόνῳ
καθὼς ἐκεῖνος, κατέδομαι καὶ τοὺς λίθους b
ἁπαξάπαντας, οὐ γὰρ οὖν τὴν γῆν μόνην.

Ctesippus, lapides abliguriens.

[1] Ni alia quoque hîc turbata sunt, verbum certe intercidit; nec vero satis commodum videtur πωλεῖν, quod inferendum censuit Casaubonus.

monumentum: ut quotannis unum lapidem [conferret civium quisque]
plaustrum implentem. Et parum admodum dico.

Timocles vero in Demosatyris ait:

Desiit Ctesippus, Chabriae filius, ter (quotidie) *tonderi,*
inter mulieres splendidus, non inter viros.

De eodem Menander in Ira haec dicit:

Atqui & ego olim adolescens fui, mulier:
nec vero lavabar quinquies per diem
tunc; at nunc: nec mollem laenam gestabam; at nunc:
nec unguento utebar; at nunc: atque tingar etiam,
& depilabor, per Iovem; & fiam
Ctesippus, non homo. Exiguo tempore,
quemadmodum ille, abliguriam lapides etiam
ad unum omnes, non praedium solum.

Τάχ' οὖν διὰ τὴν πολλὴν ταύτην ἀσωτίαν καὶ κιναιδίαν τοὔνομα αὐτοῦ παρέλιπε Δημοσθένης ἐν τῷ περὶ Ἀτελειῶν. Χρὴ δὲ τοὺς τὰ πατρῷα κατεδηδοκότας, κατὰ τὸν Μενάνδρου Ναύκληρον, οὕτως κολάζεσθαι. φησὶ γάρ·

Ὦ φιλτάτη Γῆ μῆτερ, ὡς σεμνὸν σφόδρ' εἶ
τοῖς νοῦν ἔχουσι κτῆμα, πολλοῦ τ' ἄξιον.
Ὡς δῆτ' ἐχρῆν, εἴ τις πατρῴαν παραλαβὼν
c γῆν καταφάγοι, πλεῖν τοῦτον ἤδη διὰ τέλους,
καὶ μήδ' ἐπιβαίνειν γῆς· ἵν' οὕτως ἤσθετο,
οἷον παραλαβὼν ἀγαθὸν οὐκ ἐφείσατο.

LXI. Ganeones alii.

Πυθοδήλου δέ τινος ἀσώτου μνημονεύει Ἀξιόνικος ἐν Τυρρηνῷ,[1] οὕτως·

Ὁ Πυθόδηλος οὗτος Ἰσοβαλλίων[2]
προσέρχετ' ἐπικαλούμενος, ἀσωτέστατος·[3]

1 Alibi Τυῤῥηνικῷ. 2 Forſ. εἰσω Βαλλίων. 3 Vulgo ἀσωτότατος, quod vocab. cum ἐπικαλούμενος ſedem permutaſſe cenſuit Caſ.

Fortaſſe igitur ob tantam illam hominis luxuriam & impuritatem nomen eius tacuit Demoſthenes in oratione De Immunitatibus. Oportebat autem eos qui patria bona abligurierint, tali poena, ſecundum Menandri Nauclerum, adfici. Dicit nempe:

O cara mater Terra, quam venerabilis
tu, quamque ſancta es recte rem putantibus!
Aequum pol fuerat, ſi quis patrium nepos
fundum comeſſet, navigare hunc perpetim,
nec usquam terrâ recipi; ut perſentiſceret,
quantum accepiſſet & non parſiſſet bonum.

61. Pythodeli cuiusdam, luxurioſi hominis, Axionicus meminit in Tyrrheno, in hunc modum:

Pythodelus hic ingreditur, Iſoballion
cognominatus, ganeonum maximus:

μεθύουσά τ' ἐξ ὄπισθεν ἡ σοφωτάτη
ἀπὸ τυμπάνου [1] Ἴσχας κατὰ πόδας πορεύεται.

Πολύευκτον δ' Ἀναξανδρίδης ἐν Τηρεῖ κωμῳδῶν, d
Α. Ὄρνις κεκλήσῃ. (φησί.) Β. Διὰ τί, πρὸς τῆς
Ἑστίας;
πότερον καταφαγὼν τὴν πατρῴαν οὐσίαν,
ὥσπερ Πολύευκτος ὁ καλός; Α. Οὔ δῆτ', ἀλλ' ὅτι
ἄῤῥην ὑπὸ θηλειῶν κατεκόπης. —

Θεόπομπος δ' ἐν τῇ δεκάτῃ τῶν Φιλιππικῶν, (ἀφ' ἧς τινες τὸ τελευταῖον μέρος χωρίσαντές εἰσι, [2] ἐν ᾧ ἐστι τὰ περὶ τῶν Ἀθήνῃσι δημαγωγῶν,) Εὔβουλόν φησι τὸν δημαγωγὸν ἄσωτον γενέσθαι. τῇ λέξει δὲ ταύτῃ ἐχρήσατο· „Καὶ τοσοῦτον ἀσωτίᾳ καὶ πλεονε- e
ξίᾳ διενήνοχε τοῦ δήμου τοῦ Ταραντίνων, ὅσον ὁ μὲν περὶ τὰς ἑστιάσεις εἶχε μόνον ἀκρατῶς, ὁ δὲ τῶν Ἀθη-

Eubulus & Callistratus oratores.

1 ὑπὸ τυμπάνου Coray. Vulgo ἀποτυμπανισχὰς una voce. 2 Deest vulgo verbum εἰσι.

ebriaque pone eum sapientissima
cum tympano Ischas e vestigio sequitur.

Polyeuctum vero Anaxandrides in Tereo perstringens, ait:

A. *Ales vocaberis.* B. *Quid ita, per Vestam?*
an quod paterna abligurivi bona?
quemadmodum bellus Polyeuctus? A. *Non hercle, sed quod*
mas a foeminis discerptus es.

Theopompus Rerum Philippicarum libro decimo (a quo sunt qui separant posteriorem partem, quae de Demagogis agit Athenienſium) *Eubulum oratorem*, ait, *luxuriosum fuisse.* His autem utitur verbis: » Et luxuria & corradendae pecuniae studio in tantum superavit populum Tarentinum, ut, cum hic nonnisi quod ad convivia spectat modum tenere nesciat, ille reditus etiam Athe-

ναίων καὶ τὰς προσόδους καταμισθοφορῶν διατετέλεκε. Καλλίστρατος δὲ, (φησὶν) ὁ Καλλικράτους, δημαγωγὸς καὶ αὐτὸς, πρὸς μὲν τὰς ἡδονὰς ἦν ἀκρατὴς, τῶν δὲ πολιτικῶν πραγμάτων ἦν ἐπιμελής. " Περὶ δὲ τῶν Ταραντίνων ἱστορῶν ἐν τῇ δευτέρᾳ πεντηκοστῇ τῶν Ἱστοριῶν, γράφει οὕτως· „Ἡ πόλις ἡ τῶν Ταραντίνων σχεδὸν καθ' ἕκαστον μῆνα βουθυτεῖ, καὶ δημοσίᾳ ἑστιάσεις ποιεῖται. τὸ δὲ τῶν ἰδιωτῶν πλῆθος ἀεὶ περὶ συνουσίας καὶ πότους ἐστί. λέγουσι δὲ καί τινα τοιοῦτον λόγον οἱ Ταραντῖνοι· Τοὺς μὲν ἄλλους ἀνθρώπους, διὰ τὸ φιλοπονεῖσθαι, καὶ περὶ τὰς ἐργασίας διατρίβειν, παρασκευάζεσθαι ζῆν· αὐτοὺς δὲ, διὰ τὰς συνουσίας, καὶ τὰς ἡδονὰς, οὐ μέλλειν, ἀλλ' ἤδη βιῶναι." Tarentinorum luxuria.

Περὶ δὲ τῆς ἀσωτίας καὶ τοῦ βίου Φιλίππου, καὶ τῶν ἑταίρων αὐτοῦ, ἐν τῇ τεσσαρακοστῇ ἐνάτῃ τῶν LXII.

nienſium largitionibus exhaurire non deſierit. Calliſtratus vero, (inquit) Callicratis filius, itidem populi orator, ad voluptates quidem intemperans erat, caeterum in adminiſtratione reipublicae induſtrius." De Tarentinis autem differens ſecundo & quinquageſimo Hiſtoriarum libro, ſic ſcribit: » Tarentinorum civitas unoquoque fere menſe boves ſacrificat, & publica convivia celebrat. Privatorum vero multitudo continuo in conviviis compotationibusque verſatur. Eſtque vulgatum quoddam Tarentinorum dictum huiusmodi: *Alios homines ſuâ induſtriâ, & in opere faciendo ſedulitate, futuram ſibi parare vitam: ſe vero, qui convivia agant, & voluptatibus fruantur, non eſſe victuros, ſed iam nunc vivere.*

62. De *luxuria* vero & vitae ratione *Philippi*, eiusque ſodalium, nono & quinquageſimo Hiſtoriarum li-

Philippi luxuria, ex Theopompo.

Ἱστοριῶν ὁ Θεόπομπος τάδε γράφει· „Φίλιππος a
ἐπεὶ ἐγκρατὴς πολλῶν ἐγένετο χρημάτων, οὐκ ἀνά-
λωσεν αὐτὰ ταχέως, ἀλλ' ἐξέβαλε καὶ ἔῤῥιψε. πάν-
των ἀνθρώπων κάκιστος ὢν οἰκονόμος οὐ μόνον αὐτὸς,
ἀλλὰ καὶ οἱ περὶ αὐτόν. ἁπλῶς γὰρ οὐδεὶς αὐτῶν
ἠπίστατο ζῆν ὀρθῶς, οὐδὲ σωφρόνως οἰκεῖν οἰκίαν. τοῦ
δ' αὐτὸς αἴτιος ἦν, ἄπληστος καὶ πολυτελὴς ὤν·
προχείρως ἅπαντα ποιῶν, καὶ κτώμενος, καὶ διδούς.
στρατιώτης γὰρ ὢν, καὶ λογίζεσθαι τὰ προσίοντα
καὶ ταναλισκόμενα δι' ἀσχολίαν οὐκ ἠδύνατο. ἔπει- b
τα δ' οἱ ἑταῖροι αὐτοῦ ἐκ πολλῶν τόπων ἦσαν συνερ-
ρυηκότες· οἱ μὲν γὰρ ἐξ αὐτῆς τῆς χώρας, οἱ δὲ ἐκ
Θετταλίας, οἱ δὲ ἐκ τῆς ἄλλης Ἑλλάδος, οὐκ ἀρι-
στίνδην ἐξειλεγμένοι· ἀλλ', εἴ τις ἦν ἐν τοῖς Ἕλλησιν,
ἢ τοῖς βαρβάροις, λάσταυρος ἢ βδελυρὸς, ἢ θρασὺς

bro haec Theopompus ſcribit: »Philippus, poſtquam multae pecuniae compos factus eſt, non expendit eam celeriter, ſed abiecit & profudit. Omnium hominum peſſimus adminiſtrator rei familiaris non modo ipſe, ſed & hi quibuscum vivebat. Nullus enim eorum, citra exceptionem, recte vivere noverat, aut domum moderate regere. Cuius rei ipſe rex cauſſa fuit: qui, cum & inexplebilis & ſumtuoſus eſſet, quidquid faceret, id temere agebat, ſive pecunias cogeret, ſive erogaret. Nam miles cum eſſet, otium ſibi ſumere non potuit ad ſubducendas redituum & expenſorum rationes. Praeterea familiariter utebatur hominibus, qui quibuslibet ex locis confluxerant: alii enim quidem ex ipſa regione, alii vero e Theſſalia, alii ex reliqua Graecia, non pro generis nobilitate aut pro virtutis merito ſelecti: ſed ſi quis erat, ſive inter Graecos, ſive inter barbaros, laſcivus aut flagitioſus, aut moribus audax, hi

τὸν τρόπον, οὗτοι σχεδὸν ἅπαντες εἰς Μακεδονίαν ἀθροισθέντες, ἑταῖροι Φιλίππου προσηγορεύοντο. εἰ δὲ μὴ καὶ τοιοῦτός τις ἐληλύθει, ὑπὸ τοῦ βίου καὶ τῆς διαίτης τῆς Μακεδονικῆς ταχέως ἐκείνοις ὅμοιος ἐγί-
c νετο. τὰ μὲν γὰρ οἱ πόλεμοι καὶ αἱ στρατεῖαι καὶ αἱ πολυτέλειαι, θρασεῖς αὐτοὺς εἶναι προετρέποντο, καὶ ζῆν μὴ κοσμίως, ἀλλ' ἀσώτως, καὶ τοῖς λῃσταῖς παραπλησίως."

LXIII. Pasicyprus rex Cypri.

Δοῦρις δ' ἐν ἑβδόμῳ Μακεδονικῶν περὶ Πασικύπρου λέγων, τοῦ ἐν Κύπρῳ βασιλέως, ὅτι ἄσωτος ἦν, γράφει καὶ τάδε· „Ἀλέξανδρος μετὰ τὴν Τύρου πολιορκίαν Πνυταγόραν ἀποστέλλων, ἄλλας τε δω-
d ρεὰς ἔδωκε, καὶ χωρίον ὃ ᾐτήσατο. πρότερον δὲ τοῦτο Πασίκυπρος ὁ βασιλεύων ἀπέδοτο δι' ἀσωτίαν πεντή-κοντα ταλάντων Πυμάτῳ τῷ Κιτιεῖ, ἅμα τὸ χωρίον καὶ τὴν αὐτοῦ βασιλείαν· καὶ λαβὼν τὰ χρήματα

fere omnes in Macedoniam confluentes, fodales Philippi adpellabantur. Si quis vero moribus non tam perverſis ad eum veniſſet, per vitae rationem Macedonicam brevi illorum ſimilis evadebat. Nam bella & expeditiones & ingentes ſumtus, ad audaciam eos & vitam immodeſtam, luxurioſamque, & latronum vitae ſimilem inſtigabant. «

63. Duris vero, ſeptimo libro Rerum Macedonicarum, de Paſicypro loquens, Cypri rege, quem luxurioſum fuiſſe ait, haec ſcribit: »Alexander poſt Tyri expugnationem Pnytagoram dimiſit, cum multis aliis muneribus donatum, tum caſtello, quod ipſe ſibi poſtulaverat. Id caſtellum ante id tempus Paſicyprus rex, ob luxuriam, Pymato Cittieo vendiderat, ſimul caſtellum & ipſum regnum ſuum, quinquaginta talentis; qua

κατεγήρασεν ἐν Ἀμαθοῦντι.“ Τοιοῦτος ἐγένετο καὶ Αἰθίοψ ὁ Κορίνθιος, ὥς φησι Δημήτριος ὁ Σκήψιος, οὗ μνημονεύει Ἀρχίλοχος. „ὑπὸ φιληδονίας γὰρ καὶ ἀκρασίας καὶ οὗτος, μετ' Ἀρχίου πλέων εἰς Σικελίαν, ὅτ' ἔμελλε κτίζειν Συρακούσας, τῷ ἑαυτοῦ συσσίτῳ μελιτούττης ἀπέδοτο τὸν κλῆρον, ὃν ἐν Συρακούσαις λαχὼν ἔμελλεν ἕξειν.“

LXIV.

Demetrius, Phalerei nepos.

Εἰς τοσοῦτον δ' ἀσωτίας ἐληλύθει καὶ Δημήτριος, ὁ Δημητρίου τοῦ Φαληρέως ἀπόγονος, ὥς φησιν Ἡγήσανδρος, ὥστε Ἀριστα γόραν μὲν ἔχειν τὴν Κορινθίαν ἐρωμένην, ζῆν δὲ πολυτελῶς. ἀναπαλεσαμένων δ' αὐτὸν τῶν Ἀρεοπαγιτῶν, καὶ κελευόντων βέλτιον ζῆν· „Ἀλλὰ καὶ νῦν, εἶπεν, ἐλευθερίως ζῶ. καὶ γὰρ ἑταίραν ἔχω τὴν καλλίστην, καὶ ἀδικῶ οὐδένα, καὶ πίνω Χῖον οἶνον, καὶ τἆλλα ἀρκούντως παρασκευάζομαι, τῶν ἰδίων μου προσόδων εἰς ταῦτα ἐκποιουσῶν.

pecunia accepta ille Amathunte conſenuerat.« Talis etiam fuerat Aethiops, Corinthius, ut Demetrius Scepſius ait, cuius meminit Archilochus. »Is enim, ob voluptatis ſtudium & intemperantiam, poſtquam cum Archia Syracuſas condituro in Siciliam navigaſſet, ſortem quae ſibi in Syracuſarum diſtributione eſſet obventura, commenſali ſuo mellitae placentae pretio vendidit.«

64. Eo vero luxuriae etiam progreſſus erat Demetrius, Demetrii Phalerei nepos, ut Ariſtogoram Corinthiam haberet amaſiam, ſumtuoſeque viveret. Quem cum Areopagitae in iudicium vocaſſent, & melius vivere iuſſiſſent: *At etiam nunc*, inquit ille, *ingenue vivo. Nam & amicam habeo pulcerrimam, & iniuriam facio nemini, & Chium vinum bibo, & alia omnia ad ſatietatem mihi comparo, propriis meis reditibus ad haec ſufficientibus. Non*,

οὐ, καθάπερ ὑμῶν ἔνιοι, δεκαζόμενος ζῶ, καὶ μοι-
f χεύων." καὶ τῶν τὰ τοιαῦτα πραττόντων καὶ ἐπ' ὀνό-
ματος τινὰς κατέλεξε. Ταῦτα δ' ἀκούσας Ἀντίγονος
ὁ βασιλεὺς, θεσμοθέτην αὐτὸν κατέστησεν. Τοῖς δὲ
Παναθηναίοις ἵππαρχος ὢν, [1] ἱκρίον ἔστησε πρὸς τοῖς
Ἑρμαῖς Ἀριστα γόρα, μετεωρότερον τῶν Ἑρμῶν· Ἐλευ-
σῖνί τε μυστηρίων ὄντων, ἔθηκεν αὐτῇ θρόνον παρὰ τὸ
ἀνάκτορον, οἰμώξεσθαι φήσας τοὺς κωλύσοντας.

LXV.

Areopagitarum iudicium.

a Ὅτι δὲ τοὺς ἀσώτους, καὶ τοὺς μὴ ἔκ τινος περι-
ουσίας ζῶντας, τὸ παλαιὸν ἐκαλοῦντο οἱ Ἀρεοπαγῖται
καὶ ἐκόλαζον, ἱστόρησαν Φανόδημος καὶ Φιλόχορος,
ἄλλοι τε πλείους. Μενέδημον γοῦν καὶ Ἀσκληπιάδην
τοὺς φιλοσόφους, νέους ὄντας καὶ πενομένους, μετα-
πεμψάμενοι ἠρώτησαν, πῶς ὅλας τὰς ἡμέρας τοῖς
φιλοσόφοις συσχολάζοντες, κεκτημένοι δὲ μηδέν, εὐ-

Menedemus & Asclepiades, in pistrino molunt.

1 Temere ὕπαρχος ἂν edd.

quemadmodum nonnulli e vobis, muneribus corruptus vivo, & aliorum uxores corrumpo. Et eorum aliquos, qui id faciebant, nominatim etiam designabat. Quae quum audivisset Antigonus rex, thesmotheten illum constituit. Idem vero, cum Panathenaeorum solemnibus equitum praefectus esset, tabulatum erexit Aristagorae apud Hermas, ipsis Hermis sublimius: & Eleusine, cum celebrarentur mysteria, sedem eidem posuit iuxta Cereris templum; male acceptum iri edicens, si quis esset prohibiturus.

65. Fuisse autem olim institutum, ut, qui luxuriosi essent, & qui non e propria re familiari viverent, eos Areopagitae ad tribunal suum vocarent punirentque, docent Phanodemus & Philochorus, aliique multi. Igitur Menedemum & Asclepiadem philosophos, cum iuvenes essent & pauperes, accitos interrogabant, *quo pacto, cum dies totos otiosi philosophis navarent operam, a re*

ἐκτοῦσιν οὕτω τοῖς σώμασι· καὶ οἱ ἐκέλευσαν μεταπεμφθῆναί τινα τῶν μυλωθρῶν. ἐλθόντος δὲ ἐκείνου, καὶ εἰπόντος, ὅτι νυκτὸς ἑκάστης κατιόντες εἰς τὸν μυ- b
λῶνα [1] καὶ ἀλοῦντες, δύο δραχμὰς ἀμφότεροι λαμβάνουσι· θαυμάσαντες οἱ Ἀρεοπαγῖται, διακοσίαις δραχμαῖς ἐτίμησαν αὐτούς. Καὶ Δημόκριτον δ' Ἀβδηρίται δημοσίᾳ κρίνοντες, ὡς κατεφθαρκότα τὰ πατρῷα, ἐπειδὴ ἀναγνοὺς αὐτοῖς τὸν Μέγαν διάκοσμον, καὶ τὰ Περὶ τῶν ἐν Ἅιδου, εἶπεν εἰς ταῦτα ἀνηλωκέναι, ἀφείθη.

LXVI. Mores luxurioſorum.

Οἱ δὲ, μὴ οὕτως ἄσωτοι, κατὰ τὸν Ἄμφιν,
πίνουσ' ἑκάστης ἡμέρας δύ' ἡμέρας, [2]
διασειόμενοι τοὺς κροτάφους ὑπὸ τοῦ ἀκράτου. c

καὶ, κατὰ τὸν Δίφιλον,

κεφαλὰς ἔχοντες τρεῖς, ὥσπερ Ἀρτεμίσιον·

1 μύλωνα edd. cum ms. *Epit.* 2 δι' ἡμέρας coni. Caſaub.

familiari deſtituti, tam bono tamen corporis habitu eſſent? Quibus illi reſponderunt, e *piſtrinorum dominis aliquem*, quem nominabant, *arceſſerent.* Qui poſtquam venit, teſtatusque eſt, *quavis nocte illos in molam deſcendere, molereque, & duas drachmas utrumque mercedem accipere;* mirati Areopagitae, ducentis drachmis eos donarunt. Et Democritum Abderitae publice in ius vocarunt, quod paterna bona perdidiſſet: qui, cum eis *Magnam (mundi) Ordinationem* & commentarium *De his quae ſunt apud Inferos* praelegiſſet, dixiſſetque, *in haec ea ſe inſumſiſſe*, abſolutus eſt.

66. At iſti, non ſic luxurioſi, ſecundum Amphin,

bibunt quovis die duos dies,
concuſſis meri potione temporibus.

& ſecundum Diphilum,

tricipites ſunt, veluti Dianae imago.

„πολέμιοι τῆς οὐσίας ὑπάρχοντες, (ὡς Σάτυρος ἐν τοῖς Περὶ Χαρακτήρων εἴρηκε,) κατατρέχοντες τὸν ἀγρὸν, διαρπάζοντες τὴν οἰκίαν, λαφυροπωλοῦντες τὰ ὑπάρχοντα, σκοποῦντες οὐ τί δεδαπάνηται, ἀλλὰ τί δαπανηθήσεται, οὐδὲ τί περιέσται, ἀλλὰ τί οὐ περιέσται· ἐν τῇ νεότητι τὰ τοῦ γήρως ἐφόδια προκατανα-
d λίσκοντες· χαίροντες τῇ ἑταίρᾳ, οὐ τοῖς ἑταίροις, καὶ τῷ οἴνῳ, οὐ τοῖς συμπόταις.“ Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν τῇ ὀγδόῃ πρὸς ταῖς εἴκοσι τῶν Εὐρωπιακῶν· „Γνώσιππον, φησὶν, ἄσωτον γενόμενον ἐν τῇ Σπάρτῃ, ἐκώλυον οἱ ἔφοροι συναναστρέφειν τοῖς νέοις.“ Παρὰ δὲ Ῥωμαίοις μνημονεύεται, ὥς φησι Ποσει- Apicius, Rutilii inimicus.
δώνιος ἐν τῇ ἑνάτῃ καὶ τεσσαρακοστῇ τῶν Ἱστοριῶν, Ἀπίκιόν τινα ἐπὶ ἀσωτίᾳ πάντας ἀνθρώπους ὑπερηκοντικέναι. οὗτος δ' ἔστιν Ἀπίκιος ὁ καὶ τῆς Φυγῆς
e αἴτιος γενόμενος Ῥουτιλίῳ τῷ τὴν Ῥωμαϊκὴν Ἱστο-

» Rei ſuae familiaris hoſtes, (ut ait Satyrus in libris DE Characteribus,) agrum incurſatione vaſtantes, domum diripientes, bona ſua veluti ſpolia bello parta divendentes; ſpectantes, non quid expenſum fuerit, ſed quid expenſuri ſint; non quid ſuperfuturum ſit, ſed quid non ſit ſuperfuturum: in iuventute ſenectutis viatica ante abſumentes; gaudentes meretrice, non amicis; & vino, non compotatoribus.« Agatharchides vero Cnidius, viceſimo octavo Rerum Europicarum: » Gnoſippum Spartae, ait, cum luxurioſus eſſet, vetuere Ephori cum iuvenibus converſari.« Apud Romanos vero, ut ait Poſidonius quadrageſimo nono Hiſtoriarum libro, Apicius quidam traditur homines omnes luxuria ſuperaſſe. Eſt autem hic Apicius, quo auctore exſilio damnatus eſt Rutilius, qui Romanam Hiſtoriam Graeco ſermone

ρίαν ἐκδεδωκότι τῇ Ἑλλήνων Φωνῇ. περὶ δὲ Ἀπικίου, [1] τοῦ καὶ αὐτοῦ ἐπὶ ἀσωτίᾳ διαβοήτου, ἐν τοῖς πρώτοις εἰρήκαμεν.

LXVII.

Phocus, Phocionis filius.

Διογένης δ' ὁ Βαβυλώνιος ἐν τοῖς Περὶ Εὐγενείας· „Τὸν Φωκίωνος υἱὸν, φησὶ, Φῶκον, οὐκ ἦν ὃς οὐκ ἐμίσει Ἀθηναίων. καὶ ὁπότε ἀπαντήσειέ τις αὐτῷ, ἔλεγεν, ὦ καταισχύνας τὸ γένος. πάντα γὰρ ἀνάλωκε [2] τὰ πατρῷα εἰς ἀσωτίαν· καὶ μετὰ ταῦτα ἐκολάκευε τὸν ἐπὶ τῆς Μουνυχίας· ἐφ' ᾧ πάλιν ὑπὸ πάντων ἐπερράπιζετο. ἐπιδόσεων δέ ποτε γινομένων „f παρελθὼν καὶ αὐτὸς εἰς τὴν ἐκκλησίαν ἔφη· Ἐπιδίδωμι κἀγώ. καὶ οἱ Ἀθηναῖοι ὁμοθυμαδὸν ἀνεβόησαν, Εἰς ἀκολασίαν. ἦν δ' ὁ Φῶκος καὶ Φιλοπότης. νικήσαντος γοῦν αὐτοῦ ἵπποις Παναθηναίοις, ὡς ὁ πατὴρ εἱστία τοὺς ἑταίρους, [3] συνελθόντων εἰς τὸ δεῖπνον

1 Forſ. περὶ δὲ ἄλλου (vel ἑτέρου) Ἀπικίου. 2 ἀνήλωσε edd. ἀνάλωσε ms. *Ep.* 3 ὡς ὁ πατὴρ εἱστιᾶτο ὑφ' ἑταίρου corrigunt viri docti. An ὡς ὁ Σωπάτηρ εἱστίᾳ τοὺς ἑταίρους?

ſcriptam edidit. De (alio) Apicio vero, qui & ipſe famoſus ob luxuriam eſt, in ſuperioribus diximus.

67. Diogenes vero Babyloniuſ, in libris De Nobilitate: »Phocionis filium, ait, Phocum nemo non odio habuit Athenienſium: & quoties aliquis ei obviam fieret, dicebat, *o tui generis probrum!* Omnia enim paterna bona in luxuriam inſumſerat: & poſt haec adulator fuit praefecti Munychiae; qua de cauſſa rurſus ab omnibus cum ignominia reprehenſus eſt. Pecuniam vero aliquando in uſum publicum quum conferrent Athenienſes, in concionem & ipſe prodiens dixit, *Confero & ego*; exclamabantque uno conſenſu Athenienſes, nempe *te ad flagitia*. Eratque etiam vino deditus Phocus. Qui poſtquam in Panathenaeis equorum curſu viciſſet, cum pater [*ſive*, cum Sopater] convivio exciperet ſodales,

λαμπρὰ μὲν ἦν ἡ παρασκευὴ, καὶ τοῖς εἰσιοῦσι προσεφέροντο ποδονιπτῆρες οἴνου δι' ἀρωμάτων. οὓς ἰδὼν ὁ
a πατὴρ καλέσας τὸν Φῶκον· Οὐ παύσεις, ἔφη, τὸν ἑταῖρον διαφθείροντά σου τὴν νίκην;

Οἶδα δὲ καὶ ἄλλους ἀσώτους πολλοὺς, περὶ ὧν ὑμῖν καταλείπω ζητεῖν· πλὴν Καλλίου τοῦ Ἱππονίκου, ὃν καὶ οἱ τῶν παίδων οἴδασι παιδαγωγοί. Περὶ δὲ τῶν ἄλλων ὧν φθάνω προβεβληκὼς, εἴ τι λέγειν ἔχετε, ἀναπεπταμένας ἔχω τῶν ὤτων τὰς πύλας. ὥστε λέγετε, ἐπιζητῶ γάρ. καὶ Μάγνος [1] εἴρηκε τὸ ἐπεσθίειν καὶ τὸ ἐπιφαγεῖν.

Καὶ ὁ Αἰμιλιανὸς ἔφη· Τὸ μὲν ἀσώτιον ἔχεις παρὰ Στράττιδι ἐν Χρυσίππῳ, λέγοντι οὕτως·
b Εἰ μηδὲ χέσαι γ' αὐτῷ σχολὴ γενήσεται,

1 ἐπιζητῶ γὰρ καὶ ὁ Μάγν. coni. Casaub.

ad coenam illis convenientibus splendidus fuit adparatus, & ingredientibus adponebantur ad pedes lavandos pelves vino repletae cum odoribus. Quas ubi conspexit pater, advocato Phoco, *Nonne reprimes*, inquit, *sodalem, ne tuam corrumpat victoriam?*

Novi vero & alios luxuriosos multos; de quibus vos, si vultis, [ex me] quaeretis: de Callia quidem, Hipponici filio, non est quod quaeratis; quem vel puerorum norunt paedagogi. Super aliis vero a me propositis quaestionibus si quid habetis, quod dicatis, equidem apertas habeo aurium portas. Itaque dicite: nam iterum e vobis quaero. Praeterea vero Magnus etiam verbis usus est ἐπεσθίειν & ἐπιφαγεῖν; [de quibus audire velim.]

Ibi tum Aemilianus ait: Vocabulum ἀσώτιον (*ganea*) habes apud Strattidem in Chrysippo, ubi sic ait:

Nam ne cacare quidem ei vacabit,

μηδ' εἰς ἀσώτιον τραπέσθαι· μὴ δέ γ', ἂν
αὐτῷ ξυναντᾷ τις, λαλῆσαι μηδενί.

LXVIII. Vasa coquinaria.

Μαγειρικὰ δὲ σκεύη καταριθμεῖται Ἀνάξιππος ἐν Κιθαρῳδῷ οὕτως·

Ζωμήρυσιν Φέροις, ὀβελίσκους δώδεκα,
κρεάγραν, θυείαν, τυροκνῆστιν παιδικήν,
στελεὸν, σκαφίδας τρεῖς, δορίδα, [1] κοπίδας τέτταρας.
οὐ μὴ πρότερον νεύσεις, [2] θεοῖσιν ἐχθρὲ σὺ,
τὸ λεβήτιον; κἀκ τοῦ χύτρου [3] πάλιν ὑστερεῖς; c
καὶ τὴν κύβηλιν τὴν ἀγωνιστηρίαν.

Τὴν χύτραν δ' Ἀριστοφάνης, ἐν Σκηναῖς καταλαμβανούσαις, κακκάβην εἴρηκεν, οὕτως·

Τὴν κακκάβην γὰρ κἄε τοῦ διδασκάλου. [4]

1 δορίδα editt. vett. cum ms. *A*. Vocem omisit Euſt. cum *Epit.* 2 Alii λούσεις corrigunt, alii οἴσεις. Equidem in verſione latina εὔσεις tentavi, partesque perſonarum ex coniecturâ diſtinxi. 3 λήτρου ms. *A*. quod & ex λίτρου corruptum videri poterat. 4 Corrupte καστοῦ διδασκάλου eſt in membranis: e

nec in ganeam deflectere; nec ſane, ſi
occurrat ei aliquis, cum ullo colloqui.

68. *Vaſa* vero *coquinaria* recenſet Anaxippus, in Citharoedo, in hunc modum:

A. *Cochleare adferas, verucula duodecim,*
fuſcinam, mortarium, radulam puerilem,
manubrium, [forſ. *cylindrum,*] *alveolos tres, cultrum*
ad excoriandum, recurvos cultros quatuor: —
B. *Non tu prius ignem admovebis, Diis exoſe tu,*
lebeti? Et de olla [ſive, *de nitro*] *rurſus ceſſas?* —
A. *Atque etiam ſecurim maiorem.*

Ollam vero (quam χύτραν vulgo vocamus) Ariſtophanes *cacabum* (κακκάβην) dixit in Mulieribus tentoria occupantibus, his verbis:

Cacabum ferveſac praeceptoris.

καὶν Δαιταλεῦσιν·

Κἄγειν ἐκεῖθεν κακκάβην.

Ἀντιφάνης δ' ἐν Φιλοθηβαίῳ·

Πάντ' ἐστὶν ἡμῖν· ἥ τε γὰρ συνώνυμος
τῆς ἔνδον οὔσης ἔγχελυς Βοιωτία,
μιχθεῖσα [1] κοίλοις ἐν βυθοῖσι κακκάβης
χλιαίνετ', αἴρεθ', ἕψεται, παφλάζεται.

Βατάνιον [2] δ' εἴρηκεν Ἀντιφάνης ἐν Εὐθυδίκῳ·

— Ἔπειτα πουλύπους [3] τετμημένος
ἐν βατανίοισιν [4] ἐφθός.

Ἄλεξις ἐν Ἀσκληπιοκλείδῃ·

— — — Οὕτως δ' ὀψοποιεῖν εὐφυῶς
περὶ τὴν [5] Σικελίαν αὐτὸς ἔμαθον, ὥστε τοὺς
δειπνοῦντας εἰς βατάνιά γ' ἐμβαλεῖν [6] ποιῶ

quo editores Καρύστου διδάσκαλον fecerunt. 1 Rectius fortasse alibi τμηθεῖσα scribitur. 2 Vulgo h. l. Βατάνειον, & paulo inferius βατάνεια, dein Πατάνειον, & Πατάνεια, & πατανείων, &c. constanter per ει diphthongum. 3 πολύπους vulgo. 4 Perperam vulgo βατάνοισιν, ubi βατανείοισιν voluit Cas. Mox post ἐφθὸς in mss. adiicitur ἐντετμημένοις, sub quo videndum an lateat aliud nescio quid. 5 Deest vulgo articulus. 6 Vulgo

& in Epulonibus:

Et illinc cacabum admovere.

Antiphanes vero, in Philothebano:

Omnia adsunt nobis: nam & eiusdem nominis
cum ea quae intus est, anguilla Boeotia,
condita cavis in fundis cacabi
tepescit, tollitur, elixatur, fervet.

Βατάνιον vero *patellam* Antiphanes dixit in Euthydico:

Dein polypus
in patellis elixus, in frusta concisus.

Alexis, in Asclepioclide:

Ita vero solerter obsonia coquere
in Sicilia ego didici, ut coenantes
invadere ipsas patinas cogam

ἐνίοτε τοὺς ὀδόντας ὑπὸ τῆς ἡδονῆς.

Πατάνιον δὲ διὰ τοῦ π̄ Ἀντιφάνης ἐν Γάμῳ;[1]

Πατάνια, σεῦτλον, σιλφίον, χύτρας, λύχνους, e
Κορίαννα, κρόμμυ', ἅλας,[2] ἔλαιον, τρύβλιον.

Φιλέταιρος, Οἰνοπίωνι·

Ὁ μάγειρος οὗτος πατανίων προσελθέτω.

καὶ πάλιν·

Πλείους Στρατονίκου τοὺς μαθητάς μοι δοκεῖ
ἔξειν πατανίων.

Ἐν δὲ Παρασίτῳ ὁ Ἀντιφάνης καὶ τάδε εἴρηκεν·

Α. Ἄλλος ἐπὶ τούτῳ μέγας
ἥξει τις ἰσοτράπεζος εὐγενής. Β. Τίνα
λέγεις; Α. Καρύστου θρέμμα, γηγενής, ζέων.
Β. Εἶτ' οὐκ ἂν εἴποις; ὕπαγε. Α. Κάκκαβον λέγω· f
σὺ δ' ἴσως ἂν εἴποις λοπάδ'. Β. Ἐμοὶ δὲ τοὔνομα

ἐκβαλεῖν hoc quidem loco. Porro ignorant membranae noſtrae γ' patticulam; quare rectius ſic conſtituetur verſus:

δειπνοῦντας εἰς τὰ βατάνι' ἐμβαλεῖν ποιῶ.

1 Vulgo ἐν Σάμῳ. 2 ἅλες vulgo.

interdum dentibus prae voluptate.

Πατάνιον vero per *p* literam Antiphanes, in Nuptiis:

Patellas, betam, ſilphium, ollas, lucernas, coriandrum, cepas, ſalem, oleum, catinum.

Philetaerus, Oenopione:

Accedat coquus hic delicatiorum patellarum. (πατανίων.)

& iterum:

Plures, quam Stratonicus, diſcipulos videtur mihi habiturus patellarum.

In Paraſito vero Antiphanes etiam haec dixit:

A. *Alius vero poſt hunc magnus*
veniet menſam-magnitudine-aequans nobilis — B. *Quemnam dicis?* — A. *Caryſti alumnus, terra genitus, fervens.* B. *Nonne tandem dices? apage!* A. *Caccabum dico: tu vero fortaſſe patinam dixeris.* B. *Mea vero referre,*

οἴει διαφέρειν, εἴτε κάκκαβόν τινες
χαίρουσιν ὀνομάζοντες, [1] εἴτε σίττυβον;
πλὴν ὅ τι λέγεις ἀγγεῖον, οἶδα.

Εὔβουλος δ' ἐν Ἴωνι καὶ βατάνια καὶ πατάνια λέγει, ἐν τούτοις·

Τρύβλια δὲ, καὶ βατάνια, καὶ κακκάβια,
καὶ λοπάδια, καὶ πατάνια, πυκινὰ, ταρφέα,
κοὐδ' ἂν λέγων λέξαιμι.

LXIX. Condimenta.

a Ἡδυσμάτων δὲ κατάλογον Ἄλεξις ἐποιήσατο, ἐν Λέβητι, οὕτως·

Α. Καὶ μὴ προφάσεις ἐνταῦθά μοι· μηδ', Οὐκ ἔχω.

Β. Ἀλλά γε [2] λέγ' οὗ δεῖ· λήψομαι γὰρ πάντ' ἐγώ.

Α. Ὀρθῶς. τὸ πρῶτον μὲν λάβ' ἐλθὼν σήσαμα.

Β. Ἀλλ' ἔστιν ἔνδον. Α. Ἀσταφίδα κεκομμένην,

1 Vulgo χαίροντες ὀνομάζουσιν. 2 Ἀλλ' ἄγε malebat Caſ.

quo pacto nominetur, putas? ſive qui caccabum nominare gaudeant, ſive ſittybum?
Sufficit ut norim quodnam ſit vas quod dicis.

Eubulus vero, in Ione, & βατάνια & πατάνια dicit, ubi ait:

Catinos vero, & batania, & caccabia,
& lopadia, & patania, numeroſa, frequentia,
ne fando quidem poſſem eloqui.

69. *Condimentorum* vero recenſum Alexis fecit, in Lebete, hunc in modum:

A. *Et ne mihi hîc excuſationes adferas; ne illam quidem, Non habeo.*

B. *At, dic modo, quid ſumere oporteat: ſumam enim equidem omnia.*

A. *Recte: primum igitur i, & cape ſeſamum.*

B. *At iam intus eſt.* A. *Uvam-paſſam contuſam,*

μάραθον, [1] ἄνηθον, νάπυ, καυλὸν, σίλφιον,
κορίαννον αὖον, ῥοῦν, κύμινον, κάππαριν,
ὀρίγανον, γήτειον, σκορόδιον, [2] θύμον, b
σφάκον, σίραιον, σέσελι, πήγανον, πράσον.

Ἐν δὲ Παννυχίδι ἢ Ἐρίθοις μάγειρον δὲ [3] ποιεῖ λέγοντα·

Κύκλῳ δεήσει περιτρέχειν με, καὶ βοᾶν,
ἄν του δέωμαι. δεῖπνον αἰτήσεις με σὺ
ἤδη παρελθών· οὐκ ἔχων δὲ τυγχάνω
οὐκ ὄξος, οὐκ ἄνηθον, οὐκ ὀρίγανον,
οὐ θρίον, οὐκ ἔλαιον, οὐκ ἀμυγδαλὰς, 5
οὐ σκόροδον, οὐ σίραιον, οὐχὶ γήτιον, [4]
οὐ βολβὸν, οὐ πῦρ, οὐ κύμινον, οὐχ ἅλας, c
οὐκ ὠὸν, οὐ ξύλον, οὐ σκάφην, οὐ τήγανον·
οὐχ ἱμονίαν, οὐ λάκκον εἶδον, οὐ φρέαρ·

1 μάραθρον editio Caſaub. tertia. 2 σκόροδον ms. *A.* quod teneri potuiſſe videtur: pro quo ἄνισον ex Polluce repoſitum voluit Caſ. 3 Forſ. ὧδε aut τάδε. 4 Vulgo γήτειον.

foeniculum, anethum, ſinapi, caulem, laſer,
coriandrum ſiccum, rhun, cuminum, capparim,
origanum, getium, allium, thymum,
ſalviam, defrutum, ſeſeli, rutam, porrum.

Porro in Pervigilio ſive Lanificis coquum inducit haec dicentem:

In orbem oportebit me circumcurrere, & clamare,
ſi qua re opus habuero. Coenam a me tu poſces
ſtatim ac veneris: at nihil omnium ego habeo,
non acetum, non anethum, non origanum,
non ficus folium, non oleum, non amygdalas,
non allium, non defrutum, non getium,
non bulbum, non ignem, non cuminum, non ſal,
non ovum, non lignum, non alveolum, non ſartaginem.
Non funem aquae hauriendae, non ciſternam vidi, non
puteum:

οὐ στάμνος ἐστί· διακενῆς δ' ἕστηκ' ἐγὼ
ἔχων μάχαιραν, προσέτι περιεζωσμένος.

καὶ ἐν Πονήρᾳ·

Τῆς ὀριγάνου
πρώτιστον ὑποτίθει [1] εἰς λοπάδα νεανικὴν,
τὸ τρίμμ' ἐπιπολῆς, εὐρύθμως διειμένον
ὄξει, σιραίῳ χρωματίσας, καὶ σιλφίῳ
πυκνῷ πατάξας.

d Ἐπεσθίειν εἴρηκε Τηλεκλείδης Πρυτάνεσιν οὕτως· Ἐπεσθίειν· ἐπιφαγεῖν.

Τυρίον ἐπεσθίοντα. — —

Ἐπιφαγεῖν δ' Εὔπολις Ταξιάρχοις·

Ἐπιφαγεῖν μηδὲν ἄλλ'
ἢ κρόμμυον βλέποντα καὶ τρεῖς ἀλμάδας.

καὶ Ἀριστοφάνης Πλούτῳ·

Πρωτοῦ δ' ὑπὸ τῆς πενίας ἅπαντ' ἐπήσθιεν. [2]

1 ὑποτιθεὶς vulgo. ὑποθεὶς corr. Caſ. 2 ἐπήσθιον vulgo.

non amphora adeſt: fruſtra ego hic ſto
cum meo cultro, atque adeo praecinctus.

Et in Aerumnoſa:

Origani nonnihil
primum omnium ſubiice in grandem patinam;
intritum ſuperne, iuſta proportione perfuſum
aceto, defruto coloratum, & laſerpitio
multo incuſſo conditum.

Verbo ἐπεσθίειν (*ſuperedere*, ſive *comedere*) uſus eſt Teleclides, in Prytanibus, ſic:

Comedentem caſeolum. — —

Verbo ἐπιφαγεῖν vero Eupolis, in Taxiarchis:

Comedere nihil niſi
cepam videntem & tres olivas muria conditas.

Et Ariſtophanes in Pluto:

Antea vero, ob paupertatem, omnia comedebat.

LXX. Mensarum structores.

Τῶν δὲ μαγείρων διάφοροί τινες ἦσαν οἱ καλούμενοι τραπεζοποιοί. εἰς ὃ δὲ οὗτοι παρελαμβάνοντο, σαφῶς παρίστησιν Ἀντιφάνης ἐν Μετοίκῳ·

Προσέλαβον ἐλθὼν τουτονὶ
τραπεζοποιὸν, ὃς πλυνεῖ σκεύη, λύχνους θ'
ἑτοιμάσει, σπονδὰς ποιήσει, τ' ἄλλ' ὅσα
τούτῳ [1] προσήκει.

Ζητητέον δὲ εἰ καὶ ὁ τραπεζοκόμος ὁ αὐτός ἐστι τῷ τραπεζοποιῷ. Ἰόβας γὰρ ὁ βασιλεὺς, ἐν ταῖς Ὁμοιότησι, τὸν αὐτὸν εἶναί φησι τραπεζοκόμον καὶ τὸν ὑπὸ Ῥωμαίων καλούμενον στρούκτωρα, [2] παρατιθέμενος ἐκ δράματος Ἀλεξάνδρου, ᾧ ἐπιγραφὴ Πότος·

Εἰς αὔριόν με δεῖ λαβεῖν αὐλητρίδα·
τραπεζοποιὸν, δημιουργὸν, λήψομαι.
ἐπὶ τοῦτ' ἀπέστειλ' ἐξ ἀγροῦ μ' ὁ δεσπότης.

1 τούτοις edd. 2 στρούκτορα edd. cum ms. *A*.

70. A coquis diversum erat hominum genus, qui τραπεζοποιοὶ (*mensarum structores*) adpellabantur. Quorum quodnam fuerit officium, clare sic tradit Antiphanes in Inquilino:

Huc veniens adsumsi huncce
τραπεζοποιὸν, *qui vasa elueret, lucernasque*
pararet, libationes curaret, reliqua quaecumque
ad hoc hominum genus pertinent.

Quaerendum vero etiam, sit-ne idem τραπεζοποιὸς & τραπεζοκόμος. Iuba enim rex, in Similitudinibus, eumdem ait esse τὸν τραπεζοκόμον & eum quem *structorem* Romani vocant; citatque ex Alexandri fabula, cui titulus Compotatio, haec verba:

In crastinum me sumere oportet tibicinam·
τραπεζοποιὸν, *artificem, sumam:*
ad hoc me herus ex agro huc misit.

Ἐκάλουν δὲ τραπεζοποιὸν τὸν τραπεζῶν ἐπιμελητὴν, καὶ τῆς ἄλλης εὐκοσμίας. Φιλήμων, Παρεισίοντι [1]

Περὶ τοὐπτάνιον οὐ γίνεθ' ἡ σκεπτωρία·
τραπεζοποιός ἐστ' [2] ἐπὶ τοῦ διακονεῖν.

Ἔλεγον δὲ καὶ ἐπιτραπεζώματα, τὰ ἐπιτιθέμενα τῇ τραπέζῃ βρώματα. Πλάτων, Μενελάῳ·

a Ὡς ὀλίγα λοιπὰ τῶν ἐπιτραπεζωμάτων.

Ἐκάλουν δὲ καὶ Ἀγοραστὴν τὸν τὰ ὄψα ὠνούμενον, νῦν δ' ὀψωνάτορα. [3] ὡς Ξενοφῶν, ἐν δευτέρῳ [4] Ἀπομνημονευμάτων οὑτωσὶ λέγων· Διάκονον δ' ἂν καὶ ἀγοραστὴν τὸν τοιοῦτον ἐθέλοιμεν [5] προῖκα λαβεῖν; Παρὰ δὲ Μενάνδρῳ ἔστι κοινότερον, ἐν Φανίῳ· [6]

Φειδωλὸς ἦν καὶ μέτριος ἀγοραστής. [7]

1 Alibi ἐν Παριέντι citatur. 2 Vulgo ἐστὶν ἐπὶ. 3 Rectius fuerit ὀψωνάτωρα. 4 ἐν πρώτῳ oportebat. 5 ἐθελήσαιμεν ἂν apud Xen. 6 Sic ms. Ven. Φανίᾳ edd. Alibi Φάννιον citatur; alibi ἐν Φανῷ. 7 Versum sic corrigit Casaubonus:
Φειδωλὸς ἦν τε καὶ ἀγοραστὴς μέτριος.

Vocabant autem τραπεζοποιὸν eum, qui & mensas & alia curabat, ut ordine administrarentur. Philemon, in Irrepente:

De culina non est quod deliberemus:
structor ministerio huic praefectus est.

Imposita mensae fercula, etiam ἐπιτραπεζώματα vocabant. Plato, in Menelao:

Quam parum reliquum est τῶν ἐπιτραπεζωμάτων.

Emtorem vero (ἀγοραστὴν) vocabant eum qui obsonia emebat; quem nunc *obsonatorem* dicunt. Sic Xenophon Memorabilium libro secundo, [*immo*, primo] ait: »Famulum huiusmodi & agoraſten vellemus-ne gratis habere?« Apud Menandrum vero, in Phanio, generaliori notione nomen illud ponitur:

Parcus erat & moderatus emtor.

Ὀψώνην δ' εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς, διὰ τούτων·

Ὡς οὐψώνης διατρίβειν ἡμῖν [1] τὸ ἄριστον ἔοικε. b

Παροψωνεῖν δ' ἔφη Κρατῖνος ἐν Κλεοβουλίναις οὕτως·

. . . . . .

Παραγοράζειν δ' Ἄλεξις ἐν Δρωπίδῃ. Εἰλέατροι [2] δὲ καλοῦνται, ὥς φησι Πάμφιλος, οἱ ἐπὶ τὴν βασιλικὴν καλοῦντες τράπεζαν, παρὰ τὸν ἐλεόν. Ἀρτεμίδωρος δ' αὐτοὺς δειπνοκλήτορας ὀνομάζει.

LXXI. Praeguſtatores, Ἐδέατροι.

Ἐκάλουν δέ, φησὶ, καὶ τοὺς προγεύστας, ἐδεάτρους [3] ὅτι προήσθιον τῶν βασιλέων πρὸς ἀσφάλειαν. νῦν δὲ ὁ ἐδέατρος ἐπιστάτης γέγονε τῆς ὅλης διακονίας. ἦν δ' ἐπιφανὴς καὶ ἔντιμος ἡ χρεία. Χάρης γοῦν, ἐν τῇ τρίτῃ τῶν Ἱστοριῶν, Πτολεμαῖον, φησὶ, c

1 ἡμῶν edd. cum ms. *A*. 2 Ἐλέατροι ed. Baſ. & Caſ. 3 ἐλεάτρους, & mox ἐλέατρος, & deinde ἐλέατρον, edd. cum ms. *Ep*.

Ariſtophanes vero ὀψώνην dixit, in Tageniſtis:

Ut obſonator remorari nobis prandium videtur!

Verbo παροψωνεῖν vero uſus eſt Cratinus, in Cleobulinis, cum ait:

. . . . . .

Verbo παραγοράζειν autem Alexis, in Dropide. Εἰλέατροι vero dicuntur, ut ait Pamphilus, qui ad regiam menſam vocant, a vocabulo ἐλεός. (*menſa coquinaria.*) Artemidorus vero eosdem δειπνοκλήτορας (id eſt, *adcoenam-vocatores*) nominat.

71. Vocabant vero etiam, ait idem, *praeguſtatores*, ἐδεάτρους: quoniam ante regem cibum capiebant, ſecuritatis cauſſa. Nunc vero ἐδέατρος is dicitur, qui univerſo (epularum) miniſterio praefectus eſt. Erat autem munus illuſtre & honoratum. Chares certe, tertio libro Hiſtoriarum, Ptolemaeum Soterem tradit ἐδέατρον

τὸν Σωτῆρα, ἐδέατρον ἀποδειχθῆναι Ἀλεξάνδρου. Μήποτε δὲ καὶ ὃν νῦν καλοῦσι Ῥωμαῖοι προγεύστην, τότε οἱ Ἕλληνες προτένθην ὠνόμαζον; ὡς Ἀριστοφάνης ἐν προτέραις Νεφέλαις, [1] διὰ τούτων· Προτένθαι.

Α. Πῶς οὐ δέχονται δῆτα τῇ νουμηνίᾳ
ἀρχαὶ τὰ πρυτανεῖ', ἀλλ' ἔνη τε καὶ νέᾳ;
Β. Ὅπερ οἱ προτένθαι γὰρ δοκοῦσί μοι παθεῖν,
ἵν' ὡς τάχιστα τὰ πρυτανεῖ' ὑφελοίατο,
d διὰ τοῦτο προὐτένθευσαν ἡμέρᾳ μιᾷ.

Μνημονεύει αὐτῶν καὶ Φερεκράτης ἐν Ἀγρίοις·

Μὴ θαυμάσῃς,
τῶν γὰρ προτενθῶν ἐσμέν· ἀλλ' οὐκ οἶσθά συ.

Καὶ Φιλύλλιος, ἐν Ἡρακλεῖ·

Βούλεσθε δῆτ' ἐγὼ φράσω τίς εἰμ' ἐγώ;

1 ἐν δευτέραις Νεφ. corrigunt viri docti.

(epularum miniſterio praefectum) conſtitutum fuiſſe Alexandri. Videtur vero, quem nunc Romani *praeguſtatorem* vocant, is olim a Graecis προτένθης fuiſſe dictus. Sic apud Ariſtophanem, in prioribus [*forſ.* poſterioribus] Nubibus; ubi ait:

A. *Cur non recipiunt igitur ipſis calendis*
magiſtratus ſportulam, ſed pridie?
B. *Videntur mihi idem facere, quod praeguſtatores:*
ut eo citius auferant ſportulas,
propterea praeguſtant (eas) uno die.

Eorumdem meminit Pherecrates in Agreſtibus: (*ſive*, Hominibus feris:)

Ne mireris:
ſumus enim e numero praeguſtatorum, (τῶν προτενθῶν:)
at tu non noveras.

& Philyllius, in Hercule:

Vultis ego vobis, quae ſim, dicam?

ἡ τῶν προτενθῶν Δορπία καλουμένη.

Εὑρίσκω δὲ καὶ ψήφισμα ἐπὶ Κηφισοδώρου ἄρχοντος Ἀθήνησι γενόμενον, ἐν ᾧ ὥσπερ τι σύστημα οἱ προτένθαι εἰσὶ, καθάπερ καὶ οἱ παράσιτοι ὀνομαζόμενοι, e ἔχον οὕτως· „ Φῶκος εἶπεν, ὅπως ἂν ἡ βουλὴ ἄγῃ τὰ Ἀπατούρια μετὰ τῶν ἄλλων Ἀθηναίων κατὰ τὰ πάτρια, ἐψηφίσθαι τῇ βουλῇ, ἀφεῖσθαι τοὺς βουλευτὰς τὰς ἡμέρας, ἅσπερ καὶ αἱ ἄλλαι βουλαὶ διαφεῖνται, [1] ἀπὸ τῆς ἡμέρας ἧς οἱ προτένθαι ἄγουσι, πέντε ἡμέρας. " Ὅτι δ' εἶχον οἱ ἀρχαῖοι καὶ τοὺς προγεύστας καλουμένους, Ξενοφῶν ἐν τῷ ἐπιγραφομένῳ Ἱέρωνι ἢ Τυραννικῷ φησίν· „ Ὁ τύραννος οὔτε σιτίοις καὶ ποτοῖς πιστεύων διάγει· ἀλλὰ καὶ τούτων, ἀντὶ [2] τοῦ f ἀπάρχεσθαι θεοῖς, τοῖς διακονοῦσι πρῶτον κελεύουσιν ἀπογεύεσθαι, διὰ τὸ ἀπιστεῖν μὴ καὶ ἐν τούτοις κα-

1 διαφίενται ed. Caſ. 2 πρὶν pro ἀντὶ eſt vulgo apud Xenoph.

ſum praeguſtatorum Dorpia quae vocatur.

Invenio porro etiam decretum, Archonte Cephiſodoro Athenis factum, in quo veluti collegium memorantur Praeguſtatores (οἱ προτένθαι,) quemadmodum etiam Paraſitorum fuit collegium. Verba decreti haec ſunt: *Phocus cenſuit, quo ſenatus Apaturia celebrare poſſit cum caeteris Athenienſibus ex patrio inſtituto, decretum fieri Senatus, vacationem dari ſenatoribus per eos dies, quibus aliae etiam curiae ferias agant; ab illo die quem Protenthae celebrant, per dies quinque.* Fuiſſe vero veteribus etiam hos qui proprie *praegüſtatores* vocantur, ex Xenophontis libro intelligitur, qui Hiero vel Tyrannicus inſcribitur, ubi ait: »Tyrannus ita vitam agit, ut ne his quidem, quae edit & bibit, habeat fidem: ſed, cum ante omnia Diis primitias horum libare debeant, miniſtros contra praeguſtare ea iubent; quoniam verentur, ne in his quo-

κόν τι φάγωσιν ἢ πίωσιν." Ἀναξίλας δ' ἐν Καλυψοῖ φησίν·

a Παραγεύσεταί σοι [1] πρῶτον ἡ γραῦς τοῦ ποτοῦ.

LXXII.

Τοὺς δὲ τὰ πέμματα, προσέτι τε τοὺς ποιοῦντας [2] τοὺς πλακοῦντας, οἱ πρότερον δημιουργοὺς ἐκάλουν. Μένανδρος Ψευδηρακλεῖ, καταμεμφόμενος τοὺς μαγείρους, ὡς ἐπιχειροῦντας καὶ οἷς μὴ δεῖ, φησίν·

Δημιουργοί. Operis pistorii artifices.

Μάγειρ', ἀηδής μοι δοκεῖς εἶναι σφόδρα.
πόσας τραπέζας μέλλομεν ποιεῖν, τρίτον
ἤδη μ' ἐρωτᾷς. χοιρίδιον ἓν θύομεν.
ἀκτὼ ποίησον [3] τὰς τραπέζας, δύο, μίαν·
b τί σοι διαφέρει τοῦτο; παραθήσω [4] μίαν. 5
οὐκ ἔστι κανδύλους ποιεῖν; [5] οὐδ' οἷα σὺ
εἴωθας εἰς ταὐτὸν καρυκεύειν, μέλι,
σεμίδαλιν, ὠά; Πάντα γὰρ τἀναντία

a Προγεύσεταί σοι edd. 2 Τὰς δὲ τὰ πέμματα, & dein. τὰς ποιούσας legendum videtur cum Casaub. 3 Forſ. ποιήσω. 4 παράθες σὺ vulgo. 5 Abſunt vulgo interrogandi ſigna.

que noxium aliquid edant vel bibant. « Anaxilas vero, in Calypso, ait:

Praeguſtabit tibi primum anus iſta potionem.

72. Qui vero [*ſive*, Quae mulieres] bellaria & placentas conficiebant, eos [*ſive*, eas] olim δημιουργοὺς (*artifices*) vocabant. Menander, in Pſeudo-Hercule, coquos vituperans, quod res adgrediantur quae ad ipſos nil pertinent, dicit:

Heus tu coque! valde mihi moroſus eſſe videris.
Iam tertium me interrogas, quot ſimus menſas
poſituri. Porcellum unum immolamus.
Octo menſas ponito, [ſive, ponam,] duas, unam:
tua quid hoc intereſt? Unam ponam.
Nonne licet candylos facere? aliaque quae tu
conſueviſti in unum condire, mel,
ſimilaginem, ova? Omnia enim contraria

νῦν ἐστιν. ὁ μάγειρος γὰρ ἐγχύτους [1] ποιεῖ,
πλακοῦντας ὀπτᾷ, χόνδρον ἑψεῖ, καὶ φέρει
μετὰ τὸ τάριχος, εἶτα θρίον καὶ βότρυς.
ἡ δημιουργὸς δ', ἀντιπαρατεταγμένη,
κρεάδια ὀπτᾷ, καὶ κίχλας, τραγήματα. [2]
Ἔπειθ' ὁ δειπνῶν μὲν τραγηματίζεται·
μυρισάμενος δὲ, καὶ στεφανωσάμενος, πάλιν
δειπνεῖ μεμιγμένα [3] τὰ μελίπηκτα ταῖς κίχλαις.

Ὅτι δὲ ἐκεχώριστο τὰ τῆς ὑπουργίας, πεμμάτων μὲν προνοουσῶν τῶν δημιουργῶν, ὀψαρτυτικῆς δὲ τῶν μαγείρων, Ἀντιφάνης διεσάφησεν ἐν Χρύσιδι οὕτως·

Τέτταρες δ' αὐλητρίδες
ἔχουσι μισθὸν, καὶ μάγειροι δώδεκα,
καὶ δημιουργοὶ, μέλιτος αἰτοῦσαι σκάφας.

1 Corrupte ἐνπιχυχέτους ms. *A*. ἐπιχύτους malebat Pierſ. 2 καὶ τραγήματα vulgo. τὰ τραγήμ. corrigit vir doctus. 3 Vocem μεμιγμένα e coniect. adieci.

nunc ſunt. Coquus epichytos (ſive, *enchytos*) *facit*,
aliasque placentas frigit, alicam coquit, & infert (*menſae*)
poſt ſalſamenta; tum thrium, & uvas.
Huic oppoſita mulier Demiurgos (*artifex*)
carnes aſſat, & turdos, pro bellariis.
Sic, qui coenare vult, bellariis veſcitur:
tum unctus, coronatusque, rurſus
coenat mixta dulciaria turdis.

Discreta autem fuiſſe iſta munera, ita ut opus piſtorium curarent mulieres δημιουργοὶ, obſoniorum autem parandorum curam coqui haberent, Antiphanes declaravit in Chryſide, cum ait:

Quatuor tibicinae
mercede conductae ſunt, & coqui duodecim,
& (totidem) mulieres δημιουργοὶ, quae mellis (integros)
poſtulant alveos.

Μένανδρος, Δημιουργῷ·

Α. Τί τοῦτο, παῖ; διακονικῶς γὰρ, νὴ Δία,
d προελήλυθας. Β. Ναί. πλάττομεν γὰρ πλάσματα,
τὴν νύκτα τ' ἠγρυπνήκαμεν· καὶ νῦν ἔτι
ἀποίητα πάμπολλ' ἐστὶν ἡμῖν. —

Πεμμάτων δὲ πρῶτόν φησι μνημονεῦσαι Πανύασιν Πέμματα.
Σέλευκος, ἐν οἷς περὶ τῆς παρ' Αἰγυπτίοις ἀνθρωποθυσίας διηγεῖται· πολλὰ μὲν ἐπιθεῖναι, λέγων, πέμματα, πολλὰς δὲ νοσσιάδας ὄρνεις· πρότερον Στησιχόρου, ἢ Ἰβύκου, ἐν Ἄθλοις ἐπιγραφομένοις Stesichorus poëta.
εἰρηκότος·

Φέρεσθε τῇ παρθένῳ δῶρα,
e σασαμίδας, χόνδρον τε, καὶ ἐγκρίδας,
ἄλλα τε πέμματα, καὶ μέλι χλωρόν.

Ὅτι δὲ τὸ ποίημα τοῦτο Στησιχόρου ἐστὶν, ἱκανώτα-

Menander, in Demiurgo, (*ſ.* Piſtrice:)

A. *Puer*, [ſive, *puella*,] *quid hoc eſt, quod miniſterialiter*
incedis adeo? B. *Nempe opera ad piſtoria*
tota evigilata nox eſt, atque etiam tamen
infecta reſtant multa. —

Piſtorii operis (τῶν πεμμάτων) primum meminiſſe Panyaſin, ait Seleucus in his quae de humanis ſacrificiis apud Aegyptios narrat; ubi tradit, multum piſtorii operis, multosque avium pullos ſolitos eos eſſe victimis imponere. At iam ante illum Steſichorus aut Ibycus, in Certaminibus quae inſcribuntur, (*ſive*, Ludis,) dixit:

Ferte Virgini munera,
ſeſamidas, alicamque, & encridas,
aliasque placentas, cum melle recente.

Eſſe autem carmen illud Steſichori, idoneus in primis

τος μάρτυς Σιμωνίδης ὁ ποιητής· ὃς, περὶ τοῦ Μελεάγρου τὸν λόγον ποιούμενος, φησίν·

Ὃς δουρὶ πάντας νίκασε νέους,
δινάεντα βαλὼν Ἄναυρον ὑπὲρ
πολυβότρυος ἐξ Ἰωλκοῦ.
οὕτω γὰρ Ὅμηρος ἠδὲ Στασίχορος
ἄεισε λαοῖς.

Ὁ γὰρ Στησίχορος οὕτως εἴρηκεν ἐν τῷ προκειμένῳ ᾄσματι, τοῖς Ἄθλοις·

Θρῴσκων μὲν γὰρ Ἀμφιάραος,
ἄκοντι δὲ νίκασεν Μελέαγρος.

LXXIII. Delii, eleodytae.

Οὐκ ἀγνοῶ δὲ καὶ περὶ Δηλίων ἃ Ἀπολλόδωρος ὁ Ἀθηναῖος εἴρηκεν, ὅτι μαγείρων καὶ τραπεζοποιῶν παρείχοντο χρείας τοῖς παραγινομένοις πρὸς τὰς ἱερουργίας· καὶ ὅτι ἦν αὐτοῖς ἀπὸ τῶν πράξεων ὀνόματα, Μαγὶς,[1] καὶ Γογγύλος· ἐπειδὴ τὰς μάζας

1 Μάγαδις edd. cum ms. *A*. Μάγασις *Ep*. Forsan Μαγίδες καὶ

testis Simonides est poëta; qui, ubi de *Meleagro* verba facit, dicit:

Qui hastâ omnes superavit iuvenes,
vorticosum iaculatus ultra Anaurum
uvis-divite ex Iolco.
Sic enim Homerus atque Stesichorus
cecinit populis.

Nam sic Stesichorus dixerat in praedicto carmine, cui Ludi titulus:

Saltu quidem enim Amphiaraus,
iaculo vero superavit Meleager.

73. Nec vero ignoro quae de Deliis Apollodorus dixit Athenienſis, praestitisse eos his, qui sacrorum faciendorum caussâ Delum veniebant, coquorum & structorum ministerium: fuisseque eis ab ipsa re nomina, *Mazas*, & *Turundae*; quoniam *mazas* (ut ait Aristopha-

a (φησὶν Ἀριστοφάνης) [1] ἐν ταῖς θοίναις δι' ἡμέρας τρίβοντες παρεῖχον, ὥσπερ γυναιξὶ, γογγύλας μεμαγμένας. καλοῦνται δὲ καὶ μέχρι νῦν τινες αὐτῶν Χοίρακοι, καὶ Ἀμνοὶ, καὶ Ἀρτυσίλεω, καὶ Σήσαμοι, καὶ Ἀρτυσίτραγοι, καὶ Νεωκόροι, καὶ Ἰχθυβόλοι· τῶν δὲ γυναικῶν, Κυμινάνθαι· κοινῇ δὲ πάντες Ἐλεοδύται, διὰ τὸ τοῖς ἐλεοῖς ὑποδύεσθαι, διακονοῦντες ἐν ταῖς θοίναις. Ἐλεὸς δ' ἐστὶν ἡ μαγειρικὴ τράπεζα. Ὅμηρος·

Αὐτὰρ ἐπεὶ ῥ' ὤπτησε καὶ εἰν ἐλεοῖσιν ἔθηκε. [2]

b Ὅθεν καὶ Πολυκράτων ὁ Κρίθωνος, Ῥηναιεὺς, [3] δίκην γραφόμενος, οὐ Δηλίους αὐτοὺς ὀνομάζει, ἀλλὰ τὸ κοινὸν τῶν Ἐλεοδυτῶν ἐπητιάσατο. καὶ ὁ τῶν Ἀμφικτυόνων δὲ νόμος κελεύει ὕδωρ παρέχειν ἐλεοδύτας· τοὺς τραπεζοποιοὺς καὶ τοὺς τοιούτους διακόνους ση-

Γογγύλοι oportebat. 1 Ἀριστοτέλης vulgo; & paulo post ὥσπερ ἐν (forsan ὡσπερεὶ debuerant) γυναιξὶ γογγύλας μεμιγμένας. 2 ἔχευε vulgo apud Hom. 3 Ῥηναίους ed. Caſ. cum mss.

nes) *toto die terentes* in coenis praebebant, *veluti mulieribus, turundas ſubactas.* Adpellantur vero etiam ad hunc diem nonnulli eorum Porcelli, & Agni, & Artyſilai, & Seſami, & Artyſitragi, & Aeditui, & Piſcatores: mulierum vero nonnullae, Cuminanthae: in commune vero omnes *Eleodytae*, quod in conviviis miniſtrantes τοῖς ἐλεοῖς ὑποδύονται, id eſt, *menſas coquinarias ſubeunt:* eſt enim ἐλεὸς, *menſa coquinaria.* Homerus:

At poſtquam aſſavit, & menſis (τοῖς ἐλεοῖς) *impoſuit.*

Quare etiam Polycrato, Crithonis filius, Rhenaeenſis, cum dicam eis ſcriberet, non *Delios* nominavit, ſed actionem ſuam inſcripſit *Adverſus commune Coquorum.* (τῶν ἐλεοδυτῶν.) Eſtque lex Amphictyonum, quae *Eleodytas* iubet *aquam praebere;* ſignificans ea voce menſa-

μαίνων. Κρίτων δ' ὁ κωμῳδιοποιὸς ἐν Φιλοπράγμονι, [1] παρασίτους τοῦ θεοῦ καλεῖ τοὺς Δηλίους, διὰ τούτων·

Φοίνικα, μεγάλου κύριον βαλλαντίου,
ναύκληρον ἐν τῷ λιμένι ποιήσας ἄπλουν,
καὶ Φορμιῶσαι [2] ναῦς ἀναγκάσας δύο, c
εἰς Δῆλον ἐλθεῖν ἠθέλησ' ἐκ Πειραιῶς·
πάντων ἀκούων, διότι παρασίτῳ τόπος
οὗτος τρία μόνος [3] ἀγαθὰ κεκτῆσθαι δοκεῖ·
εὔοψον ἀγορὰν, παντοδαπὸν οἰκοῦντ' ὄχλον,
αὐτοὺς παρασίτους τοῦ θεοῦ τοὺς Δηλίους.

LXXIV. Delphi καρυκοποιοί.

Ἀχαιὸς δ' ὁ Ἐρετριεὺς ἐν Ἀλκμαίωνι τῷ Σατυρικῷ καρυκοποιοὺς [4] καλεῖ τοὺς Δελφοὺς, διὰ τούτων· d

Καρυκοποιοὺς προσβλέπων βδελύττομαι.

παρόσον τὰ ἱερεῖα περιτέμνοντες, δῆλον ὡς ἐμαγεί-

1 Temere Φιλοπαίγμονι ed. Caſ. 2 ἀφορμίσασθαι corr. Caſaub. Equidem in corrupto verbo latere φωριᾶσαι ſuſpicatus ſum, lubricâ utique coniecturâ. 3 μόνον vulgo. 4 καρυκοποιοὺς ed. Caſ. cum ms. *A.* & ſic mox iterum.

rum ſtructores & eius generis miniſtros. Crito vero comicus, in Curioſo, *paraſitos Dei* vocat Delios:

Phoenicium, grandis dominum crumenae,
nauclerum cum feciſſet ut portu ſolvere non poſſet;
& furto abducere duas coëgiſſet naves;
Delum ire voluit e Piraeeo.
Audiverat nempe ex omnibus, unum iſtum locum
tria paraſito bona videri poſſidere:
forum abundans obſonio, omnifariam incolarum turbam,
ipſos paraſitos Dei Delios.

74. Achaeus vero Eretrienſis, in Alcmaeone, Satyrica fabula, καρυκοποιοὺς (*condimentorum artifices*) vocat Delphenſes, cum ait:

Καρυκοποιοὺς *iſtos adſpiciens abominor.*

quatenus ſcilicet victimas praecidebant, easque coque-

ρευον αὐτὰ καὶ ἐκαρύκευον. εἰς ταῦτα δὲ ἀποβλέπων καὶ Ἀριστοφάνης ἔφη,

Ἀλλ' ὦ Δελφῶν πλείστας ἀκονῶν, Φοῖβε, μαχαίρας,
καὶ προδιδάσκων τοὺς σοὺς προπόλους.

καὶν τοῖς ἑξῆς δ' ὁ Ἀχαιός φησιν·

— — Τί ὑποκεκρυμμένος μένεις,
σαραμβικῶν [1] κοπίδων συνομώνυμε; —

e Ἐπισκώπτουσι γὰρ οἱ Σάτυροι τοὺς Δελφοὺς, ὡς περὶ τὰς θυσίας καὶ τὰς θοίνας διατρίβοντας. Σῆμος δ' ἐν τετάρτῳ Δηλιάδος· „Δελφοῖς, φησὶ, παραγινομένοις εἰς Δῆλον παρεῖχον Δήλιοι ἅλας, καὶ ὄξος, καὶ ἔλαιον, καὶ ξύλα, καὶ στρώματα.“ Ἀριστοτέλης δ', ἢ Θεόφραστος, ἐν τοῖς Ὑπομνήμασι, περὶ Μαγνήτων λέγων, τῶν ἐπὶ τοῦ Μαιάνδρου ποταμοῦ, ὅτι Δελφῶν εἰσιν ἄποικοι, τοσαύτας ἐπιτε-

1 Vulgo Τίς ὑποκεκρ. μένει σαραβάκων κοπ.

bant & condiebant. Quod reſpiciens etiam Ariſtophanes dixit:

At o Delphenſium plurimos acuens, Phoebe, cultros,
& ante docens tuos miniſtros.

Tum vero in ſequentibus Achaeus ait:

— — *Quid occultus manes,*
tu qui a Sarambicis [i. e. coquinariis] *cultris nomen habes?*

Rident enim Satyri Delphorum incolas, quod circa ſacrificia & epulas aſſidue verſentur. Semus, quarto Deliadis: » Delphenſibus, ait, Delum venientibus praebebant Delii ſalem & acetum & oleum & ligna & ſtragula.« Ariſtoteles vero, vel Theophraſtus, in Commentariis, poſtquam de Magnetibus Maeandrum fluvium adcolentibus dixit, eſſe eos Delphenſium colo-

λοῦντας αὐτοὺς ποιεῖ χρείας τοῖς παραγιγνομένοις τῶν ξένων, λέγων οὕτως· „Μάγνητες, οἱ ἐπὶ τῷ f
Μαιάνδρῳ ποταμῷ κατοικοῦντες, ἱεροὶ τοῦ Θεοῦ, Δελφῶν ἄποικοι, παρέχουσι τοῖς ἐπιδημοῦσι στέγην, ἅλας, ἔλαιον, ὄξος, ἐπίλυχνον, κλίνας, στρώματα, τραπέζας.“ Δημήτριος δ' ὁ Σκήψιος, ἐν ἑκκαιδεκάτῳ τοῦ Τρωϊκοῦ διακόσμου, ἐν τῇ Λακωνικῇ φησιν, ἐπὶ τῆς ὁδοῦ τῆς καλουμένης Ὑακινθίδος, ἱδρύσθαι
Daeton & Ceraon, heroës. ἥρωας Δαίτωνα [1] καὶ Κεράωνα ὑπὸ τῶν ἐν τοῖς Φειδιτίοις ποιούντων τε τὰς μάζας, καὶ κεραννύντων τὸν a
οἶνον διακόνων. ὁ δ' αὐτὸς ἱστορεῖ κἀν τῷ τετάρτῳ καὶ εἰκοστῷ τῆς αὐτῆς πραγματείας, Δαίταν ἥρωα τιμώμενον παρὰ τοῖς Τρωσὶν, οὗ μνημονεύειν Μίμνερμον. κἀν Κύπρῳ δέ φησι τιμᾶσθαι Ἡγήσανδρος ὁ Δελφὸς Δία Εἰλαπιναστήν τε καὶ Σπλαγχνοτόμον.

1 Μάττωνα legendum putarunt viri docti e loco superiore.

nos, eamdem operam praestantes facit peregrinis qui eos conveniunt. Verba eius haec sunt: » Magnetes, qui ad Maeandrum fluvium habitant, Deo consecrati, Delphensium coloni, peregrinantibus, qui eos conveniunt, tectum praebent, salem, oleum, acetum, lucernam, stragulas, lectos, mensas.« Demetrius Scepsius, decimo sexto Ordinationis Troianae, ait, in Laconica, in via quae Hyacinthis vocatur, statuas esse positas heroum *Daetonis* & *Ceraonis*, consecratas ab eis qui in Phiditiis mazas conficiunt, & miscendo vino ministrant. Idem vero etiam, quarto & vicesimo eiusdem operis libro, *Daetam* heroëm tradit a Troianis coli, cuius mentionem facere ait Mimnermum. Similiter vero, in Cypro, Hegesander Delphus ait, coli *Iovem* Εἰλαπιναστὴν, (*Epulonem*) & Σπλαγχνοτόμον. (id est, *Extorum sectorem.*)

Πολλῶν δὲ τοιούτων ἔτι λεγομένων, ἐκ τῶν γειτόνων τις ἐξηκούσθη ὑδραύλεως ἦχος, πάνυ τις[1] ἡδὺς καὶ τερπνὸς, ὡς πάντας ἡμᾶς ἐπιστραφῆναι, θελχ- LXXV. Organum hydraulicum.
b θέντας ὑπὸ τῆς ἐμμελείας. καὶ ὁ Οὐλπιανὸς ἀποβλέψας πρὸς τὸν μουσικὸν Ἀλκείδην· Ἀκούεις, ἔφη, μουσικώτατε ἀνδρῶν, τῆς καλῆς ταύτης εὐφωνίας, ἥτις ἡμᾶς ἐπέστρεψε πάντας, κατακηληθέντας ὑπὸ τῆς μουσικῆς; καὶ οὐχ, ὡς παρ' ὑμῖν τοῖς Ἀλεξανδρεῦσι, πολὺς ὁ μόναυλος ἀλγηδόνα μᾶλλον τοῖς ἀκούουσι παρέχων, ἤ τινα τέρψιν μουσικήν. Καὶ ὁ Ἀλκείδης ἔφη· Ἀλλὰ μὴν καὶ τὸ ὄργανον τοῦτο, ἡ ὕδραυλις, εἴτε τῶν ἐνταθῶν αὐτὸ θέλεις, εἴτε τῶν ἐμπνευστῶν, Ἀλεξανδρέως ἐστὶν ἡμεδαποῦ εὕρημα,
c κουρέως τὴν τέχνην· Κτησίβιος δ' αὐτῷ τοὔνομα. ἱστορεῖ δὲ τοῦτο Ἀριστοκλῆς ἐν τῷ περὶ Χορῶν, οὑτωσί πως λέγων· „Ζητεῖται, πότερα τῶν ἐμπνευστῶν ἐστιν Eius inventor Ctesibius.

1 Immo πάνυ τι.

75. Talia adhuc multa dum confabulabantur convivae, auditus est e propinquo *organi hydraulici* sonus quidam, suavis admodum & iucundus, ut cunctos nos in se converteret, modulorum concinnitate delectatos. Tum Ulpianus, musicum respiciens Alcidem: Audis-ne, inquit, musices omnium peritissime, pulcrum hunc concentum, qui nos omnes in se convertit, musices voluptate adlectos? Neque, quemadmodum apud vos Alexandrinos, frequens *monaulus* frigus magis adfert audientibus, quam delectationem aliquam musicam. Et Alcides: Atqui instrumentum hoc, *hydraulis* quae vocatur, sive illud eorum in numero ponere velis quae fidibus tenduntur, sive eorum quae inflantur, Alexandrini nostratis inventum est, tonsoris professione, cui Ctesibius nomen fuit. Tradit hoc Aristocles in libro de Choris, ita fere dicens: » Quaeritur, hydraulis utrum ex instru-

ὀργάνων ἡ ὕδραυλις, ἢ τῶν ἐντατῶν; Ἀριστόξενος μὲν οὖν τοῦτο οὐκ οἶδε. λέγεται δὲ, Πλάτωνα μικράν τινα ἔννοιαν δοῦναι τοῦ κατασκευάσματος, νυκτερινὸν ποιήσαντα ὡρολόγιον ἐοικὸς τῷ ὑδραυλικῷ, οἷον κλεψύδραν μεγάλην λίαν. καὶ τὸ ὑδραυλικὸν δὲ ὄργανον δοκεῖ κλεψύδρα εἶναι. ἐντατὸν οὖν καὶ καθαπτὸν οὐκ ἂν νομισθείη· ἐμπνευστὸν δ' ἂν ἴσως ῥηθείη, διὰ τὸ d ἐμπνεῖσθαι τὸ ὄργανον ὑπὸ τοῦ ὕδατος. κατεστραμμένοι γάρ εἰσιν οἱ αὐλοὶ εἰς τὸ ὕδωρ· καὶ ἀρασσομένου [1] τοῦ ὕδατος ὑπό τινος νεανίσκου, ἔτι δὲ διϊκνουμένων ἀξόνων [2] διὰ τοῦ ὀργάνου, ἐμπνέονται οἱ αὐλοὶ, καὶ ἦχον ἀποτελοῦσι προσηνῆ. ἔοικε δὲ τὸ ὄργανον βωμῷ στρογγύλῳ. καί Φασι τοῦτο εὑρῆσθαι ὑπὸ Κτησιβίου κουρέως, ἐνταῦθα οἰκοῦντος ἐν τῇ Ἀσπενδίᾳ [3] ἐπὶ τοῦ δευτέρου Εὐεργέτου, διαπρέψαι τέ Φασι

1 ταρασσομένου corr. Coray. 2 ἀξινῶν edd. vett. cum mss. 3 Aut Ἀλεξανδρείᾳ aut neſcio quid aliud ſub iſto nomine latere videtur. Ἐν τῇ Ἀσπενδίου corr. Villebr.

mentis ſit quae inflantur, an ex iis quae intenduntur? Ariſtoxenus quidem hoc ignoravit. Platonem vero aiunt parvam quamdam notionem huius fabricae oſtendiſſe, nocturnum faciens horologium hydraulico ſimile, veluti clepſydram admodum magnam. Et videtur ipſum organum hydraulicum clepſydra eſſe. Igitur non in eorum numero habendum fuerit, quae tenduntur pulſanturque: inſpiratum vero forſan rectius dicetur, quoniam ab aqua ſpiritum accipit. Nam in aquam obverſae ſunt fiſtulae: & aquam agitante iuvene aliquo, axibusque per inſtrumentum pervadentibus, inflantur fiſtulae, & gratum edunt ſonum. Simile eſt autem hoc organum arae rotundae: dicuntque inventum eſſe a Cteſibio tonſore, hîc habitante in Aſpendia [*ſive*, Alexandriae] ſub ſecundo Evergete, & valde aiunt excelluiſſe: hunc ve-

e μεγάλως. τουτονὶ οὖν καὶ τὴν αὐτοῦ [1] διδάξαι γυναῖκα Θαΐδα. " Τρύφων δ', ἐν τρίτῳ περὶ Ὀνομασιῶν, (ἔστι δὲ τὸ σύγγραμμα περὶ Αὐλῶν καὶ ὀργάνων·) συγγράψαι φησὶ περὶ τῆς Ὑδραύλεως Κτησίβιον τὸν μηχανικόν. ἐγὼ δὲ οὐκ οἶδα εἰ περὶ τὸ ὄνομα σφάλλεται. Ὁ μέν τοι Ἀριστόξενος προκρίνει τὰ ἔντατα καὶ κάθαπτα τῶν ὀργάνων τῶν ἐμπνευστῶν, ῥάδια εἶναι φάσκων τὰ ἐμπνευστά· πολλοὺς γὰρ μὴ διδαχθέντας, αὐλεῖν τε καὶ συρίζειν ὥσπερ τοὺς ποιμένας.

LXXVI. Gingrus, tibia apud *Phoenices*.

Καὶ τοσαῦτα μὲν ἔχω σοι ἐγὼ λέγειν περὶ τοῦ f ὑδραυλικοῦ ὀργάνου, Οὐλπιανέ. γιγγραΐνοισι [2] γὰρ οἱ Φοίνικες, ὥς φησιν ὁ Ξενοφῶν, [3] ἐχρῶντο αὐλοῖς, σπιθαμιαίοις τὸ μέγεθος, ὀξὺ καὶ γοερὸν φθεγγομένοις. τούτοις δὲ καὶ οἱ Κᾶρες χρῶνται ἐν τοῖς θρήνοις· εἰ μὴ ἄρα καὶ ἡ Καρία Φοινίκη ἐκαλεῖτο, ὡς παρὰ Κο-

1 αὐτοῦ ms. *A.* 2 γιγραΐνοισι ms. *A.* & edd. 3 Suspectum h. l. *Xenophontis* nomen tenent libri omnes.

ro etiam uxorem ſuam Thaidem docuiſſe." Tryphon vero, tertio libro de Denominationibus, (agitur autem eo libro de Tibiis & Inſtrumentis muſicis) librum de Hydrauli edidiſſe ait Cteſibium mechanicum. Ego vero neſcio an in nomine erraverit. Caeterum Ariſtoxenus inſtrumenta muſica quae tenduntur pulſanturque praefert his quae inflantur; facilia dicens eſſe haec quae inflantur: multos enim, qui non didicerint, & tibia & fiſtula canere, veluti paſtores.

76. Et haec quidem habeo, Ulpiane, quae de organo hydraulico tibi dicam. Gingraïnis enim Phoenices, ut ait Xenophon, utebantur tibiis, ſpithamae longitudine, acutum & lugubrem ſonum edentibus. His vero etiam Cares utuntur in defunctorum luctu: niſi forte Caria etiam *Phoenice* nominata eſt, ut apud Corin-

ρίννη καὶ Βακχυλίδη ἐστὶν εὑρεῖν. ὀνομάζονται δὲ οἱ αὐλοὶ γίγγροι ὑπὸ τῶν Φοινίκων, ἀπὸ τῶν περὶ Ἄδωνιν θρήνων· τὸν γὰρ Ἄδωνιν Γίγγρην [1] καλεῖτε ὑμεῖς οἱ Φοίνικες, ὡς ἱστορεῖ Δημοκλείδης. μνημονεύει τῶν γίγγρων αὐλῶν [2] Ἀντιφάνης ἐν Ἰατρῷ, καὶ Μένανδρος a ἐν Καρίνῃ, Ἄμφις τε ἐν Διθυράμβῳ, λέγων οὕτως·

Gingras, Adonis apud Phoenices.

Α. Ἐγὼ δὲ τὸν γίγγραν τε [3] τὸν σοφώτατον. . .
Β. Τίς δ' ἔσθ' ὁ γίγγρας; Α. Καινὸν ἐξεύρημά τι
ἡμέτερον· ὃ θεάτρῳ μὲν οὐδὲ πώποτε
ἐδείχθη, Ἀθήνησιν δὲ κατακεχρημένον
ἐν συμποσίοις ἥδιστον. Β. Διὰ τί [4] δ' οὐκ ἄγεις
εἰς τὸν ὄχλον αὐτό; Α. Διότι φυλὴν περιμένω
σφόδρα φιλονεικοῦσαν λαχεῖν τιν'· οἶδα γὰρ, b
ὅτι πάντα πράγματ' ἀνατριαινῶσι [5] κρότοις.

Καὶ Ἀξιόνικος ἐν Φιλευριπίδῃ·

1 Γίγγριν Euſtath. cum *Epit.* 2 αὐτῶν edd. 3 An γίγγραντα? 4 Forſ. ἥδιστόν ἐστι. Α. Τί δ' οὐχ. 5 Vulgo ἀνατριαίνωσι. Rectius fortaſſe ἀνατριαινοῦσι fuerat.

nam & Bacchylidem reperitur. Nominantur autem tibiae a Phoenicibus *gingri*, ob lamenta quibus Adonim deflent: Adonim enim vos Phoenices *Gingren* vocatis, ut tradit Democlides. Mentionem facit gingrorum tibiarum Antiphanes in Medico, & Menander in Carina, & Amphis in Dithyrambo; cuius haec ſunt verba:

A. *Ego vero gingran illum ſapientiſſimum. . .*
B. *Ecquis iſte gingras?* A. *Novum inventum quoddam noſtrum: quod in theatro quidem numquam adhuc eſt productum, ſed Athenis uſitatum in conviviis iucundiſſimum.* B. *Cur vero illud in publicum non producis?* A. *Quia tribum exſpecto valde ambitioſam me fortiturum aliquam: ſcio enim, fore ut adplauſu ſuo omnia ſusque deque miſceat populus.*

Et Axionicus id Phileuripide:

Οὕτω γὰρ ἐπὶ τοῖς μέλεσι τοῖς Εὐριπίδου
ἄμφω νοσοῦσιν, ὥστε τ' ἄλλ' αὐτοῖς δοκεῖν
εἶναι μέλη γιγγραντὰ καὶ κακὸν μέγα.

LXXVII. Πόσῳ δὲ κρεῖττον, ὦ Οὐλπιανὲ σοφώτατε, τὸ ὑδραυλικὸν τοῦτο ὄργανον τοῦ καλουμένου νάβλα· ὃν Nablas f. Nablium. c φησι Σώπατρος ὁ παρῳδὸς, ἐν τῷ ἐπιγραφομένῳ δράματι Πύλαι, Φοινίκων εἶναι καὶ τοῦτον εὕρημα; λέγει δ' οὕτως·

— — Οὔτε Σιδωνίου νάβλα
λαρυγγοφώνος ἐκκεχόρδωται τύπος. [1]

Καὶ ἐν Μυστακοῦ [2] δὲ θητίῳ φησίν·

Νάβλας ἐν ἄρθροις γραμμάτων, οὐκ εὐμελὴς,
ᾧ λωτὸς ἐν πλευροῖσιν ἄψυχος παγεὶς [3]
ἔμπνουν ἀνίει μοῦσαν· ἐγρέτου δέ τις [4]

1 An κτύπος? 2 Alibi Μυστάκου scribitur. 3 Vulgo παγίς. Ista una in corupto fragmento certa emendatio. Alia multa licenter mutavit Dalech. in versione, quam subieci. Nil iuvabant libri. 4 Forſ. ἔγρε τ' οὐδέ τις.

Tanto ſtudio carminum Euripidis
tenentur ambo, ut alia omnia videantur illis
gingrina (querula) carmina & magnum malum.

77. Sed quanto praeſtat, o ſapientiſſime Ulpiane, hydraulicum iſtud organum ei qui *nablas* vocatur? quem Sopater Parodus, in dramate quod Porta inſcribitur, pariter a Phoenicibus inventum fuiſſe ait, his verbis:

Nec Sidonii nablae (ſive, *nablii*)
ſonorae labefactatae ſunt fides.

Et in Myſtaci ſervulo-mercenario:

[*Inter alia muſicorum inſtrumenta Nablas ſuaviter canorus eſt:*
cuius lateribus affixa lotus inanima
emittit ſpirantem & animatam muſam, voluptatemque affert,

τὸν ἡδονῆς μελῳδὸν εὐάζων χορόν. d

Φιλήμων ἐν Μοιχῷ·

Α. Ἔδει παρεῖναι, Παρμένων, αὐλητρίδ' ἢ
νάβλαν τιν'. Β. Ὁ δὲ νάβλας τί ἐστιν; — [1]
Α. Οὐκ οἶδας; ἐμβρόντητε σύ. Β. Μὰ Δί', οὔ.
Α. Τί φής;
οὐκ οἶσθα νάβλαν; οὐδὲν οὖν οἶδας [2] ἀγαθὸν
σύ γ'. οὐδὲ σαμβυκίστριαν;

Triangulum, & Sambuca, inſtrumenta muſica.

Καὶ τὸ τρίγωνον δὲ καλούμενον ὄργανον, Ἰόβας ἐν τετάρτῳ Θεατρικῆς Ἱστορίας, Σύρων εὕρημά φησιν εἶναι, ὡς καὶ τὸν καλούμενον λυροφοίνικα σαμβύκην. τοῦτο δὲ τὸ ὄργανον Νεάνθης ὁ Κυζικηνὸς, ἐν e πρώτῳ Ὡρων, [3] εὕρημα εἶναι λέγει Ἰβύκου τοῦ Ῥηγίνου ποιητοῦ· ὡς καὶ Ἀνακρέοντος, τὸ βάρβιτον. Ἐπεὶ δὲ ἡμῶν τῶν Ἀλεξανδρέων κατατρέχεις ὡς ἀμούσων, καὶ τὸν μόναυλον συνεχῶς ὀνομάζεις ἐπιχωριά-

1 εἰπέ μοι ſupplet Caſaub. 2 Vulgo οἶσθ' ἀγ. 3 Ὡρῶν vulgo.

chorum verſus-decantantem exhilarans, ac Bacchico furore commovens.]

Philemon, in Adultero:

A. *Oportebat adeſſe, Parmeno, tibicinam aut nablam aliquem.* B. *Nablas vero quid eſt?*
A. *Non noſti? veſane tu.* B. *Per Iovem, non.* A. *Quid ais? Nablam tu non noſti? nihil ergo noſti bonum tu. Et ne ſambuciſtriam quidem?*

Porro vero etiam *Triangulum* Iuba, quarto libro Hiſtoriae Theatralis, Syrorum inventum eſſe ait, quemadmodum & *Sambucam*, quae *Lyrophoenix* vocatur. Hoc autem inſtrumentum Neanthes Cyzicenus, primo libro Annalium, inventum ait eſſe Ibyci Rhegini poëtae; quemadmodum Anacreontis, barbiton. Quoniam vero nos Alexandrinos inſectaris, tamquam muſicae imperitos, & *monaulon* frequenter nominas, patrium & in-

ζοντα παρ' ἡμῖν, ἄκουε καὶ περὶ αὐτοῦ ἃ νῦν ἔχω σοι λέγειν ἐν προχείρῳ.

LXXVIII. Monaulos, tibia simplex.

Ἰόβας μὲν γὰρ, ἐν τῷ προειρημένῳ συγγράμματι, Αἰγυπτίους φησὶ λέγειν τὸν μόναυλον Ὀσίριδος εἶναι εὕρημα, καθάπερ καὶ τὸν καλούμενον Φώτιγγα πλαγίαυλον, οὗ καὶ αὐτοῦ παραστήσομαι μνημονεύοντα ἐλλόγιμον ἄνδρα. ἐπιχωριάζει γὰρ καὶ ὁ Φώτιγξ αὐλὸς παρ' ἡμῖν. Τοῦ δὲ μοναύλου μνημονεύει Σοφοκλῆς μὲν ἐν Θαμύρᾳ,[1] οὕτως·

Οἴχωκε γὰρ κροτητὰ πηκτίδων μέλη,
λύρα, μόναυλος, ἥ τε χειμώνων πλέως
ναὸς στέρημα κωμώσης.[2]

Ἀραρὼς δ' ἐν Πανὸς γοναῖς·

Ὁ δ' ἁρπάσας[3] μόναυλον εὐθὺς (πῶς δοκεῖς;)

1 Forf. Θαμύριδι. 2 Ῥῆσις, quam desperarunt doctissimi viri, inde a secundo versu in membranis sic scribitur: λύρα μόναυλοί τε in ms. *Epit.* ubi desunt caetera. λύρα μοναύλοις τε χειμωντεως ναος (sic absque accentibus) στέρημα κωμασάσης in ms. *A.* 3 Vulgo Ἁρπάσας, absque Ὁ δ'.

digenam apud nos; accipe de hoc etiam quae nunc in promtu habeo tibi dicere.

78. Nempe Iuba in libro modo laudato ait, Aegyptios dicere, esse monaulon Osiridis inventum, pariterque *photingem*, qui vocatur, quae obliqua tibia est, cuius etiam mentionem facientem praestabo tibi nobilem auctorem: est enim etiam photinx tibia apud nos indigena. Monauli igitur meminit Sophocles in Thamyra, ubi ait:

Periere enim modulata pectidum carmina,
lyra, monaulos, & . . . . . .
. . . . . .

Araros, in Panis Generatione,

Ille vero, arrepto monaulo, statim (quid putas?)

κούφως ἀνήλλετο. — —
Ἀναξανδρίδης δ' ἐν Θησαυρῷ·
— — — — Ἀναλαβὼν
μόναυλον, ὕλουν τὸν ὑμέναιον. — —
καὶ ἐν Φιαληφόρῳ.
Α. — Τὸν [1] μόναυλον ποῖ τέτροφας; οὗτος Σύρε.
Β. Ποῖον μόναυλον; Α. Τὸν κάλαμον. —
Σώπατρος, Βακχίδι·
Καὶ τὸν μόναυλον [2] μέλος ἤχησε.
Πρωταγορίδης δ' ὁ Κυζικηνὸς, ἐν δευτέρῳ Περὶ τῶν ἐπὶ Δάφνῃ πανηγύρεων, φησίν· „Παντὸς δὲ ὀργάνου κατάμιτον [3] ἧπται, κροτάλων, ὑπὸ φανοῦ [4] πανδούρου· τῷ τε ἡδεῖ μοναύλῳ τὰς ἡδίστας ἁρμονίας ἀναμινυρίζει. " Ποσειδώνιος δ', ὁ ἀπὸ τῆς Στοᾶς φιλόσοφος, ἐν τῇ τρίτῃ τῶν Ἱστοριῶν διηγούμενος περὶ τοῦ Ἀπαμέων πρὸς Λαρισσαίους πολέμου, γράφει τάδε· „Πα-

1 Forſ. Καὶ τὸν. 2 Deeſſe λαβὼν vel ἀναλαβὼν monuit Caſaub. quo tamen ſuppleto nondum iuſtus prodit verſus. 3 κατὰ μίτον aut καταμίτου legit Caſ. 4 ὑποφάνου πανδ. corr. Villebr. καὶ κροτάλων, ἡδυφώνου τε πανδ. Caſaub.

leviter exfiliit.

Anaxandrides in Theſauro:

Sumto monaulo, hymenaeum accinebant.

& in Phialophoro:

A. *Heus Syre! de monaulo quid feciſti?*

B. *Qualem monaulum dicis?* A. *Fiſtulam ex arundine.*

Sopater, in Bacchide:

Et (ſumto) monaulo carmen eecinit.

Protagorides vero Cyzicenus, libro ſecundo de Ludorum ad Daphnen celebritate, ait: »Omni vero inſtrumento fidibus intenſo canit, crotalis, humilem ſonum edente panduro; dulcique monaulo ſuaviſſimas harmonias cantillat.« Poſidonius vero, ex Stoa philoſophus, tertio Hiſtoriarum exponens Apameorum bellum cum La-

ραζωνίδια καὶ λογχάρια ἀνειληφότες, ἰῷ καὶ ῥύπῳ κεκρυμμένα· πετάσια [1] δ' ἐπιτεθειμένοι καὶ προσκόπια, [2] σκιὰν μὲν ποιοῦντα, καταπνεῖσθαι δ' οὐ κωλύοντα τοὺς τραχήλους· ὄνους ἐφελκόμενοι γέμοντας
c οἴνου καὶ βρωμάτων παντοδαπῶν, οἷς παρέκειτο φωτίγγια καὶ μοναύλια· κώμων, οὐ πολέμων, ὄργανα." Οὐκ ἀγνοῶ δέ, [3] ὅτι Ἀμερίας ὁ Μακεδὼν ἐν ταῖς Γλώσσαις, τιτύρινόν φησι καλεῖσθαι τὸν μόναυλον. Ἴδε ἀπέχεις, καλὲ Οὐλπιανέ, καὶ τὸν τῆς Φώτιγγος μνημονεύοντα. Ὅτι δὲ ὁ μόναυλος ἦν ὁ νῦν καλούμενος καλαμαύλης, σαφῶς παρίστησιν Ἡδύλος ἐν τοῖς Ἐπιγράμμασιν, οὕτωσὶ λέγων· Hedyli epigramma.

Τοῦτο Θέων ὁ μόναυλος ὑπ' ἠρίον ὁ γλυκὺς οἰκεῖ
αὐλητὴς, μίμων κἠν [4] θυμέλῃσι χάρις.

1 πεταστὰ vulgo. πετάσους vel πέτασα corr. Caſ. 2 προσώπια ed. Caſaub. quod in latina verſione expreſſimus. 3 Haec ῥῆσις, Οὐκ ἀγνοῶ δὲ &c. poſt iſtam Ἴδε ἀπέχεις collocanda videtur: quemadmodum in verſione a nobis factum. 4 μίμῳ κἠν edd. μιμωμένην ms. *A*. (In ms. *Epit.* totum deeſt.)

riſſaeis, haec ſcribit: »Pugiunculos illi & parvulas lanceas ſumſerunt, aerugine & ſordibus obſitas: petaſunculis caput, perſonis faciem tectam habebant, quibus praeſtaretur umbra, nec vero ventus prohiberetur quo minus cervices perflaret: aſellos [vaſis id genus eſt] circumferebant vino & variis ciborum generibus repletos, adiunctis photingiis & monaulis, comeſſationum inſtrumentis, non bellorum.« Ecce habes, praeclare Ulpiane, etiam auctorem qui *photingis* fecit mentionem. Nec vero me latet, Ameriam Macedonem in Gloſſis ſcripſiſſe, *tityrinum* adpellari monaulum. Fuiſſe vero monaulum, qui nunc καλαμαύλης vocetur, perſpicue docet Hedylus in Epigrammatibus, ubi ait:

Hoc Theon monaulos ſub tumulo habitat dulcis
tibicen, inter mimos & in pulpito gratia excellens.

τυφλὸς ὑπαὶ γήρως οἴχωκε· Σκιρπάλου υἱός. [1] d
νηπίαχόν τ' ἐκάλει Σκίρπαλος Εὐπάλαμον, [2]
ἀείδων [3] αὐτοῦ τὰ γενέθλια· τοῦτο γὰρ εἶπε, [4] 5
πασᾶν τᾶν ἀρετᾶν [5] ἥδυσμα [6] σημανέων.
ἡὔλει δὴ Γλαύκης [7] μεμεθυσμένα παίγνια Μουσέων,
ἢ [8] τὸν ἐν ἀκρήτοις Βάτταλον ἡδυπότην,
ἢ καὶ Κώταλον, ἢ καὶ Πάγκαλον. Ἀλλὰ Θέωνα
τὸν καλαμαυλήτην εἴπατε, Χαῖρε Θέων. 10
Ὥσπερ οὖν τοὺς τῷ καλάμῳ αὐλοῦντας, καλαμαύλας λέγουσι νῦν· οὕτως καὶ ῥαπαύλας, [9] ὡς φησιν e

1 Vulgo εἶχε καὶ Σκίρπαλον υἱὸν; quod tenuit Brunck. cum Toup. ſed εἶχεν τὸν Σκίρπαλος υἱὸν corr. Caſaub. 2 Vulgo νήπιόν τ' ἐκάλει· Σκίρπαλον εὐπαλάμου abſque diſtinctione in fine. 3 ἀείδειν vulgo. 4 εἶχε edd. εἶχεν ms. *A*. Unde forſan εἶπεν malis, & vſ. ſq. αὐτοῦ pro πασᾶν. 5 πᾶν μαρπᾶν vulgo, truncato mireque corrupto primo hemiſtichio. τοῦνομα (ſcil. εἶπε,) τᾶν μολπᾶν corr. Caſ. τὰν παλάμων ἀρετὰν coni. Iacobs. 6 ἥδυσμα exſerte dedit ms. quod in ἥδυμα molliendae enunciationis cauſſa mutatum in edd. Longe vero aliter & in aliam ſententiam totum hunc verſum cum Toupio conſtituit Brunck., εἶχε proximo verſu tenentes, alia vero in ſuperioribus mutantes. 7 γλεύκους corr. Caſ. Toup. & Brunck. 8 νὴ τὸν vulgo. 9 ῥαππαύλας mss. ῥαπταύλας Euſt. Forſ. ῥαπαταύλας.

Caecus prae ſenectute deceſſit, Scirpali filius.
Parvulus cum eſſet, Eupalamum eum nominaverat Scirpalus,
natales eius canens: hoc enim dixit,
omnium virtutum condimentum ſignificans.
Tibiâ ille canebat Glauces temulenta Muſarum ludicra,
aut Battalum, laetum meri potatorem,
aut etiam Cotalum, aut Pancalum. At vos Theoni
calamauletae dicite, Vale Theon!

Quemadmodum igitur eos qui calamo (*id eſt*, arundine) canunt, *calamaulas* hodie vocant: ſic & *rapaulas* [ſive,

Ἀμερίας ὁ Μακεδὼν ἐν ταῖς Γλώσσαις, τοὺς τῇ καλάμῃ [1] αὐλοῦντας.

LXXIX.

Γιγνώσκειν δέ βούλομαί σε, ἀνδρῶν λῷστε Οὐλπιανὲ, ὅτι Ἀλεξανδρέων μουσικώτεροι ἄλλοι γενέσθαι οὐχ ἱστόρηνται. καὶ οὐ λέγω περὶ κιθαρῳδίαν μόνην· ἧς καὶ ὁ εὐτελέστατος παρ' ἡμῖν ἰδιώτης, προσέτι τε καὶ ἀναλφάβητος, οὕτως ἐστὶ συνήθης, ὡς τάχιστα ἐλέγχειν τὰ παρὰ [2] τὰς κρούσεις ἁμαρτήματα γινόμενα. ἀλλὰ καὶ περὶ αὐλούς εἰσι μουσικώτατοι· οὐ μόνον τοὺς παρθενίους καλουμένους, καὶ παιδικοὺς, ἀλλὰ καὶ τοὺς ἀνδρείους, οἵτινες καλοῦνται τέλειοί τε καὶ ὑπερτέλειοι· καὶ τοὺς κιθαριστηρίους δὲ, καὶ τοὺς δακτυλικούς. τοὺς γὰρ ἐλύμους αὐλοὺς, ὧν μνημονεύει Σοφοκλῆς ἐν Νιόβῃ τε καὶ Τυμπανισταῖς, οὐκ ἄλλους τινὰς εἶναι ἀκούομεν ἢ τοὺς Φρυγίους· ὧν

Alexandrini muſices ſtudioſi.

Tibiarum varia genera.

1 Forſ. τῇ ῥαπάτῃ vel τῇ ῥαπάτῃ (τῇ καλάμῃ) αὐλ. 2 περὶ ed. Baſ. & ſeqq.

rapataulas] ut ait Amerias Macedo in Gloſſis, eos qui culmo vel ſtipula canunt.

79. Scire vero te velim, hominum optime Ulpiane, muſices ſtudioſiorem, quam Alexandrini, nullum populum commemorari. Nec iam ſolummodo citharae pulſandae peritiam dico: quae apud nos ita familiaris eſt vel de infima plebe hominibus, atque etiam his qui ne literarum quidem rudimenta didicerunt, ut quam celerrime arguant quidquid in pulſando peccatum fuerit. Verum etiam in tractandis *tibiis* ſunt ſolertiſſimi: nec ſolum in *puellaribus*, quae vocantur, & *puerilibus*, ſed & in *virilibus*, quae *perfectae* & *plusquamperfectae* dicuntur, immo vero & in his quae *citharisteriae* tibiae vocantur, & quae *dactylicae*. Nam quas *elymas* tibias Sophocles memorat in Niobe & in Tympaniſtis, non alias eſſe intelligimus

καὶ αὐτῶν ἐμπείρως ἔχουσιν Ἀλεξανδρεῖς. οἴδασι δὲ καὶ τοὺς διόπους, ἔτι τε μεσοκόπους, καὶ τοὺς καλουμένους ὑπατρήτους. τῶν δ' ἐλύμων αὐλῶν μνημονεύει καὶ Καλλίας ἐν Πεδήταις. Ἰόβας δὲ, τούτους Φρυγῶν εἶναι εὕρημα, ὀνομάζεσθαι δὲ καὶ σκυταλίας [1] κατ' ἐμφέρειαν τοῦ πάχους. χρῆσθαι δ' αὐτοῖς καὶ Κυπρίους φησὶ Κρατῖνος ὁ νεώτερος, ἐν Θηραμένῃ. Οἴδαμεν δὲ καὶ τοὺς ἡμιόπους καλουμένους, περὶ ὧν φησιν Ἀνακρέων· „Τίς σ' ἐρασμίη τρέψασα θυμὸν ἐσέβη, [2] τερένων ἡμιόπων [3] ὑπ' αὐλῶν ὀρχεῖσθαι;" [4] Εἰσὶν δ' οἱ αὐλοὶ οὗτοι ἐλάσσονες τῶν τελείων. Αἰσχύλος γ' οὖν κατὰ μεταφορὰν ἐν Ἰξίωνι φησί· [5] p. 177 a

Τὸν δ' ἡμίοπον καὶ τὸν ἐλάσσονα p. 182 c

1 σκυταλείας ms. *A.* 2 Vulgo Τίς ἐρασμίην θρέψας θυμὸν ἐσέβην. Corrigunt alii cum Casaub. Τίς ἐρασμίη σ' ὦ θέραψ θυμὸν ἐσέβη. 3 Vulgo τέρεν' ὡς ἡμίοπον. 4 ὀρχεῖται ms. *A.* 5 Permutata in vetustiore aliquo codice foliorum nonnullorum serie, perversa turbataque vulgo haec edebantur: ut, quae hic vulgo sequebantur, ea ex QUINTO LIBRO perperam huc essent translata. Temere vero Ἰξίων φησί, pro ἐν Ἰξίωνι φησί, editum erat.

nisi Phrygias; quarum tractandarum pariter usum habent Alexandrini. Norunt vero etiam *tibias duobus foraminibus*, (διόπους αὐλοὺς,) tum *intermedias*, (μεσοκόπους,) & quae *subtus perforatae* (ὑπότρητοι) vocantur. Elymarum vero tibiarum etiam Callias meminit in Vinctis. Iuba vero has Phrygum esse ait inventum, & *scytalias* quoque vocari ob crassitiem, qua sunt scytalis similes. Uti vero illis etiam Cyprios ait Cratinus iunior, in Theramene. Novimus etiam eas, quae *semiforatae* (ἡμίοποι) vocantur, de quibus dicit Anacreon: *Quae libido animum incessit tuum, impulitque ut teneram ad hemiopam tibiam saltares?* Sunt autem istae tibiae minores perfectis. Aeschylus quidem, per metaphoram, in Ixione dicit:

Hemiopum vero & minorem

c ταχέως ὁ μέγας καταπίνει.

εἰσὶ δ' οἱ αὐτοὶ τοῖς παιδικοῖς καλουμένοις· οἷς, οὐκ οὔσιν ἐναγωνίοις, πρὸς τὰς εὐωχίας χρῶνται. διὸ καὶ τέρενας αὐτοὺς κέκληκεν ὁ Ἀνακρέων.

LXXX. Alia tibiarum & fidium genera.

Οἶδα δὲ καὶ ἄλλα γένη αὐλῶν, τραγικῶν τε, καὶ λυσιωδῶν, καὶ κιθαριστηρίων, ὧν μνημονεύουσιν Ἔφορός τ' ἐν τοῖς Εὑρήμασι, καὶ Εὐφράνωρ ὁ Πυθαγορικὸς ἐν τῷ Περὶ Αὐλῶν· ἔτι δὲ καὶ Ἀλέξων,[1] καὶ αὐτὸς ἐν τῷ Περὶ Αὐλῶν. Ὁ δὲ καλάμινος αὐ-
d λὸς, τιτύρινος καλεῖται παρὰ τοῖς ἐν Ἰταλίᾳ Δωριεῦσιν, ὡς Ἀρτεμίδωρος ἱστορεῖ ὁ Ἀριστοφάνιος,[2] ἐν δευτέρῳ Περὶ Δωρίδος. Ὁ δὲ μάγαδις καλούμενος αὐλὸς, ὁ καὶ παλαιομάγαδις ὀνομαζόμενος, ἐν ταὐτῷ ὀξύν καὶ βαρὺν φθόγγον ἐπιδείκνυται, ὡς Ἀναξανδρίδης[3] ἐν Ὁπλομάχῳ φησίν·

1 Ἀλεξις ὧν est in ms. Deest autem in edd. ῥῆσις ista ἔτι δὲ καὶ Ἀλ. usque Αὐλῶν. 2 Ἀριστοφάνειος edd. 3 Ἀλεξανδρίδης vulgo.

facile maior deglutit.

Sunt autem eaedem cum puerilibus, quae vocantur, tibiis: quae non ſunt publicis ludis certaminibusque aptae, ſed in conviviis adhibentur. Quare etiam *teneras* (vel *molles*) vocavit Anacreon.

80. Novi vero etiam alia genera tibiarum; *tragicas*, *lyſiodas*, & *citharisterias*: quarum meminit Ephorus in Inventionibus, & Euphranor Pythagoricus, in libro de Tibiis, inſuperque Alexon in libro qui itidem de Tibiis inſcriptus eſt. Tibia vero ex culmo vel ſtipula, *tityrina* vocatur apud Dores Italiam incolentes, ut Artemidorus Ariſtophanius tradit, libro ſecundo DE Doride. Quae vero *magadis* vocatur tibia, quae & *palaeomagadis* nominatur, ſimul acutum gravemque ſonum edit, ut Anaxandrides in Hoplomacho dicit;

Μάγαδιν λαλήσω, μικρὰν ἅμα σοι καὶ μέγα. [1]
Οἱ δὲ καλούμενοι λώτινοι αὐλοὶ, οὗτοί εἰσιν οἱ ὑπὸ
Ἀλεξανδρέων καλούμενοι Φώτιγγες. κατασκευάζον- e
ται δ' ἐκ τοῦ καλουμένου λωτοῦ· ξύλον δ' ἐστὶ τοῦτο,
γινόμενον ἐν Λιβύῃ. Θηβαίων δ' εὕρημά φησιν εἶναι
Ἰόβας τὸν ἐκ νεβροῦ κώλων κατασκευαζόμενον αὐλόν.
ὁ δὲ Τρύφων φησὶ, καὶ τοὺς καλουμένους ἐλεφαν-
τίνους αὐλοὺς παρὰ Φοίνιξιν ἀνατρηθῆναι. Οἶδα δὲ ὅτι
καὶ μάγαδις ὄργανόν ἐστιν ἐντατὸν, καθάπερ καὶ κι-
θάρα, λύρα, βάρβιτον. Εὐφορίων δὲ, ὁ ἐποποιὸς, ἐν
τῷ Περὶ Ἰσθμίων· „Οἱ νῦν, φησὶ, καλούμενοι να-
βλισταὶ, καὶ πανδουρισταὶ, καὶ σαμβυκισταὶ, καὶ-
νῷ μὲν οὐδενὶ χρῶνται ὀργάνῳ. τὸν γὰρ βάρωμον [2] f
καὶ βάρβιτον, ὧν Σαπφὼ καὶ Ἀνακρέων μνημονεύου-
σι, καὶ τὴν μάγαδιν, καὶ τὰ τρίγωνα, καὶ τὰς σαμ-

1 Vulgo *μέγαν*. Initio verſus Μάγαδις maluerat Caſ. 2 *βάρμον* ſcribitur alibi apud Noſtrum. Forſ. *βάρμιτον* ſcripſerat ipſe.

Magadim tibi loquar, tenue ſimul & magnum.

Quae vero *lotinae* vocantur tibiae, hae ſunt quae apud Alexandrinos *photinges* audiunt. Conficiuntur autem ex loto quae vocatur: arbor ea eſt, quae in Libya naſcitur. Thebanorum vero inventum Iuba ait eſſe illud tibiarum genus, quae ex hinnulorum cruribus conficiuntur. Tryphon vero dicit, etiam *eburneas*, quas vocant, tibias a Phoenicibus primum fuiſſe perforatas. Non ignoro autem, eſſe *magadin* etiam inſtrumentum, quod tenſis fidibus pulſatur: quemadmodum cithara, lyra, barbiton. Euphorion vero, epicus poëta, in libro De Iſthmiis: »Qui nunc ſunt, inquit, qui Nabliſtae, Panduriſtae, Sambuciſtae vocantur, nullo novo utuntur inſtrumento. Nam *baromon* [*ſive*, barmon; *aut*, barmiton,] & *barbiton*, quorum Sappho & Anacreon meminerunt, itemque *magadin*, & *triangula & ſambucas*, antiqua (ait) eſſe

βύκας ἀρχαῖα εἶναι. ἐν γοῦν Μιτυλήνῃ μίαν τῶν Μουσῶν πεποιῆσθαι ὑπὸ Λεσβοθέμιδος, ἔχουσαν σαμβύκην." Ἀριστόξενος δ' ἔκφυλα ὄργανα καλεῖ φοίνικας, [1] καὶ πηκτίδας, καὶ μαγαδίδας, σαμβύκας τε, καὶ τρίγωνα, καὶ κλεψιάμβους, [2] καὶ σκινδαψοὺς, καὶ τὸ ἐννεάχορδον καλούμενον. Πλάτων δ' ἐν τρίτῳ Πολιτείας φησίν· „Οὐκ ἄρα, ἦν δ' ἐγὼ, πολυχορδίας γε οὐδὲ παναρμονίου ἡμῖν δεήσει ἐν ταῖς ᾠδαῖς τε καὶ μέλεσιν. Οὔ μοι, ἔφη, φαίνεται. Τριὰ γώνων ἄρα, καὶ πηκτίδων, καὶ πάντων ὀργάνων, ὅσα πολύχορδα καὶ παναρμόνια." [3]

LXXXI. Scindapſus.

Ἔστιν δ' ὁ σκινδαψὸς τετράχορδον ὄργανον, ὡς ὁ παρῳδός φησι Μάτρων ἐν τούτοις·

Οὐδ' ὑπὸ πασσαλόφιν κρέμασαν, ὅθι περ τετάνυστο

1 Φοινικικὰς edd. cum ms. *A.* 2 κλεψιάγγους edd. cum ms. *A.* κλεψιάγους ms. *Ep.* κλεψιάνους Ep. Hoeſch. 3 Adiicienda erant ex Platone verba ſententiam claudentia, δημιουργοὺς οὐ θρέψομεν.

inſtrumenta. Mitylenae ſane unam ex Muſis, Lesbothemidis opus, ſambucam manu tenentem conſpici. « Ariſtoxenus vero peregrina inſtrumenta vocat phoenicas, pectides, magadides, tum ſambucas, & triangula, & clepſiambos, & ſcindapſos, & enneachordon quod vocatur. Plato vero, tertio libro de Republica, ſcribit: »Non igitur, inquam, in cantibus & melodiis opus erit nobis multis fidibus, neque univerſo harmoniarum concentu. Non, inquit, mihi videtur. Triangulis igitur, & pectidibus, & omnibus inſtrumentis, quotquot multis fidibus tenduntur, & omni harmoniarum varietate perſonant, non opus erit nobis. [*vel*, illorum inſtrumentorum artifices non alemus.]«

81. Eſt autem *ſcindapſus*, inſtrumentum quatuor chordarum; ut indicat Matron Parodus his verbis:

Nec vero de clavis (id) *ſuſpenderunt, unde tenſus pendebat*

σκινδαψὸς τετράχορδος ἀνηλακάτοιο γυναικός.

μνημονεύει αὐτοῦ καὶ Θεόπομπος ὁ Κολοφώνιος, ἐποποιὸς, ἐν τῷ ἐπιγραφομένῳ Ἁρματίῳ·

Σκινδαψὸν λυρόεντα μέγαν χείρεσσι τινάσσων, b
ὀξύϊνον, προμάλοιο τετυγμένον αἰζήεντος.

καὶ Ἀναξίλας ἐν Λυροποιῷ·

Ἐγὼ δὲ βαρβίτους τριχόρδους, πηκτίδας,
κιθάρας, λύρας, σκινδαψοὺς ἐξηρτυόμαν.

Σώπατρος δ' ὁ παρῳδὸς ἐν τῷ ἐπιγραφομένῳ Μύ-
Pectis. σται, δίχορδον εἶναί φησι τὴν πηκτίδα, λέγων οὕτως·

Πηκτὶς δὲ, Μούσῃ γαυριῶσα βαρβάρῳ,
δίχορδος, εἰς τὴν χεῖρά πως [1] κατεστάθη. c

Pariambis. Τῶν δὲ παριαμβίδων Ἐπίχαρμος ἐν Περιάλλῳ μνημονεύει οὕτως·

Σεμέλα δὲ χορεύει·
καὶ ὑπαυλεῖ σφιν σοφὸς κιθάρᾳ παριαμβίδας·

1 χεῖρα πᾶς vulgo.

ſcindapſus tetrachordos mulieris colum - non tractantis.

Meminit eiusdem Theopompus Colophonius, epicus poëta, in carmine quod Curriculum inſcribitur:

Scindapſum magnum lyrae - ſimilem manibus quatiens
fagineum, ex myrica compactum iuvene.

& Anaxilas, in Lyrarum - fabricatore:

Ego vero barbitos trichordos, pectidas,
citharas, lyras, ſcindapſos compoſui.

Sopater vero Parodus in carmine, cui titulus eſt Myſtae, *pectidis* duas eſſe fides ait, his verbis:

Pectis vero, Muſâ ſuperbiens barbarâ,
duabus tenſa fidibus, in manum forte tradita eſt.

Pariambidum vero Epicharmus meminit in Periallo:

Semele vero ſaltat;
& (iſte) ſolers ſuccinit illis citharâ pariambidas:

ἃ δὲ γεγάθει, πυκινῶν κρεγμῶν ἀκροαζομένα. [1]

Τὸ δὲ ψαλτήριον, ὡς φησιν Ἰόβας, Ἀλέξανδρος ὁ Psalterium.
Κυθήριος συνεπλήρωσε χορδαῖς· καὶ ἐγγηράσας τῇ Ἐφεσίων πόλει, ὡς σοφώτατον τῆς ἑαυτοῦ τέχνης τουτὶ τὸ εὕρημα, ἀνέθηκεν ἐν Ἀρτεμίδος. Μνημονεύει δ' ὁ Ἰόβας καὶ τοῦ λυροφοίνικος, καὶ τοῦ Ἐπιγονίου, d ὃ νῦν εἰς ψαλτήριον ὄρθιον μετασχηματισθὲν, διασώζει τὴν τοῦ χρησαμένου προσηγορίαν. ἦν δ' ὁ Ἐπίγονος φύσει μὲν Ἀμβρακιώτης, δημοποίητος δὲ Σικυώνιος· μουσικώτατος δ' ὢν κατὰ χεῖρα, δίχα πλήκτρου ἔψαλλεν. Πάντων οὖν τούτων τῶν προειρημένων ὀργάνων καὶ αὐλῶν ἐμπείρως ἔχουσι καὶ τεχνικῶς Ἀλεξανδρεῖς· καὶ [2] ἐν οἷς ἄν μου θέλῃς ἀποπειραθῆναι,

1 Vulgo, nulla variatione, sic: Σεμέλα δὲ χορεύει, καὶ ὑπαλίσφιν σοφὸς κιθάρα παριαμβίδας. ἃ δὲ γεγαθεῖ πυκινῶν κρεγμῶν ἀκροαζομένα. 2 Desideratur καὶ in edd.

illa vero laetatur, frequentes sonos audiens.

Psalterium vero, ut Iuba ait, Alexander Cytherius perfectius reddidit auctо fidium numero: & postquam in Ephesiorum urbe consenuit, instrumentum illud, ut solertissimum artis suae inventum, in Dianae templo consecravit. Meminit vero Iuba etiam *lyrophoenicis*, & *epigonii*, quod hodie quidem in psalterium rectum transformatum, servat tamen nomen eius qui primus illo usus est. Fuit autem Epigonus nativitate quidem Ambraciota, civitate vero donatus a Sicyoniis, apud quos vitam agebat: qui, cum musicus esset peritissimus, nuda manu absque pectine fides pulsabat. Horum igitur omnium, quae commemoravi, instrumentorum ac tibiarum usum habent Alexandrini, & solerter ea instrumenta tractare norunt: quorum in quocumque volueris me experiri, specimen tibi dare paratus

ἐπιδείξομαί σοι ἐγὼ αὐτὸς, πολλῶν ἄλλων μουσικωτέρων μου ἐν τῇ πατρίδι ὑπαρχόντων.

LXXXII. Triangulum.

Ἀλέξανδρος δὲ ὁ πολίτης μου, (οὗτος δ' οὐ πρὸ πολλοῦ τετελεύτηκε,) δημοσίᾳ ἐπιδειξάμενος ἐν τῷ τριγώνῳ ἐπικαλουμένῳ ὀργάνῳ, οὕτως ἐποίησε πάντας Ῥωμαίους μουσομανεῖν, ὡς τοὺς πολλοὺς καὶ ἀπομνημονεύειν αὐτοῦ τὰ κρούσματα. μνημονεύει δὲ τοῦ τριγώνου τούτου καὶ Σοφοκλῆς, ἐν μὲν Μυσοῖς, οὕτως·

Πολὺς δὲ Φρὺξ τρίγωνος, ἀντίσπαστά τε
Λυδῆς ἐφυμνεῖ πηκτίδος συγχορδία.

καὶ ἐν Θαμύρᾳ· Ἀριστοφάνης δ' ἐν Δαιταλεῦσι, καὶ Θεόπομπος ἐν Πηνελόπῃ. Εὔπολις δ' ἐν Βάπταις φησίν·

Ὃς [1] καλῶς μὲν τυμπανίζει,

1 Forſ. Ὡς καλῶς.

ſum, quamquam ſunt multi in patria noſtra me ſoertiores.

82. Alexander vero, popularis meus, qui haud ita pridem obiit, cum ſuae in tractando inſtrumento, quod Triangulum vocatur, peritiae ſpecimen publicum ederet, tanto muſices ſtudio Romanos incendit, ut permulti vulgo etiamnunc numeros eius memoria repetant. Meminit vero *trianguli* huius etiam Sophocles, in Myſis, cum ait:

Frequens (reſonat) Phrygius trigonus: cui ex adverſo reſpondentia
ſuccinit Lydiae pectidis concentus.

Itemque in Thamyra. Tum vero & Ariſtophanes in Epulonibus, & Theopompus in Penelope. Eupolis vero in Baptis:

Qui pulcre tympanizat,

καὶ διαψάλλει τριγώνοις.

Τοῦ δὲ καλουμένου πανδούρου, Εὐφορίων μὲν, ὡς προείρηται, καὶ Πρωταγορίδης ἐν δευτέρῳ Περὶ τῶν ἐπὶ Δάφνῃ Πανηγύρεων. Πυθαγόρας δὲ ὁ γεγραφὼς περὶ τῆς Ἐρυθρᾶς θαλάσσης, τοὺς Τρωγλοδύτας φη-
a σὶ κατασκευάζειν τὴν πανδούραν ἐκ τῆς ἐν τῇ θαλάσσῃ φυομένης δάφνης. Τυρρηνῶν δ' ἔστιν εὕρημα κέρατά τε καὶ σάλπιγγες. Μητρόδωρος δ' ὁ Χῖος ἐν Τρωϊκοῖς, σύριγγα μέν φησιν εὑρεῖν Μαρσύαν καὶ αὐλὸν ἐν Κελαιναῖς, τῶν πρότερον ἑνὶ καλάμῳ συριζόντων. Εὐφορίων δ' ὁ ἐποποιὸς, ἐν τῷ Περὶ Μελοποιιῶν, [1] τὴν μὲν μονοκάλαμον σύριγγα Ἑρμῆν εὑρεῖν· τινὰς δ' ἱστορεῖν, Σεύθην καὶ Ῥωνάκην τοὺς Μήδους· τὴν δὲ πολυκάλαμον, Σιληνόν· Μαρσύαν δὲ, τὴν κηρόδετον. Tibiarum inventores.

Ταῦτα ἔχεις παρ' ἡμῶν τῶν Ἀλεξανδρέων, Οὐλ- LXXXIII.

1 περὶ Μελοποιῶν Dalech. *de Poëtis Lyricis.*

trigonisque cantat.

Pandurae vero quae vocatur, Euphorion meminit, ut ante dictum eſt, & Protagorides ſecundo libro de Ludorum ad Daphnen celebritate. Pythagoras vero is, qui de Erythraeo Mari ſcripſit, Troglodytas ait panduram fabricari ex lauro, quae ad mare gignitur. Etruſcorum vero inventum ſunt *cornua* & *tubae*. Metrodorus vero Chius, in Troïcis, fiſtulam & tibiam ait Marſyam inveniſſe Celaenis, cum ſuperiores una arundine ceciniſſent. Euphorion vero, epicus poëta, in libro de Carminum Modulationibus, fiſtulam uno calamo conſtantem, ait, Mercurium inveniſſe; a nonnullis vero inventores eius memorari Seuthen & Rhonacen Medos: pluribus vero calamis conſtantem inveniſſe Silenum; Marſyam autem eam quae cera compacta eſt.

83. Haec igitur, Ulpiane, vocabulorum aucupator,

Alexandrini renovant artium ſtudia apud Graecos,

πιανὲ ὀνοματοθήρα, τῶν περὶ τοὺς μοναύλους ἐσπου- b
δακότων. οὐ γὰρ οἶδας ἱστοροῦντα Μενεκλέα τὸν Βαρ-
καῖον συγγραφέα, ἔτι τε Ἄνδρωνα ἐν τοῖς Χρονικοῖς,
τὸν Ἀλεξανδρέα, ὅτι Ἀλεξανδρεῖς εἰσιν οἱ παιδεύσαν-
τες πάντας τοὺς Ἕλληνας καὶ τοὺς βαρβάρους, ἐκ-
λειπούσης ἤδη τῆς ἐγκυκλίου παιδείας, διὰ τὰς γε-
νομένας συνεχεῖς κινήσεις ἐν τοῖς κατὰ τοὺς Ἀλεξάν-
δρου διαδόχους χρόνοις. Ἐγένετο οὖν ἀνανέωσις πάλιν
regnante Ptolemaeo Κακεργέτη. παιδείας ἁπάσης κατὰ τὸν ἕβδομον βασιλεύσαντα
Αἰγύπτου Πτολεμαῖον, τὸν κυρίως ὑπὸ τῶν Ἀλεξαν- c
δρέων καλούμενον Κακεργέτην. οὗτος γὰρ πολλοὺς
τῶν Ἀλεξανδρέων ἀποσφάξας, οὐκ ὀλίγους δὲ καὶ
φυγαδεύσας τῶν κατὰ τὸν ἀδελφὸν αὐτοῦ ἐφηβη-
σάντων, ἐποίησε πλήρεις τάς τε νήσους καὶ πόλεις ἀν-
δρῶν γραμματικῶν, φιλοσόφων, γεωμετρῶν, μουσι-
κῶν, ζωγράφων, παιδοτριβῶν τε, καὶ ἰατρῶν, καὶ
ἄλλων πολλῶν τεχνιτῶν· οἳ διὰ τὸ πένεσθαι διδά-

habes a nobis Alexandrinis, monaulorum perquam ſtudioſis. Neſcis enim, docere Meneclem Barcaeum, Hiſtoriarum ſcriptorem, & Andronem Alexandrinum in Chronicis, ab Alexandrinis eruditos eſſe Graecos omnes & Barbaros, cum iam defeciſſet encyclica eruditio propter continuos motus, qui temporibus ſucceſſorum Alexandri obtinuerant. Exſtitit igitur renovatio rurſus univerſae eruditionis, regnante in Aegypto Ptolemaeo ſeptimo, qui proprio peraptoque nomine Κακεργέτης, (id eſt, *Maleficus*) ab Alexandrinis vocatur. Hic enim, iugulatis multis Alexandriae civibus, & haud paucis eorum qui cum ipſius fratre adoleverant in exſilium actis, inſulas & oppida replevit viris grammaticis, philoſophis, geometris, muſicis, pictoribus, puerorum magiſtris, medicis, aliisque multis artificibus: qui cum

σκοντες ἃ ἠπίσταντο, πολλοὺς κατεσκεύασαν ἄνδρας ἐλλογίμους.

LXXXIV. Μουσική olim in honore apud Graecos.

d Ἔμελε δὲ τοῖς πάλαι πᾶσιν Ἕλλησι μουσικῆς· διόπερ καὶ ἡ αὐλητικὴ περισπούδαστος ἦν. Χαμαιλέων γοῦν ὁ Ἡρακλεώτης ἐν τῷ ἐπιγραφομένῳ Προτρεπτικῷ, Λακεδαιμονίους φησὶ καὶ Θηβαίους πάντας αὐλεῖν μανθάνειν, Ἡρακλεώτας τε τοὺς ἐν τῷ Πόντῳ καθ' ἑαυτὸν ἔτι· Ἀθηναίων τε τοὺς ἐπιφανεστάτους, Καλλίαν τε τὸν Ἱππονίκου, καὶ Κριτίαν τὸν Καλλαίσχρου. Δοῦρις δ' ἐν τῷ Περὶ Εὐριπίδου καὶ Σοφοκλέους, Ἀλκιβιάδην φησὶ μαθεῖν τὴν αὐλητικὴν, οὐ παρὰ τοῦ τυχόντος, ἀλλὰ Προνόμου τοῦ μεγίστην ἐσχηκότος δόξαν. Ἀριστόξενος δὲ καὶ Ἐπαμι-
e νώνδαν τὸν Θηβαῖον αὐλεῖν μαθεῖν παρὰ Ὀλυμπιοδώρῳ καὶ Ὀρθαγόρᾳ. Καὶ τῶν Πυθαγορικῶν δὲ πολλοὶ τὴν αὐλητικὴν ἤσκησαν, ὡς Εὐφράνωρ τε, καὶ

ob inopiam docerent artes quibus valebant, multos eruditos clarosque viros produxerunt.

84. Fuerant autem olim Graeci omnes muſices ſtudioſi: quare & arti tibiis canendi operam dabant. Chamaeleon certe Heracleotes, in Protreptico qui inſcribitur, Lacedaemonios ait & Thebanos omnes diſcere ſolitos tibia canere, & Heracleotas in Ponto ſua etiamnum aetate; atque etiam Athenienſium nobiliſſimos, Calliam Hipponici filium, & Critiam Callaeſchri. Duris vero, in libro de Euripide & Sophocle, ait, Alcibiadem tibiâ canere didiciſſe non apud vulgarem aliquem artificem, ſed apud Pronomum, longe omnium clariſſimum. Ariſtoxenus vero, Epaminondam Thebanum eamdem artem didiciſſe narrat apud Olympiodorum & Orthagoram. Atque etiam Pythagoreorum multi artem hanc exercuerunt, ut Euphranor, Archytas, Philolaus,

Ἀρχύτας, Φιλόλαός τε, ἄλλοι τε οὐκ ὀλίγοι. ὁ δ' Εὐφράνωρ καὶ σύγγραμμα περὶ Αὐλῶν κατέλιπεν· ὁμοίως δὲ καὶ ὁ Ἀρχύτας. ἐμφανίζει δὲ καὶ ὁ Ἀριστοφάνης ἐν τοῖς Δαιταλεῦσι τὴν περὶ τὸ πρᾶγμα τοῦτο σπουδήν, ὅταν λέγῃ·

Ὅς τις αὐλοῖς καὶ λύραις [νῦν] [1]
κατατέτριμμαι χρώμενος,
εἶτά με σκάπτειν κελεύεις;

Φρύνιχος, Ἐφιάλτῃ· f

Οὐ τουτονὶ μέντοι σὺ κιθαρίζειν ποτὲ
αὐλεῖν τε διδάξας. [2] — — —

Καὶ τὴν Ἀθηνᾶν δέ φησιν Ἐπίχαρμος, ἐν Μούσαις, ἐπαυλῆσαι τοῖς Διοσκούροις [3] τὸν ἐνόπλιον. Ἴων δ' ἐν Φοίνικι ἢ Καινεῖ, ἀλέκτορα τὸν αὐλὸν καλεῖ, ἐν τούτοις·

1 Abeſt vulgo νῦν; initio vero verſus ſcribitur Ὅστις δ' αὐτὴν αὐλοῖς reclamante metro. 2 αὐλεῖν τ' ἐδίδαξας edd. 3 Διοσκόροις ms. *A*.

aliique haud pauci. Euphranor vero etiam librum de Tibiis reliquit; pariterque Archytas. Significat etiam Ariſtophanes, in Epulonibus, ſtudium in ea re poſitum, cum ait:

Qui adhuc tibiis atque lyris
utens vitam trivi,
eum tu nunc terram fodere iubes?

Phrynichus, Ephialte:

At nonne tu hunc olim canere citharâ
tibiisque docuiſti?

Quin etiam Minervam, ait Epicharmus in Muſis, tibia acciniſſe Dioscuris numeros, ad quos armati ſaltarent. Ion, in Phoenice ſive Caeneo, tibiam *gallum gallinaceum* vocat, cum ait:

Ἐπῆδ'[1] (αὐλὸς) ἀλέκτωρ Λύδιον[2] ὕμνον Ἀχαιῶν.

a Ἐν δὲ Φρουροῖς τὸν ἀλεκτρυόνα Ἰδαῖον εἴρηκε σύριγγα, διὰ τούτων·

Προθεῖ δέ τοι σύριγξ Ἰδαῖος ἀλεκτρυών.[3] —

Ἐν δὲ τῷ δευτέρῳ Φοίνικι ὁ αὐτὸς Ἴων φησίν·

Ἔκτυπον ἄγων βαρὺν αὐλὸν τρέχοντι ῥυθμῷ.[4]

οὕτω λέγων τῷ Φρυγίῳ, καὶ βαρὺν αὐλὸν λέγων τὸν Φρύγιον.[5] βαρὺς γὰρ οὗτος·[6] παρ' ὃ καὶ τὸ κέρας αὐτῷ προσάπτουσιν, ἀναλογοῦν τῷ τῶν σαλπίγγων κώδωνι.

Ἐπὶ τούτοις τέλος ἐχέτω καὶ ἥδε ἡ βίβλος, ἑταῖρε Τιμόκρατες, ἱκανὸν εἰληφυῖα μῆκος.

1 Ἐπὶ δ' editt. vett. cum ms. Mox vocem αὐλὸς parentheſi incluſi, ut extra verſum, qui tamen ne ſic quidem ſatis legitimus. 2 Λύδιος ſuſpicatus ſum. 3 Vulgo ἀλέκτωρ. 4 ἐκτύπουν & dein τρήχοντι corr. Hemſterh. quem in latina verſione ſecutus ſum. Bentlei ſic legebat:

— — Ἐκτύπουν, ἄγων βαρὺν
αὐλὸν, τρέχοντα ῥυθμόν. — —

5 Sex verba καὶ βαρὺν αὐλὸν λέγων τὸν Φρύγιον ex Epit. adieci. 6 τῷ ὄντι adiecit Epit.

Accinebat gallus Lydius hymnum Achivorum.

In Cuſtodibus vero, (*ſive*, Praeſidiariis) *gallum Idaeum* dixit fiſtulam, his verbis:

Praecurrit vero fiſtula Idaeus Gallus.

In ſecundo Phoenice vero idem Ion ait:

Sonum edidi, gravem tractans tibiam, aſpero numero:

ſic dicens pro *Phrygio numero*; & *gravem tibiam*, *Phrygiam* dicens. Eſt enim haec revera gravis: quare etiam cornu ei adaptant, quod analogiam quamdam habet cum tubarum orificio.

His ita expoſitis finem faciamus huic etiam libro amice Timocrates, iuſtam nacto magnitudinem.

ΑΘΗΝΑΙΟΥ ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

I. Multa praeclare praecepta obiter insinuat Homerus.

Ἀλλ' ἐπεὶ πολὺς οὕτως [1] λόγος συμποσίων προ- p. 185 a
διήντληται, ὦ Τιμόκρατες, ἐν τοῖς πρὸ τούτων, παρε-
λίπομεν δὲ αὐτῶν τὰ χρησιμώτατα καὶ οὐ βαροῦντα
τὴν ψυχὴν, ὠφελοῦντα δὲ, καὶ τρέφοντα κατὰ παν-
δαισίαν, ἅπερ ὁ θεῖος Ὅμηρος παρεισήγαγε· μνη-
μονεύσω καὶ τὰ περὶ τούτων λεχθέντα ὑπὸ τοῦ πάν-

1 οὗτος malebat Casaub.

ATHENAEI DEIPNOSOPHISTARUM

LIBER QUINTUS.

Sed quoniam tam multa iam verba de Conviviis, o Timocrates, in superioribus fecimus, praetermisimus autem ea quae sunt in his utilissima, quae non gravant animum, sed iuvant eum & alunt instar epularum omni ciborum genere instructarum, quae divinus Homerus veluti aliud agens docuit; commemorabo tibi etiam quae de his dicta sunt a viro omni ex parte praestan-

τα ἀρίστου Μασουρίου. ἡμεῖς γὰρ, κατὰ τὸν καλὸν Ἀγάθωνα,

Τὸ μὲν πάρεργον, ἔργον ὡς, ποιούμεθα·
b τὸ δ' ἔργον, ὡς πάρεργον, ἐκπονούμεθα.

Φησὶ δ' οὖν ὁ ποιητὴς, περὶ τοῦ Μενελάου τὸν λόγον ποιούμενος·

Τὸν δ' εὗρον δαίνυντα γάμον πολλοῖσιν ἔτησιν
υἱέος ἠδὲ θυγατρὸς ἀμύμονος ᾧ ἐνὶ οἴκῳ.

ὡς νενόμισται ἄγειν συμπόσια περὶ τοὺς γάμους, τῶν τε γαμηλίων θεῶν ἕνεκα, καὶ τῆς οἱονεὶ μαρτυρίας. Τὸ δὲ πρὸς τοὺς ξένους συμπόσιον ὁ τῆς Λυκίας βασιλεὺς διδάσκει οἷον εἶναι δεῖ, τὸν Βελλεροφόντην
c μεγαλοπρεπῶς δεξάμενος·

Ἐννῆμαρ ξείνισσε, καὶ ἐννέα βοῦς ἱέρευσε.

Δοκεῖ γὰρ ἔχειν πρὸς φιλίαν τι ὁ οἶνος ἐλκυστι- H.

tiſſimo Maſurio. Nos enim, ſecundum elegantem Agathonem,

Quod ſecundarium eſt, id tamquam primarium opus facimus:
quod vero primarium, id tamquam ſecundarium tractamus.

Dicit igitur poëta, ubi de Menelao verba facit:

Hunc vero invenerunt epulum exhibentem multis ſodalibus ob nuptias filii & filiae eximiae ſuae in domo.

Vetus eſſe inſtitutum ſignificans, in nuptiis epulas celebrare, cum in Deorum honorem qui praeſident nuptiis, tum veluti publici teſtimonii cauſſa. Convivium autem, quo accipiuntur hoſpites, quale debeat eſſe, docet Lyciae rex, Bellerophontem magnifice excipiens:

Per novem dies hoſpitali convivio eum excepit, & novem boves mactavit.

2. Videtur enim in vino vis quaedam ineſſe conci-

Conviviis conciliatur firmaturque amicitia.

κὸν, παραθερμαίνων τὴν ψυχὴν καὶ διαχέων. διόπερ οὐδὲ πρότερον ἠρώτων οἵτινες εἶεν, ἀλλ' ὕστερον· ὡς τὴν ξενίαν αὐτὴν τιμῶντες, ἀλλ' οὐ τοὺς ἐν μέρει καὶ καθ' ἕκαστον ἡμῶν. Τῶν δὲ νῦν δείπνων προνοοῦντες οἱ νομοθέται, τά τε Φυλετικὰ δεῖπνα, καὶ τὰ δημοτικὰ προσέταξαν· ἔτι δὲ τοὺς θιάσους, καὶ τὰ Φρατρικὰ, καὶ πάλιν ὀργεωνικὰ λεγόμενα. Πολλῶν γ' οὖν εἰσι Φιλοσόφων ἐν ἄστει σύνοδοι, τῶν μὲν Διογενιστῶν, a τῶν δὲ Ἀντιπατριστῶν λεγομένων, τῶν δὲ Παναιτιαστῶν. [1] κατέλιπε δὲ καὶ Θεόφραστος εἰς τὴν τοιαύτην σύνοδον χρήματα· μὰ Δί', οὐχ ἵνα ἀκολασταίνωσι συνιόντες, ἀλλ' ἵνα τοὺς κατὰ τὸ συμπόσιον λόγους σωφρόνως καὶ πεπαιδευμένως διεξάγωσι. Συνεδείπνουν δ' ὁσημέραι οἱ περὶ Πρύτανιν σώφρονα καὶ σωτήρια τῶν πόλεων σύνδειπνα. πρὸς γοῦν τοιοῦτο [2]

1 Παναιτιστῶν ms. *Epit.* 2 τὸ τοιοῦτο ms. *Epit.*

liandi amicitiam, dum calefacit animam & exhilarat. Quare nec prius interrogabant hoſpites quinam eſſent, ſed deinde: ipſam quippe hoſpitum conditionem honorabant, [*ſive*, ipſum ius hoſpitii fidemque,] non hunc aut illum ſigillatim hoſpitem. Coenarum vero quae noſtra aetate celebrantur curam multo ante habentes Legumlatores, inſtituerunt & tribulium coenas, & popularium ex eodem pago: itemque thiaſos, & curiales coenas, rurſusque quae orgeonicae dicuntur, certis hominum collegiis propriae. Sunt ſane Athenis multa etiam philoſophorum convivia, quorum alii Diogeniſtae, alii Antipatriſtae dicuntur, alii vero Panaetiaſtae. Et ad tale aliquod convivium pecuniam legavit Theophraſtus; non, per Iovem, ut eo in congreſſu impudenter laſcivirent, ſed ut in convivio ſermones modeſte & erudite miſcerent. Solebant vero & prytanes quotidie agitare convivia modeſta, & civitatibus

συμπόσιον, φησὶν ὁ Δημοσθένης, ἀνενηνέχθαι τὴν Ἐλατείας κατάληψιν. „Ἑσπέρα μὲν γὰρ ἦν· ἦκε δέ ἀγ-
b γέλλων τις ὡς τοὺς πρυτάνεις, ὡς Ἐλάτεια κατείληπται.“ [1] Καὶ τοῖς Φιλοσόφοις δὲ ἐπιμελὲς ἦν, συνάγουσι τοὺς νέους, μετ' αὐτῶν πρός τινα τεταγμένον νόμον εὐωχεῖσθαι. τοῦ γοῦν Ξενοκράτους ἐν Ἀκαδημίᾳ, καὶ πάλιν Ἀριστοτέλους Συμποτικοί τινες ἦσαν νόμοι. Τὰ δ' ἐν Σπάρτῃ Φειδίτεια, [2] καὶ παρὰ τοῖς Κρησὶν ἀνδρεῖα, μετὰ πάσης ἐπιμελείας αἱ πόλεις συνῆγον. διὸ καί τις οὐ κακῶς ἔφη· Xenocratis & Aristotelis leges convivales.

Οὐ χρὴ συμποσίοιο [3] φίλους ἀπέχεσθαι ἑταίρους
c δηρόν. ἀνάμνησις δὲ πέλει χαριεστάτη αὕτη.

Ἀντίπατρος δ' ὁ Φιλόσοφος, συμπόσιόν ποτε συνάγων, συνέταξε τοῖς ἐρχομένοις, ὡς περὶ σοφισμάτων

1 Videntur verba insuper nonnulla, quae apud Demosth. sequuntur, hic prolata fuisse ab Athenaeo. 2 φιδίτεια ms. *A.* φειδίτια vel φιδίτια malim, ut alibi. 3 συμποσίοισι vulgo.

salutaria. Tali quidem in convivio congregatis adlatum esse nuntium ait Demosthenes captae Elateae. »Vespera enim erat, (inquit) cum venit aliquis ad prytanes, nuncians captam esse Elateam.« Atque etiam philosophis curae erat, ut iuvenes congregarent, cum eisque ex statae cuiusdam legis praescripto epularentur. Igitur Xenocratis, in Academia, atque etiam Aristotelis erant Convivales quaedam Leges. Spartae vero, ut ad Phiditia, & apud Cretenses, ut ad Andreia convenirent cives, magnae curae fuit civitatibus. Quare nec male dixit aliquis:

Non oportet communi convivio caros abstinere sodales
diu: iucundissima namque illa recordatio est.

Antipater vero philosophus, convivium aliquando instituens, hac lege invitavit amicos, ut de quaestionibus, quae sophismata vocantur, disputarent. Arcesi-

ἐροῦσιν. Ἀρκετίλαον δέ φασιν, εἰς συμπόσιον παρακληθέντα, καὶ συγκατακλιθέντα ἐνὶ τῶν βορᾶς ἐσθιόντων, αὐτὸν δὲ μηδενὸς ἀπολαῦσαι δυνάμενον, ἐπεί τις αὐτῷ τῶν παρόντων ἐξέτεινε, [1] φᾶναι·

Εὖ σοι γένοιτο· Τηλέφῳ δ', ὡς ἐγὼ νοῶ.

ἔτυχε δ' ὁ κατοψοφαγῶν Τήλεφος καλούμενος. Ὁ δὲ Ζήνων, ἐπεί τις τῶν παρόντων ὀψοφάγων ἀπέσυρεν ἅμα τῷ παρατεθῆναι τὸ ἐπάνω τοῦ ἰχθύος, στρέψας καὶ αὐτὸς τὸν ἰχθῦν, ἀπέσυρεν, ἐπιλέγων,

Ἰνὼ δὲ τἀπὶ θάτερ' ἐξειργάζετο.

Σωκράτης δ', ἰδών τινα ἀμέτρως τῇ ἐποψήσει χρώμενον· Ὦ παρόντες, ἔφη· τίς ὑμῶν τῷ μὲν ἄρτῳ ὡς ὄψῳ χρῆται, τῷ δ' ὄψῳ ὡς ἄρτῳ;

III. Ἡμεῖς δὲ νῦν περὶ τῶν Ὁμηρικῶν συμποσίων λέξομεν. ἀφορίζει γὰρ αὐτῶν ὁ ποιητὴς χρόνους, πρό-

1 ἐξέτεινεν ms. *A*. An ἐξέτεινέ τι?

laum vero, narrant, ad convivium vocatum, cum adcubuiſſet homini voraciter ſe ingurgiganti, nec cibo frui ipſe poſſet, porrigenti cuidam e convivis quod comederet dixiſſe:

Bene ſit tibi; Telepho vero, ut ego cogito.

Sic autem fors tulerat, ut Telephus nomen eſſet illi obſoniorum helluoni. Zeno vero, cum aliquis e praeſentibus lurconibus, ſimulatque piſcis adponebatur, partem eius ſuperiorem abripuiſſet, vertens piſcem ipſe, alteram partem abſtraxit, dicens:

Ino vero ab altera parte rem conficiebat.

Socrates autem, cum videret aliquem immodice obſonia vorantem: *O convivae*, ait, *ecquis veſtrûm pane pro obſonio utitur, obſonio vero pro pane?*

3. At nos nunc *de Homericis Conviviis* verba faciemus. In his igitur poëta diſtincte tempora, perſonas, cauſſas

e σωπα, αἰτίας. τοῦτο δὲ ὀρθῶς ἀπεμάξατο ὁ Ξενοφῶν, καὶ Πλάτων· οἱ κατ' ἀρχὰς τῶν ξυγγραμμάτων ἐκτίθενται τὴν αἰτίαν τοῦ συμποσίου, καὶ τίνες οἱ παρόντες. Ἐπίκουρος δὲ οὐ τόπον, οὐ χρόνον ἀφορίζει, οὐ προλέγει οὐδέν. δεῖ οὖν μαντεύσασθαι, πῶς ποτ' ἄνθρωπος ἐξαπίνης ἔχων κύλικα προβάλλει ζητήματα, καθάπερ ἐν διατριβῇ λέγων. Ἀριστοτέλης δὲ, ἄλουτον καὶ κονιορτοῦ ἥκειν πλήρη τινὰ ἐπὶ τὸ συμπόσιον ἀπρεπὲς εἶναι, [1] φησίν. Εἶτ' ὁ μὲν Ὅμηρος ἐκδι- f δάσκει, τίνας κλητέον· εἰπὼν, ὡς τοὺς ἀρίστους τε καὶ ἐντίμους χρὴ καλεῖν·

Convivia Homerica, collata cum Platonis, Xenophontis & Epicuri Conviviis.

Quinam sint ad convivium vocandi?

Κίκλησκεν δὲ γέροντας ἀριστῆας Παναχαιῶν.

οὐχ ὃν τρόπον Ἡσίοδος· οὗτος γὰρ ἀξιοῖ καὶ [2] τοὺς γείτονας

— μάλιστα καλεῖν, ὅστις σέθεν ἐγγύθι ναίει.

τοῦτο γὰρ ὡς ἀληθῶς ἀροτικῆς [3] ἐστιν ἀναισθησίας

1 Desunt vulgo duo verba ἀπρεπὲς εἶναι. 2 Deest καὶ ms. *Epit.* 3 βρωτικῆς edd. cum ms. *A.*

definit: quod recte imitati sunt *Xenophon* & *Plato*, qui scriptionum suarum initio & causam convivii, & quinam adsint convivae, exponunt. *Epicurus* vero nec locum nec tempus definit, nec praefatur quidquam. Itaque hariolari oportet, qui fiat ut homo, calicem tenens, subito quaestiones proponat, & tamquam in schola disputet. Aristoteles vero, *non decere*, ait, *illotum & pulvere sordidum ad convivium venire.* Porro docet Homerus, *quinam sint ad convivium vocandi;* nempe optimi & honorati:

Vocavit vero senes optimates omnium Achivorum:

non quemadmodum Hesiodus; qui vult, etiam *vicinos maxime vocari, quicumque prope te habitat.*

Est enim hoc, vere ut dicam, rusticae stupiditatis con-

συμπόσιον, καὶ τῇ μισανθρωποτάτῃ τῶν παροιμιῶν ἁρμόττον,

Τηλοῦ φίλοι ναίοντες, οὐκ εἰσὶν φίλοι. a

πῶς γὰρ οὐκ ἄλογον, τόπῳ τὴν φιλίαν, καὶ οὐ τρόπῳ κρίνεσθαι; Τοιγαροῦν παρ' Ὁμήρῳ, μετὰ τὸ πιεῖν,

Τοῖς δ' ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν.

παρὰ δὲ τοῖς οὐ τὰ σώφρονα συμπόσια συνάγουσι,

Τοῖς δ' ὁ κόλαξ πάμπρωτος ὑφαίνειν ἤρχετο μῶκον.

Ἔτι δὲ ὁ μὲν Ὅμηρος ἡλικίαις εἰσάγει διαφέροντας, καὶ ταῖς προαιρέσεσι, τοὺς κεκλημένους, Νέστορα, καὶ Αἴαντα, καὶ Ὀδυσσέα· τὸ μὲν καθόλου, σύμ- b
παντας τῆς ἀρετῆς ἀντεχομένους· εἴδει δὲ, [1] διαφόροις ὁδοῖς ὡρμηκότας ἐπ' αὐτήν. ὁ δ' Ἐπίκουρος ἅπαντας εἰσήγαγεν προφήτας ἀτόμων· καὶ ταῦτ', ἔχων παραδείγματα, τήν τε τοῦ ποιητοῦ τῶν συμποσίων

1 ἤδη δὲ edd.

vivium, & conveniens proverbio illi, quo nihil magis a caritate quae inter homines intercedere debet, alienum eſt:

Amici procul habitantes, non ſunt amici.

Quam eſt enim a ratione alienum, *loco* amicitiam metiri, non *moribus?* Itaque apud Homerum, poſtquam biberunt,

Illis ſenex primus omnium texere coepit conſilium.

Apud eos autem qui convivia non modeſta componunt,

Illis aſſentator primus omnium texere incipit ſannas.

Ad haec Homerus convivas inducit aetatibus & vitae inſtitutis diverſos, Neſtorem, Aiacem, Ulyſſem: generatim quidem univerſos virtutis ſtudioſos, ſed ſigillatim viis diverſis ad illam contendentes. Epicurus vero omnes inducit atomorum prophetas; idque quamvis non deeſſent ei exempla, cum Homeri in conviviis va-

ποικιλίαν, καὶ τὴν Πλάτωνός τε καὶ Ξενοφῶντος χάριν. ὧν ὁ μὲν Πλάτων τὸν μὲν Ἐρυξίμαχον ἰατρὸν, τὸν δὲ Ἀριστοφάνη ποιητὴν, ἄλλον δ' ἀπ' ἄλλης προ-
p. αιρέσεως, [1] σπουδάζοντας εἰσήγαγε· Ξενοφῶν δὲ καί
177 b τινας ἰδιώτας συνανέμιξε. Πολλῷ τοίνυν κάλλιον Convivio-
rum apud
Ὅμηρος ἐποίησε, καὶ διάφορα παρατιθέμενος συμ- Homerum
πόσια. πάλιν γὰρ [2] ἐξ ἀντιπαραβολῆς ὁρᾶται μᾶλ- varietas.
λον. ἔστι γὰρ αὐτῷ τὸ μὲν τῶν μνηστήρων, οἷον ἂν γένοιτο νεανίσκων μέθαις καὶ ἔρωσιν ἀνακειμένων· τὸ δὲ τῶν Φαιάκων, εὐσταθέστερον μὲν τούτων, φιλήδονον δέ. τούτοις δ' ἀντέθηκε τὰ μὲν ἐπὶ στρατιᾶς, [3] τὰ δὲ πολιτικώτερον τελούμενα σωφρόνως. καὶ πάλιν αὖ διεῖλε τὰ μὲν δημοθοινίαν ἔχοντα, τὰ δ' οἰκείων σύνο-

1 Vulgo: ἀπ' ἄλλης προαιρέσεως ἐδόντων. οὔτε γὰρ κόλακα πρέπον ἐστὶν εἶναι &c. praetermiſſis quam plurimis, quae paulo ante finem quarti Libri inde a pag. 177. *a.* usque pag. 182. *bc.* alieno loco inſerta legebantur. 2 Pro πάλιν γὰρ Caſaubonus τὸ καλὸν γὰρ repoſitum voluit. Non ſpernerem equidem πάλιν γὰρ ἐξ ἀντιπ. ὁρ. μᾶλλον τὸ καλόν. 3 στρατείας malim.

rietas, tum Platonis & Xenophontis venuſtas: e quibus Plato & Eryximachum medicum, & Ariſtophanem poëtam, & alium aliam artem profeſſum de rebus ſeriis diſputantes induxit; Xenophon vero etiam ineruditos nonnullos admiſcuit. Multo igitur melius Homerus fecit, cum diverſa etiam convivia proponat: rurſus enim ex oppoſitione & collatione cum aliis planius (unumquodque) perſpicitur. Eſt enim aliud apud illum procorum convivium, quale fuerit iuvenum ebrietati & amoribus deditorum; aliud Phaeacum, moderatius illud quidem, quam procorum, ſed tamen voluptarium: his vero oppoſuit partim quae in caſtris, partim quae magis in vita civili peraguntur modeſte. Tum rurſus diſtinxit ea quae publicam aliquam celebritatem habent, & haec ad quae nonniſi familiares con-

δον. Ἐπίκουρος δὲ συμπόσιον φιλοσόφων μόνον πεποίηται.

IV. Quos non neceſſe ſit vocare.

Ἐδίδαξε δ' Ὅμηρος καὶ οὓς οὐ δεῖ καλεῖν, ἀλλ' c αὐτομάτους ἰέναι πρεπόντως· ἐξ ἑνὸς τῶν ἀναγκαίων δεικνὺς τὴν τῶν ὁμοίων παρουσίαν·

Αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος.

δῆλον γὰρ ὡς οὔτε ἀδελφὸν, οὔτε γονέας, οὔτε γυναῖκα κλητέον, οὔτ' εἴ τις ἰσοτίμως τινὰς τούτοις ἄγει· [1] καὶ γὰρ ἂν ψυχρὸν εἴη, καὶ ἄφιλον. καί τοι τινὲς στίχον προσέγραψαν, τὴν αἰτίαν προστιθέντες·

Spurius apud Homerum verſus.

Ἤιδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο.

ὥσπερ δέον ὂν [2] εἰπεῖν αἰτίαν, δι' ἣν ἀδελφὸς αὐτόματος ἂν ἥκοι πρὸς δεῖπνον· πιθανῆς τῆς αἰτίας ἀποδιδο- d μένης. „Πότερον γὰρ, φησὶν, ὡς οὐκ ᾔδει τὸν ἀδελ-

1 ἄγοι edd. cum ms. *A*. 2 ὂν deeſt ed. Caſ. ὂν & mox αἰτίαν deſunt edd. vett. & ms. *A*.

veniunt. Epicurus vero convivium ſolum deſcripſit philoſophorum.

4. Docuit vero Homerus etiam, *quos non oporteat vocari, ſed quos deceat ſponte venire*: nempe exemplo unius e neceſſariis declarat etiam ſimilium praeſentiam:

Sponte vero ei venit bello praeſtans Menelaus.

Perſpicuum eſt enim, neque fratrem, neque parentes, neque uxorem debere invitari, neque ſi quos pari honore atque hos habemus: frigidum enim id eſſet, & amicitiae parum conveniens. Quamquam adiecerunt nonnulli verſum, quo cauſſam etiam eius rei redderent:

Noverat enim in animo, fratrem ſuum eſſe occupatum.

Quaſi opus fuiſſet cauſſam allegare, cur frater ſponte venerit ad coenam; cum ſatis probabilis ſit cauſſa, quam reddidimus. »Utrum enim, inquit, [nempe, is qui illum verſum adiecit, aut pro genuino habuit] quod non noviſſet epulum parare fratrem, [ideo αὐ-

φὸν ἑστιῶντα; καὶ πῶς οὐ γελοῖον, ὁπότε περιφανὴς ἦν ἡ βουθυσία, καὶ πᾶσι γνώριμος; πῶς δ' ἂν ἦλθεν, εἰ μὴ ἤδει; ἢ, νὴ Δία, περισπώμενον (φησὶν) αὐτὸν εἰδὼς, συνεγνωμόνει τῷ μὴ κεκληκέναι· καὶ [1] συμπεριφερόμενος, ἦλθεν αὐτόματος." ὥσπερ ὁ φήσας, [2] ἄκλητον ἥκειν, ἵνα μὴ πρωΐας ὑποβλέπωσιν ἀλλήλους, ὁ μὲν αἰδούμενος, ὁ δὲ μεμφόμενος. Ἀλλὰ γελοῖον ἦν, ἐπιλαθέσθαι τὸν Ἀγαμέμνονα τοῦ ε ἀδελφοῦ· καὶ ταῦτα, δι' ἐκεῖνον οὐ μόνον εἰς τὸ παρὸν θύοντα, ἀλλὰ καὶ τὸν πόλεμον ἀναδεδεγμένον, καὶ κεκληκότα τοὺς μήτε γένει προσήκοντας, μήτε πατρίδι προσῳκειωμένους. Ἀθηνοκλῆς δ' ὁ Κυζικηνὸς, μᾶλλον Ἀριστάρχου κατακούων τῶν Ὁμηρικῶν ἐπῶν, Aristarchus, criticus minus idoneus.

1 καὶ deeſt msto. Pro τῷ μὴ κεκλ. Caſ. τὸ μὴ κεκλ. malebat. Equidem τῷ μὴ κεκληκέναι ex τῷ μὴ κεκληκότι καὶ corruptum ſuſpicor. 2 ὡσπερεὶ φήσας malim cum Caſ.

τόματος advenit Menelaus?] Id vero ridiculum, quandoquidem illuſtre erat ſacrificium, & omnibus notum. Tum vero, quo pacto veniſſet, ſi non noviſſet? Annon potius, per Iovem, inquit, cum noſſet illum negotiis diſtrictum, ignovit illi quod ſe non vocarit, & adcommodans ſe ei ſponte venit?« -- Quaſi qui dicat, quamvis invocatum, veniſſe tamen, ne proximo mane limis oculis ſe invicem intuerentur, alter pudore adfectus, alter habens quod de fratre quereretur. Immo vero ridiculum erat, (cogitare, *vel* ſtatuere,) Agamemnonem oblitum eſſe fratrem; cum praeſertim ipſius cauſſa non modo nunc ſacrum faceret, verum etiam univerſum bellum ſuſcepiſſet, vocaſſetque illos qui neque generis propinquitate, nec communitate patriae, cum ipſo erant coniuncti. Athenocles quidem Cyzicenus, rectius quam Ariſtarchus intelligens Homerica car-

εὐπαιδευτότερον ἡμῖν φησι, τοῦτον [1] Ὅμηρον καταλιπεῖν, ὡς τῆς ἀνάγκης ὁ Μενέλεως οἰκειοτέρως ἔχων. [2] Δημήτριος δ' ὁ Φαληρεὺς ἐπαρίστερον τὴν τοῦ στίχου παράληψιν ἐπειπών, [3] καὶ τῆς ποιήσεως ἀλλότριον, τοῦ,

Ἤιδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο

μικρολογίαν ἐμβάλλει [4] τοῖς ἤθεσιν. „Οἶμαι γάρ, φησὶν, ἕκαστον τῶν χαριέντων ἀνθρώπων ἔχειν καὶ οἰκεῖον καὶ φίλον, πρὸς ὃν ἂν ἔλθοι θυσίας οὔσης, τὸν καλοῦντα μὴ περιμείνας."

V.

Immerito Homerum reprehendit Plato.

Πλάτων δ' ἐν τῷ Συμποσίῳ περὶ τῶν αὐτῶν λέγει οὕτως· „Ἵνα καὶ τὴν παροιμίαν φησὶ διαφθείρωμεν μεταβάλλοντες, ὡς ἄρα καὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν αὐτόματοι ἀγαθοί. Ὅμηρος μὲν γὰρ

1 τὸν Ὅμηρον habent edd. ignorantes τοῦτον. 2 ἔχειν vulgo; quod in εἶχεν mutatum Casaubonus voluit. 3 προειπὼν malles; sed mutare non ausim vulgatum. 4 ἐγκαλεῖ malebam.

mina, magis erudite nobis dicit, Menelaum silentio praeteritum esse ab Homero (in recensu eorum qui vocati sunt ad convivium,) ut qui necessitudine magis quam caeteri cum Agamemnone fuisset coniunctus. Demetrius vero Phalereus, postquam imperitam & a poësi alienam declaravit adiectionem versus illius,

Noverat enim in animo fratrem, quod laboraret:

arguere eum ait illiberalitatem morum. »Puto enim, (inquit) neminem esse paulo liberalioris ingenii hominem, quin habeat & familiarem & amicum, quem adeat, cum sacrificium ille celebrat, non exspectans vocantem.«

5. Plato vero, in Convivio, de eodem argumento sic loquitur: »Ut etiam proverbium, inquit, corrumpamus & immutemus, nempe *bonorum etiam fortiumque virorum ad epulas ultro accedere bonos fortes-*

κινδυνεύει οὐ μόνον διαφθεῖραι, ἀλλὰ καὶ ὑβρίσαι εἰς αὐτήν. ποιήσας γὰρ τὸν Ἀγαμέμνονα ἀγαθὸν τὰ πολέμια, τὸν Μενέλαον δὲ μαλθακὸν αἰχμητὴν, θυσίαν ποιουμένου τοῦ Ἀγαμέμνονος, ἄκλητον ἐποίη-
b σεν ἐλθόντα τὸν χείρονα ἐπὶ τὴν τοῦ ἀμείνονος δίαιταν. " Βακχυλίδης δὲ, περὶ Ἡρακλέους [1] λέγων, ὡς ἦλθεν ἐπὶ τὸν τοῦ Κήϋκος οἶκον, φησίν·

Ἔστη δ' ἐπὶ λαΐνον οὐδὸν,
(τοὶ δὲ θοίνας ἔντυνον) ὧδέ τ' ἔφασκ'· [2]
Αὐτόματοι δ' ἀγαθῶν δαῖτας εὐόχθους
ἐπέρχονται δίκαιοι φῶτες.

Proverb. *Boni ad bonorum convivia &c.*

Αἱ δὲ παροιμίαι, ἡ μέν φησιν·

Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν.

ἡ δέ·

Αὐτόματοι ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασιν.

1 Perperam Κήϋκος ms. *A.* pro Ἡρακλέους. Sex verba h. l. prorsus desiderantur in edd. 2 ἔφασ' vulgo apud Athen. quod si verum, oportebat ἔστα verſ. praeced.

que. Homerus quidem illud non modo corrupiſſe videtur, ſed plane ludibrio habuiſſe. Nam cum Agamemnonem *bonum virum* fecerit in re bellica, Menelaum vero *mollem pugnatorem*; cum ſacrificium celebrat Agamemnon, invocatum adeuntem fecit peiorem ad melioris epulum. « Bacchylides vero, de Hercule loquens, ut ad Ceycis domum venit, ait:

Stetit vero ad ſaxeum limen,
(illi vero epulum parabant) & ſic dixit:
Ultro ad fortium virorum epulas bene-inſtructas
accedunt iuſti viri.

Sunt autem proverbia duo. Alterum:

Ultro fortes viri fortium adeunt epulas.

alterum:

Ultro fortes viri ignavorum adeunt epulas.

Non ignavus Menelaus.

Οὐ δεόντως γοῦν Πλάτων τὸν Μενέλαον ἐνόμισεν εἶναι δειλόν· ὃν ἀρηΐφιλον Ὅμηρος λέγει, καὶ μόνον c ὑπὲρ Πατρόκλου ἀριστεύσαντα, καὶ τῷ Ἕκτορι πρὸ πάντων πρόθυμον μονομαχεῖν, καίπερ ὄντα τῇ ῥώμῃ καταδεέστερον· ἐφ' οὗ μόνου τῶν στρατευσαμένων εἴρηκεν.

Ἐν δ' αὐτὸς κίεν, ἦσι προθυμίῃσι πεποιθώς.

Εἰ δὲ ὁ ἐχθρὸς, βλασφημῶν αὐτὸν, εἴρηκε μαλθακὸν αἰχμητὴν, καὶ διὰ τοῦτο Πλάτων τῷ ὄντι μαλθακὸν αὐτὸν ὑπολαμβάνει, οὐκ ἂν φθάνοι καὶ τὸν Ἀγαμέμνονα τιθεὶς ἐν τοῖς Φαύλοις, ὃν αὐτός φησιν εἶναι ἀγαθόν· εἴπερ εἰς αὐτὸν εἴρηται τοῦτο τὸ ἔπος· d

Οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο.

οὐ γὰρ, εἴ τι λέγεται παρ' Ὁμήρῳ, τοῦθ' Ὅμηρος λέγει. πῶς γὰρ ἂν εἴη μαλθακὸς Μενέλαος, ὁ τὸν Ἕκτορα μόνος ἀπείρξας τοῦ Πατρόκλου, καὶ Εὔφορ-

Immerito igitur Plato Menelaum ignavum & imbellem esse existimavit: quem *Marti carum* Homerus dicit; qui solus pro Patroclo fortissime pugnavit, & ante omnes cum Hectore singulare certamen inire fuit paratus, quamvis robore esset illi inferior; de quo solo ex omnibus, qui in exercitu erant, dixit poëta,

Inter eos ipse ibat, animosa sua virtute fretus.

Quod si hostis, calumnians eum, *mollem bellatorem* dixit, ob eamque causam re vera mollem eum Plato iudicat; quidni & Agamemnonem, quem ipse fortem praedicat, in ignavis numerat? quandoquidem in eum exstat hoc dictum:

Tu vino gravis, canis oculos habes, cor vero cervi.

Nec enim, quidquid apud Homerum dicitur, id ipse Homerus dicit. Quo enim pacto mollis fuerit Menelaus, qui Hectorem solus a Patroclo prohibuit, & Euphor-

βον ἀποκτείνας τε καὶ σκυλεύσας ἐν μέσοις τοῖς Τρωσί; τὸ δὲ μηδὲ τὸν στίχον, ὃν ἠτιᾶτο, τελείως κατα-
e νοῆσαι, ἄτοπον· δι' οὗ βοὴν ἀγαθὸς Μενέλαος λέγεται. τοῖς γὰρ ἀνδρειοτάτοις Ὅμηρος εἴωθεν ἐπιφωνεῖν, καλούντων τῶν παλαιῶν τὸν πόλεμον βοήν.

VI.

Decorum obſervare docet Homerus.

Πάντα δ' ὧν ἀκριβὴς Ὅμηρος, καὶ τὸ μικρὸν τοῦτο οὐ παρέλιπε, τὸ δεῖν θεραπεύσαντα τὸ σωμάτιον, καὶ λουσάμενον, ἰέναι πρὸς τὸ δεῖπνον. ἐπί τ' οὖν [1] τοῦ Ὀδυσσέως εἶπε, πρὸ τῆς παρὰ Φαίαξι θοίνης·

Αὐτόδιον δ' ἄρα μιν ταμίη λούσασθαι ἄνωγεν.

f ἐπὶ δὲ τῶν περὶ Τηλέμαχον·

Ἐς ῥ' ἀσαμίνθους βάντες ἐϋξέστας λούσαντο.

Ἀπρεπὲς γὰρ ἦν, φησὶν Ἀριστοτέλης, ἥκειν εἰς τὸ συμπόσιον σὺν ἱδρῶτι πολλῷ καὶ κονιορτῷ. δεῖ γὰρ

1 ἐπὶ γοῦν malim: aut paulo poſt ἐπί τε τῶν περὶ Τηλ.

bum occidit & medios inter Troianos deſpoliavit? Quod autem verſum, quem reprehendit, ne quidem integrum conſideravit, id vero abſurdum eſt. Nam quod ibi βοὴν ἀγαθὸς (*clamore bonus*) dicitur Menelaus, eo elogio Homerus viros fortiſſimos ſolet ornare; quandoquidem veteres bellum βοὴν (*clamorem*) adpellabant.

6. Quemadmodum vero in omnibus adcuratus eſt Homerus, ſic ne minutum quidem illud praeteriit quin doceret, debere convivas *curato corpore* & *lotos* ad convivium ire. De Ulyſſe igitur dixit, priusquam apud Phaeacas epularetur,

Continuo iuſſit defeſſum proma lavare.

& de Telemacho eiusque ſocio,

Ad labra deſcendentes bene-polita, lavarunt.

Eſt enim indecorum, ait Ariſtoteles, in convivium venire cum multo ſudore & pulvere. Debet enim homo

τὸν χαρίεντα μήτε ῥυπᾶν, μήτε αὐχμεῖν, μήτε βορβόρῳ χαίρειν, καθ' Ἡράκλειτον. Δεῖ δὲ καὶ τὸν πρῶτον εἰς ἀλλοτρίαν οἰκίαν ἐρχόμενον ἐπὶ δεῖπνον, μὴ γαστρισόμενον εὐθὺς ἐπὶ τὸ συμπόσιον χωρεῖν, ἀλλά a
τι δοῦναι πρότερον τῷ Φιλοθεάμονι, καὶ κατανοῆσαι τὴν οἰκίαν. οὐδὲ γὰρ τοῦτο παρέλιπεν ὁ ποιητής·

Αὐτοὶ δ' εἰσῆλθον [1] θεῖον δόμον· οἱ δὲ ἰδόντες
θαύμαζον κατὰ δῶμα διοτρεφέος βασιλῆος.
ὥστε γὰρ ἠελίου αἴγλη πέλεν, ἠὲ σελήνης,
δῶμα καθ' ὑψιρεφὲς Μενελάου κυδαλίμοιο.

Καὶ Ἀριστοφάνης ἐν Σφηξὶ ποιεῖ τὸν ἄγριον γέροντα καὶ Φιλοδικαστὴν καταῤῥυθμιζόμενον εἰς βίον ἥμερον ὑπὸ τοῦ παιδός· b

Παῦ', ἀλλὰ δευρὶ κατακλινεὶς προσμάνθανε
ξυμποτικὸς εἶναι καὶ ξυνουσιαστικός.

διδάξας τε αὐτὸν ὡς δεῖ κατακλίνεσθαι, φησίν·

1 Rectius apud Homerum legitur Αὐτοὺς δ' εἰσῆγον.

paulo cultior nec ſordere, nec ſquallere, nec gaudere luto, ut ait Heraclitus. Porro qui primum in alienam domum ad coenam venit, is non debet explendo ventri unice intentus ſtatim ad convivium pergere, ſed prius etiam nonnihil dare ſpectandi cupiditati, & aedes contemplari. Nam ne hoc quidem praetermiſit poëta:

Illi vero intrarunt auguſtam domum: videntesque
admirabantur per aedes regis Iovis-alumni.
Inſtar enim ſolis ſplendor erat ſive lunae,
domum per excelſam illuſtris Menelai.

Et Ariſtophanes in Veſpis facit ruſticum & litigioſum ſenem ad manſuetam & moderatam vitam vocari a filio:

Deſine; hîc vero adcumbens diſce
comiter in conviviis & amicorum congreſſu verſari.

Dein, poſtquam eum docuit quomodo adcumbendum ſit, pergit dicere:

Ἔπειτ' ἐπαίνεσόν τι τῶν χαλκωμάτων,
ὀροφὴν θέασαι, κρεκάδι' αὐλῆς θαύμασον.

VII. A libatione incipit convivia.

Καὶ πρὸ τοῦ θοινᾶσθαι δὲ ἃ δεῖ ποιεῖν ἡμᾶς, διδάσκει πάλιν Ὅμηρος, ἀπαρχὰς τῶν βρωμάτων νέμειν τοῖς θεοῖς. οἱ γοῦν περὶ τὸν Ὀδυσσέα, καίπερ
c ὄντες ἐν τῷ τοῦ Κύκλωπος σπηλαίῳ·

Ἐνθάδε πῦρ κείαντες ἐθύσαμεν· ἠδὲ καὶ αὐτοὶ
τυρῶν αἰνύμενοι φάγομεν.

καὶ ὁ Ἀχιλλεὺς, καίπερ ἐπειγομένων τῶν πρέσβεων, ὡς ἐν μέσαις νυξὶν ἡκόντων, ὅμως

— — — Θεοῖσι δὲ θῦσαι ἀνώγει
Πάτροκλον, ὃν ἑταῖρον· ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς.

καὶ σπονδοποιεῖταί γε τοὺς δαιτυμόνας.

Κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο ποτοῖο·
d νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
αὐτὰρ ἐπεὶ σπείσαντο. —

Dein lauda aliquod ex vaſis,
lacunaria ſpecta, ornamenta aulae mirare.

7. Tum rurſus quid, priusquam epulari incipiamus, faciendum ſit nobis, docet Homerus; nempe, *primitias ciborum Deo eſſe offerendas.* Sic ſane Ulyſſes facit cum ſuis, quamvis in Cyclopis eſſent ſpecu:

Ibi ignem accendentes, Diis ſacra fecimus; dein & ipſi ſumtum caſeum comedimus.

Et Achilles, quamvis urgerent legati, qui media nocte venerant, tamen

— — — *Diis ſacrificare iubet*
Patroclum, ſuum ſodalem: ille vero libamina igni iniecit.

Pariterque, ut par erat, libantes inducit convivas:

Pueri quidem crateras coronarunt vino;
diſtribueruntque omnibus, auſpicantes poculis:
Poſtquam vero libaſſent. —

Ὅπερ καὶ Πλάτων φυλάσσει κατὰ τὸ συμπόσιον. μετὰ γὰρ τὸ δειπνῆσαι σπονδάς τέ φησιν ποιῆσαι, καὶ τὸν θεὸν παιωνίσαντας τοῖς νομιζομένοις γέρασι. παραπλησίως δὲ καὶ Ξενοφῶν. παρὰ δ' Ἐπικούρῳ, οὐ σπονδή, οὐκ ἀπαρχὴ θεοῖς· ἀλλ', ὥσπερ Σιμωνίδης ἔφη περὶ τῆς ἀκόσμου γυναικὸς,

ἄθυτα δ' ἱερὰ πολλάκις κατεσθίει.

VIII. Modum in vino commendat Homerus.

Τὴν γὰρ σύμμετρον κρᾶσιν τοῦ οἴνου ὑπὸ Ἀμ- e
φικτύονος βασιλεύσαντος διδαχθῆναί φασιν [1] Ἀθη-
ναίους, καὶ διὰ τοῦτο ἱερὸν Διονύσου Ὀρθοῦ ἱδρύσα-
σθαι. τότε γὰρ ὀρθός ἐστι τῷ ὄντι καὶ οὐ σφαλερὸς, ὅταν συμμέτρως καὶ κεκραμένως πίνηται.

— — — Οἶνος γὰρ ἀνώγει
ἠλεὸς, ὅς τ' ἐφέηκε πολύφρονά περ μάλ' ἀείσαι,
καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκεν,
καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον. f

1 Perperam φησὶν ed. Baſ. & Caſ.

Quem ritum etiam Plato obſervat in Convivio. Nam *coenatos libationes feciſſe* ait, *& Deo hymnos ceciniſſe, iuſto eum honore proſequentes.* Similiter & Xenophon fecit. Apud Epicurum vero non libatur Diis, non primitiae eis offeruntur: ſed, quemadmodum Simonides de immodeſta dixit muliere,

Non immolatas victimas ſaepe comedit.

8. Nam convenientem vini mixtionem dicunt ab Amphictyone rege edoctos eſſe Athenienſes, ob eamque rem templum conſecratum *Baccho Recto.* Tunc enim vere rectus eſt & minime titubans nocensque, cum modicum & dilutum bibitur.

— — — *Vinum enim iubet*
ſtultum, quod impulit etiam ſapientem multum cantare,
& ad molliter ridendum ſaltandumque incitavit,
& aliquod proferre fecit verbum, quod indictum fuerat melius.

Τὸν γὰρ οἶνον Ὅμηρος, οὐκ ἠλεὸν ὥσπερ ἠλίθιον καλεῖ, καὶ ματαιοποιόν· οὐδὲ κελεύει σκυθρωπὸν εἶναι, μήτε ᾄδοντα, μήτε γελῶντα, μήτ' ἐνρύθμως ποτὲ καὶ πρὸς ὄρχησιν τρεπόμενον. οὐχ οὕτως ἀγροῖκος, οὐδ' ἐπαρίστερός ἐστιν. Ἀλλ' ἤδει τούτων ἑκάστου καὶ ποσότητος καὶ ποιότητος διαφοράν. ὅθεν οὐκ εἶπεν, ὡς ἄρα τὸν πολύφρονα ὁ οἶνος ποιεῖ ᾄσαι, a ἀλλὰ μάλ' ἀείσαι, τουτέστιν ἀμέτρως καὶ ἐπὶ πλεῖον, ὥστε [1] προσοχλεῖν, οὐδ' ἔτι γελάσαι μὰ Δί', οὐδ' ὀρχήσασθαι· κοινὸν δ' ἐπ' ἀμφοτέρων λαβὼν τὸ ἁπαλὸν, τὴν ἄνανδρον εἰς τοῦτο πρόπτωσιν ἐπιστομίζει·

Καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκεν.

Παρὰ δὲ τῷ Πλάτωνι τούτων οὐδὲν ἔμμετρον. ἀλλὰ πίνουσι μὲν τοσοῦτον, ὥστε μηδὲ τοῖς ἰδίοις ποσὶν ἱστασθαι. ὅρα γὰρ τὸν ἐπίκωμον Ἀλκιβιάδην, ὡς ἀσχημο- Apud Platonem bibunt immoderate.

1 Vulgo ὥσπερ.

Vinum enim Homerus non (per ſe) ἠλεὸν, id eſt, *ſtultum* vocat, & *mentem aberrare faciens*: neque iubet, ut tetrici ſimus, nec canentes, nec ridentes, nec aliquando etiam ad concinnam ſaltationem nos convertamus. Non adeo ruſticus, aut laevus eſt. Sed noverat ille, quanta in his quoque ſit differentia, quod ad quantitatem adtinet & ad qualitatem. Itaque non dixit, *prudentem virum vinum facit canere*, ſed *multum cantare*, hoc eſt, immodice & nimium; ut turbas cieat, & moleſtus ſit aliis. Nec vero nude *ridere* dicit, per Iovem, & *ſaltare*: ſed ad utrumque ex communi illud *molliter* adiiciens, reprimit parum virilem & impotentem ad iſta propenſionem:

Et ad molliter ridendum ſaltandumque incitavit.

Apud Platonem vero nihil horum modice fit. Sed bibunt tam affatim, ut ne pedibus quidem inſiſtere poſſint. Vide enim comeſſatorem Alcibiadem, quam indecore

νεῖ· οἱ δ' ἄλλοι τὸν ὀκτακότυλον ψυκτῆρα πίνουσι, προφάσεως λαβόμενοι, ἐπεί περ αὐτοὺς προείλκυσεν b Ἀλκιβιάδης. οὐχ ὥσπερ οἱ παρ' Ὁμήρῳ,

Αὐτὰρ ἐπεὶ σπεῖσαντ', ἔπιόν θ' ὅσον ἤθελε θυμός.

Τούτων οὖν, ἃ μὲν καθάπαξ περιγραπτέον, οἷς δὲ συμμέτρως χρηστέον, ὥσπερ ἀναθήμασί τισι μικρὸν προσαποβλέψαντας, καθάπερ Ὅμηρος εἴρηκεν·

Μολπή τ', ὀρχηστύς τε· τὰ γάρ τ' ἀναθήματα δαιτός.

IX. Τὸ δ' ὅλον, τὸ πρὸς τὰ τοιαῦτα νενευκὸς τοῖς μνηστῆρσι καὶ τοῖς Φαίαξιν ἔνειμεν, ἀλλ' οὐχὶ Νέστορι, οὐδὲ Μενελάῳ· οὗ ἐν τῇ γαμοποιΐᾳ μὴ οὐ [1] c συνέντες οἱ περὶ Ἀρίσταρχον, ὅτι συνεχοῦς οὔσης τῆς ἑστιάσεως καὶ τῶν ἀκμαίων ἡμερῶν παρεληλυθυιῶν, ἐν αἷς παρείληπτο μὲν ἡ γαμουμένη πρὸς τοῦ νυμφίου, πέρας δ' εἶχεν ὁ τοῦ Μεγαπένθους γάμος, αὐτοὶ δὲ

Temere Aristarchus plures versus inserit Odysseae.

1 οὗ delet Coray.

se gerit: alii vero octo-cotylarum poculum exhauriunt, praetextu utentes quod Alcibiades ipsos provocasset: non ut apud Homerum,

postquam libarunt, biberuntque quantum desiderabat animus.

Horum igitur quaedam prorsus repudianda sunt; aliis modice utendum, exiguam & secundariam rationem eorum habendo, veluti auctariorum quorumdam, (*aut*, adpendicum) quemadmodum Homerus dixit:

Et cantus, & saltatio: haec enim sunt auctaria epularum.

9. Omnino vero harum rerum studium procis tribuit poëta, & Phaeacibus; non vero Nestori, aut Menelao: cuius in festivitate nuptiali non intelligens Aristarchus, loqui poëtam de die quae proxime sequebatur epulum, cum principales dies, quibus domum deducta sponsa est a sponso, iam praeteriissent, & finitae essent Mega-

μονάζοντες διητῶντο, ὅ τε Μενέλαος καὶ ἡ Ἑλένη· μὴ συνέντες, ἀλλ' ἐξαπατηθέντες ὑπὸ τοῦ πρώτου ἔπους.

Τὸν δ' εὗρον δαινύντα γάμον πολλοῖσιν ἑταῖσιν·
προσσυνῆψαν τοιούτους τινὰς στίχους·

d Ὡς οἱ μὲν δαίνυντο καθ' ὑψερεφὲς μέγα δῶμα,
γείτονες, ἠδὲ ἕται Μενελάου κυδαλίμοιο,
τερπόμενοι. μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
Φορμίζων· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.

μετενεγκόντες ἐκ τῆς Ὁπλοποιΐας σὺν αὐτῷ γε τῷ περὶ τὴν λέξιν ἁμαρτήματι. οὐ γὰρ ἐξάρχοντες οἱ κυβιστητῆρες, ἀλλ' ἐξάρχοντος τοῦ ᾠδοῦ, πάντως ὠρχοῦντο. τὸ γὰρ ἐξάρχειν, τῆς Φόρμιγ-
e γος ἴδιον. διόπερ ὁ μὲν Ἡσίοδος φησιν ἐν τῇ Ἀσπίδι·

— — — Θεαὶ δ' ἐξῆρχον ἀοιδῆς

Notatur error vulgatus apud Homerum.

penthis nuptiae, iamque ſoli cibum caperent Menelaus & Helena: haec, inquam, non intelligens Ariſtarchus, ſed deceptus primo illo verſu,

Hunc vero invenerunt nuptiale convivium praebentem multis amicis:

attexuit aliquot verſus huiusmodi:

Sic illi quidem epulabantur per ſublimem magnam domum vicini, & amici Menelai illuſtris,
ſeſe oblectantes. Inter eos vero cantabat divinus cantor citharam pulſans: duo vero petauriſtae ſeparatim cantum auſpicantes, rotabant ſeſe in eorum medio.

transferens eos ex *Armorum fabricatione* (Iliad. lib. XVIII.) ſimul cum ipſo errore in dictione admiſſo. Non enim *auſpicantes ſaltatores*, ſed *auſpicante cantore* utique ſaltabant. Nam *auſpicari*, (ſive *praeire*,) citharae proprium eſt. Itaque Heſiodus in Scuto dixit:

— — — *Deae vero auſpicabantur* (ſive, *praeibant*) *cantum*

Μοῦσαι Πιερίδες. — — —

καὶ ὁ Ἀρχίλοχος·

Αὐτὸς ἐξάρχων πρὸς αὐλὸν Λέσβιον παιήονα.

καλεῖ δὲ Στησίχορος μὲν τὴν Μοῦσαν, ἀρχεσίμολπον· Πίνδαρος δ' ἀγησίχορα, τὰ προοίμια. Διόδωρος δ' ὁ Ἀριστοφάνειος ὅλον τὸν γάμου περιέγραψε, τοπάζων πρώτας ἡμέρας εἶναι· καὶ τὸ λῆγον αὐτῶν, ἔτι δὲ καὶ τὸ ἕωλον τῆς συμποσίας, οὐκ ἐπιλογιζόμενος. ἔπειτα κελεύει γράφειν „ δοιὼ δὲ κυβιστητῆρε καθ' αὐτοὺς" ἐν τῷ δασεῖ γράμματι, σολοικίζειν ἀναγκάζων. τὸ μὲν γὰρ κατ' αὐτοὺς, κατὰ σφᾶς ἐστιν αὐτούς· τὸ δὲ λέγειν ἑαυτοὺς, σόλοικον.

Diodorus Aristophaneus foloecismum obtrudit Homero.

X.

Chorus Creticus.

Ἀλλ', ὅπερ εἶπον, ἡ τῶν ἀκροαμάτων εἰς τὸ σῶφρον τοῦτο συμπόσιον εἰσαγωγὴ, παρέγγραφός

Muſae Pierides.

& Archilochus:

Ipſe auſpicans ad tibiam Lesbium paeana.

Et Steſichorus Muſam, ἀρχεσίμολπον vocat: (i. e. *carmina-auſpicantem:*) Pindarus vero praeludia, ἀγησίχορα adpellat. (i. e. *choris & ſaltationibus praeeuntia.*) Diodorus vero Ariſtophaneus totum locum de nuptiis delendum cenſuit, ſtatuens de primis diebus agi, neque reputans agi de fine dierum nuptialium, & de reliquiis epuli. Deinde iubet [in Iliade] ſcribi δοιὼ δὲ κυβιστητῆρε καθ' αὐτοὺς, literâ aſpiratâ, ſoloece loqui cogens poëtam. Nam κατ' αὐτοὺς valet κατὰ σφᾶς αὐτούς: (*per ſe, ſeparatim, ſoli:*) ἑαυτοὺς vero dicere, ſoloecum eſt.

10. Sed, quod dixi, introductio iſtorum acroamatum in modeſtum hoc convivium adſcriptitia eſt, ex *Cre-*

ἐστιν ἐκ τοῦ Κρητικοῦ χοροῦ μετενηνεγμένη, περὶ οὗ
a φησι ἐν Ὁπλοποιΐᾳ·

Ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς Ἀμφιγυήεις,
τῷ ἴκελον, οἷόν ποτ' ἐνὶ Κνωσσῷ εὐρείῃ
Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ.
ἔνθα μὲν ἠίθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
ὠρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχουσαι. [1]

Τούτοις γὰρ ἐπιβάλλει·

Πολλὸς δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλος
b τερπόμενος· [2] δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.

Τοῖς μὲν οὖν Κρησὶν ἥ τε ὄρχησις ἐπιχώριος, καὶ τὸ κυβιστᾶν. διό φησι πρὸς τὸν Κρῆτα Μηριόνην·

Μηριόνη, τάχα κέν σε, καὶ ὀρχηστὴν περ ἐόντα,
ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ' ἔβαλλόν περ.

1 ἔχοντες vulgo apud Homer. 2 τερπόμενοι apud Homer.

tico choro huc translata, de quo in Armorum-fabricatione (Iliadis libro XVIII.) dicit:

In eo & chorum vario-effinxit-artificio inclytus Vulcanus,
ei similem, qualem olim in Cnosso lata
Daedalus concinnavit comas-pulcrae Ariadnae.
Ibi quidem adolescentes & virgines formosae
tripudiabant, alter alterius ad carpum manus tenentes.

His enim deinde subiicit:

Multa vero pulcram choream circumstabat turba,
oblectans se: duo autem saltantes in caput (petauristae)
separatim per se
cantum exordientes, rotabant sese per medios.

Iam Cretensibus quidem patrium est saltare, & in caput sese rotare. Quare ad Cretensem Merionem dicit (nonnemo:)

Merione, cito certe te, saltatorem quantumvis (egregium,)
hasta mea compescuisset in aeternum, si te feriissem.

Ὅθεν καὶ Κρητικὰ καλοῦσι τὰ ὑπορχήματα·

Κρήταν [1] μὲν [2] καλέουσι τρόπον· — —
τὸ δ' ὄργανον Μολοσσόν. —

„Οἱ δὲ λεγόμενοι Λακωνισταὶ, φησὶν ὁ Τίμαιος, ἐν τετραγώνοις χοροῖς ᾖδον. “ Καθόλου δὲ διάφορος ἦν ἡ μουσικὴ παρὰ τοῖς Ἕλλησι· τῶν μὲν Ἀθηναίων τοὺς Διονυσιακοὺς χοροὺς καὶ τοὺς κυκλίους προτιμώντων, Συρακουσίων δὲ τοὺς ἰαμβιστὰς, ἄλλων δ' ἄλλο τι.

Temere ex Homero versum eiicit Aristarchus.

Ὁ δὲ Ἀρίσταρχος οὐ μόνον εἰς τὸ τοῦ Μενελάου συμπόσιον ἐμβαλὼν οὓς οὐ προσῆκε στίχους, καὶ τῆς Λακώνων παιδείας ἀλλότριον ἐποίησε, καὶ τῆς τοῦ βασιλέως σωφροσύνης· ἀλλὰ καὶ τοῦ Κρητικοῦ χοροῦ τὸν ᾠδὸν ἐξεῖλεν, ἐπιτεμὼν τὰ ποιήματα τὸν τρόπον τοῦτον·

Πολλὸς δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλος
τερπόμενος· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς

1 Κρῆτα edd. & ms. *A.* 2 μὴν vulgo. μιν corr. Casaub.

Unde etiam hyporchemata (omnia,) *Cretica* vocantur.

Creticum quidem vocant modum : — —
instrumentum vero Molossum. — —

»Qui vero *Laconistae* dicuntur, ait Timaeus, in quadratis choris canebant.« Omnino vero varia fuit apud Graecos musica : nam Athenienses quidem bacchicos & orbiculares caeteris praeferebant choris, Syracusii vero iambistas, alii aliud quidpiam.

Aristarchus vero non solum insertis in Menelai convivium versibus istis, qui huc non pertinebant, alienum illud fecit & a Lacedaemoniorum institutis, & a regis modestia morum; verum etiam ex Cretico choro cantorem exemit, in hunc modum mutilans carmen:

Multa pulcram choream circumstabat turba,
oblectans se : duo autem petauristae separatim

μολπῆς ἐξάρχοντες, ἐδίνευον κατὰ μέσσους.
ὥστ' ἀνίατον γίνεσθαι παντάπασι τὸ ἐξάρχοντες, μηκέτι δυναμένης τῆς ἐπὶ τὸν ᾠδὸν ἀναφορᾶς σώζεσθαι.

XI.

In Menelai convivio non ſunt acroamata.

Διότι δὲ οὐ πιθανὸν, ἀκρόαμα παρὰ τῷ Μενελάῳ τυγχάνειν, δῆλον ἐκ τοῦ δι' ὁμιλίας ὅλον τὸ
c συμπόσιον περαίνεσθαι τῆς πρὸς ἀλλήλους, ὄνομα δὲ μηδὲν εἰρῆσθαι τοῦ ᾠδοῦ, μηδὲ ᾠδὴν ἣν ἦδε, μηδὲ προσέχειν τοὺς περὶ Τηλέμαχον αὐτῷ, καθάπερ δ' ἐν σιωπῇ τινι καὶ ἠρεμίᾳ κατανοεῖν μᾶλλον τὸν οἶκον· καί τοι γε πῶς οὐκ ἀπίθανον, τοὺς τῶν Φρονιμωτάτων υἱέας Ὀδυσσέως καὶ Νέστορος ἐπαριστέρους εἰσάγεσθαι, ὥστε τρόπον ἀγροίκων τινῶν μὴ προσέχειν τοῖς παρεσκευασμένοις ἀκροάμασιν; ὁ γοῦν Ὀδυσσεὺς προσέχει τοῖς τῶν Φαιάκων ἀσματοποιοῖς·

cantum exordientes, (ἐξάρχοντες,) *rotabant ſeſe per medios.*

Unde prorſus immedicabile factum eſt illud *exordientes*, quum non amplius ſervari aut reſtitui poſſit relatio ad *cantorem.*

11. Non autem eſſe probabile, acroama aliquod apud Menelaum tunc fuiſſe, inde eſt perſpicuum, quod totum convivium inter mutuam confabulationem peragitur, nec vel nominis mentio fit cantoris, vel carminis quod cecinerit, nec ad cantorem attendit Telemachus eiusque ſocius, ſed potius in ſilentio, & tamquam ſoli eſſent, contemplantur domum: quamquam nullo modo congruum erat futurum, prudentiſſimorum virorum Ulyſſis & Neſtoris filios ita laevos & ineptos inducere, ut veluti ruſtici quidam exquiſitis acroamatibus animum non attenderent. Ulyſſes profecto Phaeacum cantoribus attentam praebet aurem:

— — — — Αὐτὰρ Ὀδυσσεὺς
μαρμαρυγὰς ϑηεῖτο ποδῶν, ϑαύμαζε δὲ ϑυμῷ· f
καίπερ ἔχων πολλὰ τὰ περιέλκοντα, καὶ δυνάμενος εἰπεῖν·

Κήδεά μοι καὶ μᾶλλον ἐνὶ Φρεσὶν, ἥπερ ἀοιδαί.

Πῶς οὖν οὐκ ἂν ἀβέλτερος εἴη ὁ Τηλέμαχος, ὠδοῦ παρόντος καὶ κυβιστητῆρος, προσκύπτων πρὸς τὸν Πεισίστρατον, καὶ τῶν σκευῶν [1] διατιθέμενος; ἀλλ'

Bonus pictor Homerus.

Ὅμηρος, ὥσπερ ἀγαθὸς ζωγράφος, πάντα ὅμοιον a τῷ πατρὶ τὸν Τηλέμαχον παρίστησι. πεποίηκε γοῦν ἀμφοτέρους, τὸν μὲν τῷ Ἀλκινόῳ, τὸν δὲ τῷ Μενελάῳ διὰ δακρύων γνωριζομένους.

XII.

Apud Epicurum & Platonem immodesta multa & absurda.

Ἐν δὲ τῷ Ἐπικούρου συμποσίῳ κολάκων ἐστὶν ἀγυρις ἀλλήλους ἐπαινούντων. τὸ δὲ Πλάτωνος πλῆρές ἐστι μυκτηριστῶν, ἀλλήλους τωθαζόντων· τὸν γὰρ περὶ Ἀλκιβιάδου λόγον σιωπῶ. παρὰ δ' Ὁμήρῳ κε-

1 Forſ. ὑπὸ τῶν σκευῶν.

— — — — *Caeterum Ulyſſes*
micationes ſpectabat pedum, mirabaturque animo:
quamquam multa ille habebat quae animum eius distraherent, dicereque poterat,
Curae mihi etiam magis in animo, quam cantiones.
Quo pacto igitur ſtolidus non fuiſſet Telemachus, ſi, cum adeſſet cantor & ſolers ſaltator, tacite ad Piſiſtratum inclinaſſet, vaſorum admiratione defixus. At Homerus, tamquam bonus pictor, omni ex parte ſimilem patris repraeſentat Telemachum: quin & utrumque, alterum ab Alcinoo, alterum a Menelao, ex obortis lacrymis agnitum fecit.

12. In Epicuri vero Convivio eſt adulatorum turba, mutuis laudibus ſibi palpantium. Platonis autem epulum irriſoribus plenum eſt, ſe invicem cavillantium: nam, quae de Alcibiade dicuntur, ſilentio praetereo.

κρότηται τὰ σώφρονα συμπόσια. καὶ ποτὲ μὲν ἐπήνεσέ τις φήσας πρὸς τὸν Μενέλαον, ὡς οὐ τολμῶ λέγειν

b ἄντα σέθεν, τοῦ νῶϊ θεοῦ ὡς τερπόμεθ' αὐδῇ.

ὁ δ' ἐπελάβετό τινος τῶν οὐκ ὀρθῶς λεγομένων ἢ γιγνομένων·

Καὶ νῦν, εἴ τί που ἐστὶ, πίθοιό μοι· οὐ γὰρ ἔγωγε τέρπομ' ὀδυρόμενος μεταδόρπιος. —

ὁ δὲ πάλιν·

Τηλέμαχε, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.

p. οὔτε γὰρ κόλακα πρέπον ἐστὶν εἶναι, οὔτε μυκτηριστήν.
187 c Πάλιν Ἐπίκουρος ἐν τῷ Συμποσίῳ ζητεῖ περὶ δυσπεψίας, ὥστ' οἰωνίσασθαι εἴθ' ἑξῆς περὶ πυρετῶν. τὴν μὲν γὰρ ἐπιτρέχουσαν τῇ λέξει ἀρρυθμίαν τί δεῖ καὶ λέγειν; Πλάτων δὲ (τὸν μὲν [1] ὑπὸ τῆς λυγγὸς ὀχλού-

1 τὸν μὲν γὰρ ὑπὸ corr. Cafaub. Idem *parentheſees ſigna* adiicienda monuit: quae cum vulgo deeſſent, Πλάτωνι pro Πλάτων legebatur. Rectius fortaſſe fuerat Πλάτωνος δὲ τὸν μὲν ὑπὸ &c. *absque parentheſi.*

Apud Homerum contra, modeſta laudantur [*ſive*, agitantur] convivia. Et eſt ubi laudans aliquis Menelaum, dicit ei: *Non audeo loqui*

coram te; cuius nos, veluti Dei, voce delectamur.

Hic vero, aliquid minus recte dictum aut factum reprehendens, ait:

Et nunc, fieri ſi poteſt, obſequere mihi: non enim ego delector flens inter coenandum.

Alius rurſus:

Telemache, quodnam verbum dentium ſepto effugit?

Nec enim adulatorem decet eſſe, nec irriſorem. Porro in ſuo Convivio Epicurus quaerit *de cruditate*, ut omen inde capere liceat: deinde *de aeſtu febrili.* Nam quae dictioni ineſt inconcinnitas, eam quid adtinet memorare? Platonis omitto illum *ſingultu vexatum*, & curatum

μενον, καὶ θεραπευόμενον [1] ἀνακογχυλιασμοῖς ὕδατος, ἐν δὲ ταῖς [2] ὑποθήκαις τοῦ κάρφους, ἵνα τὴν ῥῖνα κινήσας [3] πτάρῃ, παρίημι· κωμῳδεῖν γὰρ ἤθελε, καὶ διασύρειν·) χλευάζει τε τὰ ἰσόκωλα τὰ Ἀγάθωνος καὶ τὰ ἀντίθετα, καὶ τὸν Ἀλκιβιάδην δὲ παράγει λέγοντα ὅτι πασχητιᾷ. ἀλλ' ὅμως, τοιαῦτα γράφοντες, τὸν Ὅμηρον ἐκβάλλουσι τῶν πόλεων. Ἀλλ' d οὔτε ἐκ θύμβρας, ἔφη Δημοχάρης, λόγχη, οὔτ' ἐκ τοιούτων λόγων ἀνὴρ ἀγαθὸς γίνεται. Οὐ μόνον δ' Ἀλκιβιάδη διασύρει, ἀλλὰ καὶ Χαρμίδην, καὶ Εὐθύδημον, καὶ ἄλλους πολλοὺς τῶν νέων. τοῦτο δὲ κωμῳδοῦντός ἐστι τὴν Ἀθηναίων πόλιν, τὸ τῆς Ἑλλάδος μουσεῖον· ἣν ὁ μὲν Πίνδαρος Ἑλλάδος ἔρεισμα ἔφη· Θουκυδίδης δ', ἐν τῷ εἰς Εὐριπίδην ἐπιγράμματι, Ἑλλάδος Ἑλλάδα· ὁ δὲ Πύθιος,

Athenae, Graeciae fulcrum.

1 Forſ. οὐκ ἀνακογχυλ. 2 σὺν ταῖς ὑποθ. corr. Caſaub. ἢ δὲ ταῖς Villebr. 3 Aut κνήσας aut κνίσας cum h. l. tum apud Plat. ſcribendum videri poſſit.

[non] gargariſatione cum aqua, ſed inſertione feſtucae, qua naſum movens [*vel*, pruritum in naſo ciens] ſternutaret; comico enim ſale perſtringere eum traducereque voluit: ridetque Agathonis aequata orationis membra & antitheta, & Alcibiadem inducit dicentem, obſcoena libidine ſe uri. Et tamen hi, qui iſta ſcribunt, Homerum e civitatibus eiiciunt. At *nec e thymbra*, ut ait Democharis, *fit haſta*; nec ex huiusmodi ſermonibus vir bonus evadit. Nec vero ſolum Alcibiadem traducit, ſed & Charmidem, & Euthydemum, & multos alios iuvenes. Hoc vero eſt, ludibrio habere Athenienſium civitatem, Graeciae muſeum; quam Pindarus quidem *Graeciae fulcrum* dixit; Thucydides vero, in Epigrammate in Euripidem, *Graeciae Graeciam*; Pythius ve-

ἑστίαν καὶ πρυτανεῖον τῶν Ἑλλήνων. Διό-
e τι τοίνυν κατέψευσται τῶν νεανίσκων, πάρεστι σκο- Multa mentitur Plato.
πεῖν ἐξ αὐτοῦ τοῦ Πλάτωνος. τὸν μὲν γὰρ Ἀλκιβιάδην φησὶν, ἐν τῷ ὁμωνύμῳ διαλόγῳ, παρακμάσαντα, τότε πρῶτον ἄρξασθαι Σωκράτει λαλεῖν, ὅτε πάντες αὐτὸν κατέλιπον οἱ τοῦ σώματος ἐπιθυμηταί. λέγει γὰρ ταῦτα κατ' ἀρχὰς τοῦ διαλόγου. τὰ δ' ἐν τῷ Χαρμίδῃ ἐναντιώματα ἐξ αὐτοῦ τοῦ διαλόγου ὁ βουλόμενος εἴσεται. ποιεῖ γὰρ αὐτὸν [1] ἀσυμφώνως
f ποτὲ μὲν σκοτοδινιῶντα καὶ μεθυσκόμενον τῷ τοῦ παιδὸς ἔρωτι, καὶ γινόμενον ἔξεδρον, καὶ καθάπερ νεβρὸν ὑποπεπτωκότα λέοντος ἀλκῇ· ἅμα δὲ καταφρονεῖν φησι τῆς ὥρας αὐτοῦ.

XIII.

Ἀλλὰ μὴν καὶ τὸ Ξενοφῶντος Συμπόσιον, καίπερ ἐπαινούμενον, οὐκ ἐλάττους ἔχει τούτων ἐπιλήψεις. Καλλίας μὲν γὰρ συνάγει τὸ συμπόσιον, Apud Xenophontem multa minus decora,

1 Aut τὸν Σωκράτη oportebat, aut certe τὸν αὐτόν.

ro Apollo *Graecorum focum & Prytaneum.* Falsa vero de illis adolescentibus dixisse Platonem, ex ipso cognoscere licet. Nam ad Alcibiadem quidem quod spectat, in dialogo qui ab eo nomen habet, ait, tum demum, cum aetatis florem esset egressus, primum coepisse eum cum Socrate colloqui, cum iam omnes eum deseruissent qui corporis illius studiosi fuissent. Diserte sane hoc dicit circa initium illius dialogi. De Charmide autem quo pacto sibi ipse contradicat, ex ipso dialogo, quisquis voluerit, cognoscet. Fingit enim eumdem (Socratem) modo *vertiginosum & temulentum pueri amore, & impotentem sui,* & *hinnulo similem succumbenti leonis robori*; simul vero ait, *aspernatum eum esse eiusdem pulcritudinem.*

13. At vero Xenophontis etiam Convivium, quantumvis laudetur, tamen his non minora habet quae reprehendas. Instituit enim convivium Callias, quia ama-

ἐπειδήπερ τὰ παιδικὰ αὐτοῦ Αὐτόλυκος Παναθήναια παγκράτιον ἐστεφανώθη. καὶ εὐθὺς οἱ κατακλιθέντες τῷ παιδὶ προσέχουσι τὸν νοῦν· καὶ ταῦτα, τοῦ πατρὸς παρακαθημένου. „Ὥσπερ γὰρ ὅταν φέγγος ἐννυκτὶ a παρῇ, πάντων προσάγεται τὰ ὄμματα, οὕτω καὶ τὸ Αὐτολύκου κάλλος πάντων ἐφέλκεται τὰς ὄψεις ἐφ' ἑαυτό. ἔπειτα τῶν παρόντων οὐδεὶς ἦν ὃς οὐκ ἔπασχέ τι τὴν ψυχὴν ὑπ' ἐκείνου· οἱ μέν γε σιωπηλότεροι ἐγίγνοντο, οἱ δὲ καὶ ἐσχηματίζοντό πως." Ἀλλ' οὐχ Ὅμηρος τοιοῦτόν τι εἰπεῖν ἐπεχείρησε καὶ περὶ [1] τῆς Ἑλένης παρούσης. ἧς περὶ [2] τοῦ κάλλους τὶς τῶν ἐναντίων αὐτῇ τοιαῦτ' εἰπὼν, [3] ὑπὸ τῆς ἀληθείας ἐκνικώμενος·

quam apud Homerum.

Οὐ νέμεσις Τρῶάς τε καὶ εὐκνήμιδας Ἀχαιοὺς b
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·

1 καὶ περὶ δὲ τῆς ms.. *Epit.* καίπερ τῆς Ἑλένης corrigit Casaub. 2 παρούσης περὶ τοῦ κάλλους edd. cum ms. *Epit.* παρούσης περὶ τῆς τοῦ καλλ. ms. *A.* 3 Vulgo omnes εἶπεν.

sius ipsius Autolycus Panathenaeis quinquertii coronam acceperat. Et statim, qui adcubuere, ad puerum advertunt animum; idque patre adsidente. »Nam quemadmodum noctu, cum lux fulget, eo diriguntur omnium oculi, sic & Autolyci pulcritudo oculos omnium in se trahebat. Denique nemo erat praesentium, cuius non animus adspectu eius fuisset commotus: & alii quidem solito magis erant taciturni, alii etiam gestibus quibusdam prodebant animi adfectum.« At non Homerus tale quidquam dicere adgressus est, etiam ubi praesentem facit Helenam: cuius de pulcritudine postquam aliquis ex eis qui ex adverso sedebant, verba ista dixisset, veritate ipsa victus,

Non est indigne ferendum, Troianos & pulcre-ocreatos
Achivos
talem ob mulierem longum tempus dolores pati.

αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν.

εἶτα φησίν·

Ἀλλὰ καὶ ὡς, τοίηπερ ἐοῦσ', ἐν νηυσὶ νεέσθω.

Τὰ δὲ μειράκια τὰ ὡς τὸν Μενέλαον παραγενόμενα, ὁ Νέστορος υἱὸς, καὶ ὁ Τηλέμαχος, ἐν οἴνῳ ὄντες, καὶ ἐν γαμικῷ συμποσίῳ διατρίβοντες, καὶ τῆς
c Ἑλένης παρακαθημένης, ὡς πρέπον ἐστὶν ἡσυχίαν ἄγουσι, πρὸς τὸ περιβόητον ἐκκεκωφωμένοι κάλλος. Ὁ δὲ Σωκράτης τίνος χάριν, τῶν αὐλητρίδων ἀνεχόμενος, καὶ τοῦ ὀρχουμένου παιδὸς καὶ κιθαρίζοντος, ἔτι δὲ καὶ τῆς κυβιστώσης γυναικὸς ἀπρεπῶς, τὸ μύρον ἀπείπατο; οὐδεὶς γὰρ ἂν αὐτοῦ ἀγελαστὶ ἠνέσχετο, κατὰ νοῦν ἔχων ταῦτα τὰ ἔπη·

Τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγεις,
ὧν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν.

Καὶ μὴν ἀσύμφωνα καὶ τὰ μετὰ ταῦτα τῇ αὐστη-

Omnino immortalibus Deabus adſpectu ſimilis eſt.

continuo ſubiicit:

Sed vel ſic, talis quamvis ſit, in navibus redeat.

Adoleſcentuli vero, qui Menelaum convenerant, Neſtoris filius & Telemachus, quamvis inter pocula verſarentur & nuptiali intereſſent convivio, & adſideret Helena, ſilentium ut decebat agunt, & celebratam illius pulcritudinem muti admirantur. Socrates vero, cum tibicines toleraſſet, & ſaltantem citharamque pulſantem puerum, & mulierem indecore in caput ſeſe rotantem; cur unguentum reſpuit? Nemo enim ſine riſu ungi eum vidiſſet, verſus illos cogitans:

Pallidos illos, nudis incedentes pedibus dicis,
in quibus eſt miſer Socrates & Chaerephon.

At, quae ſequuntur etiam, non minus aliena ſunt a

ρότητι. ὁ γὰρ δὴ Κριτόβουλος, μειράκιον ἀστεῖον, d
γέροντα καὶ διδάσκαλον αὐτοῦ τὸν Σωκράτη σκώ-
πτει, πολὺ τῶν Σειληνῶν αἰσχίονα λέγων εἶναι. ὁ δὲ
αὐτῷ διαμορφοσκοπεῖται, καὶ κριτὰς ἑλόμενος τόν τε
παῖδα καὶ τὴν ὀρχηστρίδα, προτίθησι νικητήρια φιλή-
ματα τῶν κριτῶν. Τίς οὖν τῶν νέων ἐντυχὼν τούτοις
οὐκ ἐπιτριβήσεται μᾶλλον, ἢπερ εἰς ἀρετὴν προα-
χθείη;

XIV. Comis Menelaus:

Παρὰ δ' Ὁμήρῳ ἐν τῷ τοῦ Μενελάου συμπο-
σίῳ προβάλλουσιν ἀλλήλοις, ὥσπερ ἐν διατριβῇ,
ζητήματα, καὶ πολιτικῶς ὁμιλοῦντες τέρπουσιν ἀλ-
λήλους καὶ ἡμᾶς. ὁ γοῦν Μενέλαος, παραγενομένων e
ἐκ τοῦ λουτρῶνος τῶν περὶ τὸν Τηλέμαχον, καὶ τῶν
περὶ τὴν ἐδωδὴν παρατεθέντων, παρακαλεῖ μεταλαμ-
βάνειν, λέγων τάδε·

Σίτου δ' ἅπτεσθον, καὶ χαίρετον· αὐτὰρ ἔπειτα,
δείπνου πασσαμένω, εἰρησόμεθ' οἵ τινες ἐστόν.

morum ſeveritate. Nam Critobulus, urbanus adoleſcentulus, ſeni Socrati, praeceptori ſuo illudit, *multo deformiorem* dicens eſſe *Silenis*. Ille vero cum hoc de forma diſceptat, & iudices eligens puerum & ſaltatricem, proponit in praemium victoriae oſcula iudicum. Quis eſt ergo iuvenum, quem haec legentem non corruptum iri magis, quam ad virtutem excitatum, putemus?

14. Apud Homerum vero in Menelai convivio, proponunt ſibi invicem, veluti in eruditorum hominum congreſſu, quaeſtiones, & civiliter colloquentes oblectant & ſe ipſos & nos. Igitur Menelaus, poſtquam e balneo Telemachus cum ſocio adeſſet, & adpoſiti cibi eſſent, hortatur eos ut capiant, his utens verbis:

Cibum capite, laetique eſtote: tum deinde
coena cum eritis paſti, interrogabimus quinam ſitis.

ἔπειτα προσεπιδίδωσι τῶν παρακειμένων αὐτῷ, φιλανθρωπευόμενος.

Ὡς φάτο, καί σφιν νῶτα βοὸς παρὰ πίονα θῆκεν
f ὄπτ', ἐν χερσὶν ἑλών, τὰ ῥά οἱ γέρα πάρθεσαν αὐτῷ.

Φαγόντες δ' ἐκεῖνοι μετὰ σιωπῆς, ὡς πρέπει νέοις, hospites verecundi.
ἀλλήλοις ὁμιλοῦσιν ἠρέμα προσκύψαντες, οὐ περὶ ἐδεσμάτων, φησὶν, οὐδὲ περὶ θεραπαινῶν τοῦ κεκληκότος, ὑφ' ὧν ἐλούσαντο· περὶ δὲ τῶν κτημάτων τοῦ ὑποδεξαμένου·

Ζηνός που τοιαῦτα δόμοις ἐν κτήματα κεῖται.

βέλτιον γὰρ οὕτως φησὶν ὁ Σέλευκος γράφεσθαι. Ἀρίσταρχος δὲ οὐ δεόντως γράφει· Pravam lectionem invexit Aristarchus.

a Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή.

οὐ γὰρ τῆς οἰκίας τὸ κάλλος μόνον ἀποθαυμάζουσι. πῶς γὰρ ἤλεκτρον καὶ ἄργυρος καὶ ἐλέφας ἐν τοῖς τοίχοις ἦν; ἀλλὰ τὰ μὲν περὶ τοῦ οἴκου εἰρήκασιν,

Dein eorum etiam, quae ipsi erant adposita, illis tribuit partem, singulari comitate cum eis agens.

Sic dixit: & ipsis terga boum adposuit manibus capta, pinguia, assa, quae illi ipsi eximia adposuerant (ministri.)

Illi vero postquam silentio, ut decet iuvenes, comederunt; colloquuntur inter se tacite adclinato capite, non de cibis, ait, nec de ancillis convivatoris, quae in balneo fuerant ministrae; sed de opibus illius, a quo sunt hospitio excepti:

Iovis, puto, in aedibus tales opes conduntur.

Melius est enim, ait Seleucus, sic scribi. Non recte vero scribit Aristarchus:

Iovis, puto, Olympii talis sane intus est aula.

Non enim aedium solummodo pulcritudinem admirantur: nec enim electrum & argentum & ebur in muris erat. Sed alia de aedibus dixerunt, quo spectat quod

ὡς ἔστι „δώματα ἠχήεντα.“ τοιαῦτα γὰρ δὴ τὰ ὑψόρροφα καὶ μεγάλα. περὶ δὲ τῶν σκευῶν, τὸ

Χρυσοῦ τ' ἠλέκτρου τε καὶ ἀργύρου, ἠδ' ἐλέφαντος.

οἷς εἰκότως ἐπιφέρεται

Ζηνός που τοιαῦτα δόμοις ἐν κτήματα κεῖται,
ὅσσα τάδ' ἄσπετα πολλὰ, σέβας μ' ἔχει εἰσορόωντα.

οὐκ ἔστιν δ' ἀκόλουθον, τῷ

Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλὴ,

ἐπιφέρειν·

Ὅσσα τάδ' ἄσπετα πολλά·

σόλοικον ὂν τῷ ἀσυνήθει τῆς ἀναγνώσεως.

XV. Vis vocabulorum Αὐλὴ, αὐλὸς, αὐλῶν.

Ἔτι τοίνυν οὐδ' ἡ αὐλὴ ἁρμόττει ἐπὶ τοῦ οἴκου. ὁ γὰρ διαπνεόμενος τόπος, αὐλὴ λέγεται. καὶ διαυλωνίζειν φαμὲν τὸ δεχόμενον ἐξ ἑκατέρου πνεῦμα χωρίον. ἔτι δὲ αὐλὸς μὲν, τὸ ὄργανον

aiunt, *aedes ſonorae*. Tales ſcilicet ſunt, alto tecto & amplae. De ſupellectibus autem dicunt iſtud:

aurique, electrique, & argenti, atque eboris.

quibus verbis apte ſubiungitur:

Iovis, puto, in aedibus tales opes conduntur:
qualia innumera haec dum cerno, prae admiratione ſtupeo.

Praecedentibus vero verbis,

Iovis, puto, Olympii talis ſane intus eſt aula,

non conſentaneum foret ſubiicere,

qualia innumera haec:

ſoloecum enim id foret propter lectionis inſolentiam.

15. Praeterea vox *aula* (αὐλὴ) non congruit aedibus. *Aula* enim dicitur locus, qui a ventis perflatur: & διαυλωνίζειν dicimus locum, qui ab utraque parte ventum admittit. Porro αὐλὸς, (*fiſtula*) eſt inſtrumentum quod

c ᾧ διέρχεται τὸ πνεῦμα· καὶ πᾶν τὸ διατεταμένον εἰς εὐθύτητα σχῆμα, αὐλὸν καλοῦμεν· ὥσπερ τὸ στάδιον, καὶ τὸν προυνὸν τοῦ αἵματος·

— Αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθε.

καὶ τὴν περικεφαλαίαν, ὅταν ἐκ τοῦ μέσου πρὸς ὀρθὸν ἀνατείνῃ, αὐλῶπιν. λέγονται δὲ Ἀθήνῃσι καὶ ἱεροί τινες αὐλῶνες, ὧν μέμνηται Φιλόχορος ἐν τῇ ἐννάτῃ. καλοῦσι δ' ἀρσενικῶς τοὺς αὐλῶνας, ὥσπερ Θουκυδίδης ἐν τῇ τετάρτῃ, καὶ πάντες οἱ καταλογάδην συγγραφεῖς· οἱ δὲ ποιηταὶ θηλυκῶς. Καρ-

d κῖνος μὲν, Ἀχιλλεῖ·

Βαθεῖαν εἰς αὐλῶνα, περίδρομον στρατοῦ.

καὶ Σοφοκλῆς, Σκύθαις·

Κρημνούς τε, καὶ σήραγγας, ἠδ' ἐπακτίας αὐλῶνας.

flatus permeat: itemque figuram quamcumque in rectum extenſam αὐλὸν (*fiſtulam*) vocamus; veluti ſtadium, atque etiam ſalientem ſanguinis fontem:

Confeſtim (*ſanguinis*) *fiſtula per nares ſpiſſa erupit.*

Et galeam, cum ex medio in rectum adſurgit, αὐλῶπιν (a *fiſtulae* figura) vocamus. Suntque Athenis *ſacri* quidam αὐλῶνες qui dicuntur, quorum Philochorus meminit in nona. Dicunt autem maſculino genere, τοὺς αὐλῶνας; ut Thucydides libro quarto, & auctores omnes qui ſoluta ſcripſerunt oratione: poëtae vero in foeminino genere uſurpant. Carcinus, in Achille:

Altam in αὐλῶνα (*foſſam*,) *quae exercitum circumdabat.*

& Sophocles, in Scythis:

Et praecipitia, & cavernas, & in maris littore foſſas.

Ἐνδεκτέον οὖν καὶ τὸ παρὰ Ἐρατοσθένει, ἐν τῷ Ἑρμῇ, θηλυκῶς εἰρῆσθαι·

— — — Βαθὺς διαφύεται αὐλῶν·

ἀντὶ τοῦ βαθεῖα· καθάπερ λέγεται θῆλυς ἔερση. πᾶν οὖν τὸ τοιοῦτον, αὐλή τε καὶ αὐλὼν λέγεται. Νῦν δὲ τὰ βατίλεια λέγουσιν αὐλάς. e

Aula, posterioribus regia domus:

ὥσπερ Μένανδρος·

Αὐλὰς θεραπεύειν καὶ σατράπας. — —

καὶ Δίφιλος·

Αὐλὰς θεραπεύειν δ' ἔστιν, ὡς ἐμοὶ δοκεῖ,
ἢ φυγάδος, ἢ πεινῶντος, ἢ μαστιγίου.

ἤ τοι, διὰ τὸ μεγάλους ἔχειν τοὺς πρὸ τῶν οἰκῶν ὑπαιθρίους τόπους· ἢ, τῷ παραυλίζεσθαι καὶ παρακοιμᾶσθαι τοὺς δορυφόρους τοῖς βασιλείοις. Ὅμηρος δὲ τὴν αὐλὴν ἀεὶ τάττει ἐπὶ τῶν ὑπαίθρων τόπων, ἔνθα ἦν ὁ τοῦ Ἑρκείου Διὸς βωμός. ὁ μέν τοι γε Πηλεὺς καταλαμβάνεται, f

Homero locus subdialis.

Igitur etiam apud Eratosthenem, in Mercurio, foeminine dictum intelligi debet:

— — — *Profundus* (βαθὺς) *in medio est* αὐλῶν:

pro βαθεῖα, *profunda*; quemadmodum dicitur θῆλυς ἔερση. Quidquid igitur tale est, id αὐλὴ & αὐλὼν graece dicitur. Nunc vero regum sedes, *aulas* vocant. Veluti Menander:

Aulas colere & satrapas. Et Diphilus:

Aulas vero colere, hominis est (ut mihi videtur)
vel exsulis, vel esurientis, vel verberonis.

Sortitae sunt autem id nomen, sive quod ante aedes ampla habent loca subdialia; sive quod iuxta regias παραυλίζονται (id est, *stationem habent*) & dormiunt satellites. At Homerus τὴν αὐλὴν (*aulam*) semper dicit locum subdialem, ubi erat Iovis *Hercei* (i. e. qui septa tutatur) ara. Sic quidem Peleus deprehenditur,

Αὐλῆς ἐν χόρτῳ· ἔχε δὲ χρύσειον ἄλεισον,
σπένδων αἴθοπα οἶνον ἐπ' αἰθομένοις ἱεροῖσι.

ὁ δὲ Πρίαμος,

Αὐλῆς ἐν χόρτοισι κυλινδούμενος κατὰ κόπρον.

καὶ ὁ Ὀδυσσεὺς προστάττει τοῖς περὶ τὸν Φήμιον·

Ἀλλ' ἐξελθόντες μεγάρων εὖ ναιεταόντων
ἐκ Φόνου εἰς αὐλήν.

Ὅτι δὲ ὁμοῦ τόν τε οἶκον καὶ τὰ κτήματα ἐπήνεσεν ὁ Τηλέμαχος, ἐμφανίζει ὁ Μενέλαος·

Τέκνα φίλ', ἤτοι Ζηνὶ βροτῶν οὐκ ἄν τις ἐρίζοι·
ἀθάνατοι γὰρ τοῦ γε δόμοι καὶ κτήματ' ἔασιν.

Ἀλλὰ γὰρ ἐπανιτέον ἐπὶ τὸ συμπόσιον· ἐν ᾧ Ὅμηρος ἐπιδεξίως ἀφορμὴν εὗρε λόγων, ὥστε κτῆσιν συγκρίναι φίλῳ.[1] οὐ γὰρ ὡς πρόβλημα προτείνει, ἀλλ' ἐπιχαρίτως παρενείρας[2] ὁ Μενέλαος, ἐπειδὴ

XVI. Amicum Menelaus praefert opibus.

1 φίλου vulgo. 2 παρείρας ms.

Aulae in ſepto: tenebatque aureum poculum,
libans nigrum vinum ſuper ardentia ſacra.

Priamus vero,

Aulae in ſeptis volutatur in luto.

Et Ulyſſes iubet Phemium,

Aedibus exire eleganter exſtructis,
poſt caedem, in aulam.

Simul autem & domum & opes laudatas fuiſſe a Telemacho, declarat Menelaus:

Filii chari! Sane cum Iove nemo mortalium contenderit:
immortales enim eius ſunt aedes & poſſeſſiones.

16. Sed ad convivium redeamus: in quo ſolertiſſime Homerus ex ipſis ſermonibus occaſionem cepit conferendi divitias cum amico. Nam (quod de amicitia dicit, id) non tamquam ſententioſum dictum proponit, ſed multa cum gratia ſermoni interſerit Menelaus. Nem-

ἤκουσε τῶν ἐπαίνων, τὸ μὲν εἶναι πλούσιος οὐκ ἀρνεῖ- b
ται· καίτοι ταῦθα δὲ περιελὼν τὸν φθόνον, πολλὰ γάρ,
φησὶ, παθὼν ἔχειν αὐτήν. [1] οὐ μέν τοι ἀξιοῖ ἑαυ-
τὸν θεοῖς συγκρίνειν·

Ἀθάνατοι γὰρ τοῦ γε δόμοι καὶ κτήματ' ἔασιν.

Ἐνδειξάμενος δὲ φιλάδελφον ἦθος, καὶ μετ' ἀνάγκης
φήσας ζῆν τε καὶ πλουτεῖν, ἀντιπαρέθηκε τὸν τῆς φι-
λίας λόγον·

Ὤν ὄφελον τριτάτην περ ἔχων ἐν δώμασιν μοῖραν
ναίειν· οἱ δ' ἄνδρες σόοι ἔμμεναι, οἳ τότ' ὄλοντο c
Τροίῃ ἐν εὐρείῃ, ἑκὰς Ἄργεος ἱπποβότοιο.

Τίς ἂν οὖν τῶν ἐκγόνων ἐκείνων τῶν ὑπὲρ τοῦ τοιού-
του τεθνηκότων οὐκ ἂν ἀνταξίαν [2] δόξειεν τὴν ἐπὶ τῇ
στερήσει τοῦ πατρὸς λύπην τῇ τοῦ πατρὸς εὐχαρίστῳ

1 Vulgo αὐτόν. 2 ἀνταξίως corrigunt viri docti. Equidem ἀν τ-
αξίᾳ malueram.

pe, poſtquam audivit laudes (ſuarum poſſeſſionum,) non negat quidem divitem ſe eſſe; ſed hîc quidem deprecans invidiam, ſe, *multa paſſum*, poſſidere eas ait. Nec vero cum Diis ſe vult conferri:

Immortales enim ſunt Iovis aedes & poſſeſſiones.

Tum, poſtquam animum oſtendit fratris amore adfectum, dixitque *per fati neceſſitatem vivere ſe & divitias poſſidere*, his velut ex adverſo oppoſuit rationem quam habere ſe profitetur amicitiae:

Horum utinam mihi tertiam modo partem poſſidenti liceret
has aedes
habitare; ſed ſalvi ſupereſſent viri, qui tunc perierunt
ſpatioſam ad Troiam, procul ab Argivorum urbe equorum
nutrice.

Quis eſt igitur ex poſteris illorum qui pro tali viro mortem obierunt, quin ſuum de amiſſo patre dolorem gratâ illâ patris ſui recordatione ex aequo compenſa-

μνήμη διορθουμένην; Ὅπως δὲ μὴ δόξῃ κοινὸς εἶναι πρὸς πάντας τοὺς παραπλησίως αὐτῷ τὴν εὔνοιαν ἐνδεδειγμένους, ἐπήνεγκεν·

Τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
d ὡς ἑνός· ὅς τε μοι ὕπνον ἀπεχθαίρει καὶ ἐδωδήν.

Ἵνα δὲ μὴ φαίνηται μηδενὸς τῶν ἐκείνου παραμελῶν, ἐμνήσθη κατ' ὄνομα·

— — Ὀδύρονται νύ που αὐτὸν
Λαέρτης θ' ὁ γέρων, καὶ ἐχέφρων Πηνελόπεια,
Τηλέμαχος θ', ὃν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ.

Τοῦ δὲ δακρύσαντος πρὸς τὴν μνήμην, ὁ μὲν ἐφίστησι. κἂν τοσούτῳ τῆς Ἑλένης ἐπεισιούσης, [1] κἀκείνης ἐκ τῆς ὁμοιότητος τεκμηραμένης, (πάνυ γὰρ αἱ γυναῖκες, διὰ τὸ παρατηρεῖσθαι τὴν ἀλλήλων σωφροσύ- Mulierum perspicacia.
e

1 ἐπεισόδῳ edd. cum ms. *A.* ἐπεισόδιον *Epit.* unde κἂν τούτῳ τὸ τῆς Ἑλένης ἐπεισόδιον legendum censuit Casaub.

tum esse existimet? Ne vero videretur aequali prorsus modo animatus erga omnes, qui similem ipsi benevolentiam testatam fecerant, subiicit:

Quorum omnium caussâ non tantopere lugeo, (quamvis omnes lugeam)
quantopere unius; qui nec somno me refici nec cibo recreari sinit.

Ac, ne videretur ullum ex illius necessariis negligere, nominatim singulos commemorat:

— — — *Deplorant illum certe*
& Laërtes senex, & cordata Penelope,
& Telemachus, quem recens natum domi reliquerat.

Tum, ubi lacrymae oboriuntur Telemacho ad patris commemorationem, animadvertit Menelaus. Quumque interim intrasset Helena, & ex similitudine [quis esset] coniectasset: (sunt enim mulieres, eo quod diligenter aliae aliarum pudicitiam observant, inprimis so-

νην, δεινὰι τὰς ὁμοιότητας τῶν παίδων πρὸς τοὺς γονέας ἐλέγξαι) παρεμβάλλοντός τινα λόγον καὶ τοῦ Πεισιστράτου, (χρὴ γὰρ καὶ τοῦτον μὴ παρεῖναι, δορυφορήματος τρόπον,) καὶ διαλεχθέντος εὐσχημόνως περὶ τῆς αἰδοῦς τοῦ Τηλεμάχου· πάλιν ἐπιβάλλει ὁ Μενέλαος περὶ τῆς τοῦ Ὀδυσσέως Φιλίας, ὅτι μετὰ μόνου καταγηράναι μάλιστ' ἂν ἤθελε μετ' ἐκείνου.[1]

XVII.

Homerica Helena prudens;

Laborioſa:

Κατὰ δὲ τὸ εἰκὸς, οἱ μὲν δακρύουσιν· ἡ δ' Ἑλένη, Διὸς οὖσα θυγάτηρ, καὶ παρὰ τῶν ἐν Αἰγύπτῳ σοφῶν μεμαθηκυῖα πολλοὺς λόγους, εἰς τὸν οἶνον ἐμβάλλει πανακὲς τῷ ὄντι φάρμακον, καὶ ἄρχεται διηγεῖσθαι τὰ περὶ τοῦ Ὀδυσσέως, μεταξὺ ταλασιουργίας ἁπτομένη· οὐ δι' ἀρέσκειαν τοῦτο πράττουσα, ἀλλ' οἴκοθεν ἔχουσα τὴν τοιαύτην αἵρεσιν. ἡ γοῦν Ἀφροδίτη, ἐρχομένη πρὸς αὐτὴν μετὰ τὸ μονομαχεῖον, εἰκάζεται

1 ἐκείνου absque μετ' malim.

lertes in dignoſcenda liberorum cum parentibus ſimilitudine:) cum porro etiam interfatus nonnulla eſſet Piſiſtratus, (nec enim par erat, ut hunc, veluti ſatellitem, nullum verbum facientem negligeret) diſſeruiſſetque modeſte de Telemachi verecundia: rurſus mentionem facit Menelaus ſui in Ulyſſem amoris, *maxime ſe voluiſſe cum illo uno ſenectutem transigere.*

17. Ibi dum illi, ut erat conſentaneum, lacrymas fundunt, Helena interim, ut quae Iovis eſſet filia, atque etiam a ſapientibus in Aegypto multa didiciſſet, in vinum iniicit medicamentum re vera *malorum omnium medicinam*, & de Ulyſſe narrare incipit, ſimul interim lanificium ſuum tractans; id quod non facit placendi ſtudio, ſed inde a domo paterna illud vitae inſtitutum ſecuta. Sane Venus, cum venit ad illam poſt certamen ſingulare, eam formam adſumſit, ut

Γρηῒ δέ μιν εἰκυῖα παλαιγενέϊ προσέειπεν
εἰροκόμῳ, ἣ οἱ Λακεδαίμονι ναιεταούσῃ
ἤσκειν εἴρια καλά.

ἐμφανίζεται δ' αὐτῆς οὐ παρέργως τὸ φίλεργον κἀκ τούτων·

Τῇ δ' ἄρ' ἅμ' Ἀδρήστη κλισίην εὔτυκτον ἔθηκε·
Ἀλκίππη δὲ τάπητα φέρεν μαλακοῦ ἐρίοιο,
b Φυλὼ δ' ἀργύρεον τάλαρον φέρε, τόν οἱ ἔδωκεν
Ἀλκάνδρη, Πολύβοιο δάμαρ. — —
τὸν ῥά οἱ ἀμφίπολος Φυλὼ παρέθηκε φέρουσα,
νήματος ἀσκητοῖο βεβυσμένον· αὐτὰρ ἐν αὐτῷ
ἠλακάτη τετάνυστο, ἰοδνεφὲς εἶρος ἔχουσα.

ἔοικε δὲ καὶ αὐτὴ τὴν ἑαυτῆς καλλιτεχνίαν [1] συνορᾶν. τῷ γοῦν Τηλεμάχῳ πέπλον τινὰ δωρουμένη, φησί·

c Δῶρόν τοι καὶ ἐγὼ, τέκνον φίλε, τοῦτο δίδωμι,

1 φιλοτεχνίαν edd. cum *Epit.*

Anui ſimilis grandaevae eam adloqueretur
lanificae, quae ei Lacedaemone habitanti
praeparaverat lanam pulcram.

Declaraturque eius in opere faciendo induſtria etiam iſtis verbis:

Huic autem ſtatim Adraſta ſellam poſuit affabre-laboratam,
Alcippe vero tapetem ferebat molli lana textum,
Phylo vero argenteum caniſtrum ferebat, quod illi dederat
Alcandra, Polybi uxor. — —
Hoc igitur illi ancilla Phylo adpoſuit ferens,
filo elaborato repletum: caeterum ſuper eo
colus extenſa erat, violaceam lanam habens.

Videtur autem illa ſuam etiam in opere pulcre faciendo ſolertiam non ignoraſſe: certe, ubi Telemacho peplum dono dat, ait:

Donum tibi & ego, fili dilecte, hoc do,

μνῆμ' Ἑλένης χειρῶν, πολυπράτου εἰς γάμου ὥρην,
σῇ δ' ἀλόχῳ Φορέειν.

eademque caſta. Αὕτη δ' ἡ Φιλεργία τὴν σωφροσύνην αὐτῆς καταμηνύει· οὐ χλιδῶσα γὰρ, οὐδὲ θρυπτομένη διὰ τὸ κάλλος εἰσάγεται. εὑρίσκεται γοῦν περὶ ἱστὸν, ὑφαίνουσα καὶ ποικίλλουσα.

Τὴν δ' εὗρ' ἐν μεγάρῳ· ἡ δὲ μέγαν ἱστὸν ὕφαινε,
δίπλακα, μαρμαρέην· πολέας δ' ἐνέπασσεν ἀέθλους d
Τρώων θ' ἱπποδάμων, καὶ Ἀχαιῶν χαλκοχιτώνων,
οὓς ἕθεν εἵνεκ' ἔπασχον ὑπ' Ἄρηος παλαμάων.

XVIII.

Non diutius iuſto epulantur apud Homerum: Διδάσκει δ' ἡμᾶς Ὅμηρος, ὅτι δεῖ καὶ τοὺς κεκλημένους ἐφ' ἑστίασιν παρακαλεῖν ἀπανίστασθαι τοὺς κεκληκότας. ὁ μὲν Τηλέμαχος, τὸν Μενέλαον·

Ἀλλ' ἄγετ', εἰς εὐνὴν τράπεθ' [1] ἡμέας, ὄφρα καὶ ἤδη

[1] τρέπεθ' vulgo apud Homerum.

monimentum Helenae manuum, optabilium in nuptiarum tempus,
tuae uxori geſtandum.

Iſta igitur in opere faciendo induſtria, temperantiam eius indicat: nec enim luxu mollem aut delicias facientem inducit poëta. Deprehenditur ſane telam texens, & variegato conficiendo opere occupata:

Illam invenit in domo: ea vero magnam telam texebat, duplicem, ſplendidam; multosque intexebat labores
Troianorum equûm-domitorum, & Achivorum aere-loricatorum,
quos ipſius cauſſa illi patiebantur a Martis manibus.

18. Docet nos porro Homerus, debere etiam hos, qui convivio vocati interſunt, veniam petere a convivatore ut ſibi ſurgere discedereque liceat. Sic quidem Telemachus a Menelao petit:

Sed agite, ad cubile mittite nos, ut iam

ὕπνῳ ὑπὸ γλυκερῷ ταρπώμεθα κοιτηθέντες.

ἡ δὲ προσποιουμένη Μέντωρ εἶναι Ἀθηνᾶ, πρὸς τὸν Νέστορα·

Ἀλλ' ἄγε, τάμνετε μὲν γλώσσας, κεράσεσθε δὲ οἶνον,
ὄφρα Ποσειδάωνι καὶ ἄλλοις ἀθανάτοισιν
σπείσαντες, κοίτοιο μεδώμεθα· τοῖο γὰρ ὥρη.

Ἐν δὲ ταῖς τῶν θεῶν ἑορταῖς, οὐδ' ὅσιον εἶναι δοκεῖ πλείω χρόνον παραμένειν. γνωμικῶς γοῦν φησι παρὰ τῷ Ὁμήρῳ ἡ Ἀθηνᾶ·

Ἤδη γὰρ φάος οἴχεθ' ὑπὸ ζόφον· οὐδὲ ἔοικε
δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.

Καὶ νῦν δὴ νόμος, ἐκ θυσιῶν τινων πρὸ ἡλίου δύνοντος ἀπιέναι. Καὶ παρ' Αἰγυπτίοις δὲ τὸ παλαιὸν σωφρονικῶς διεξήγετο τὸ τῶν συμποσίων γένος, καθάπερ εἴρηκεν Ἀπολλώνιος, περὶ τούτων γεγραφώς. καθήμε-

somno dulci delectemur cubantes.

Et Minerva, ſub Mentoris perſona, ad Neſtorem ait:

Age dum, ſecate linguas, & vinum miſcete,
ut, poſtquam Neptuno aliisque immortalibus
libaverimus, de cubili cogitemus: huius enim tempus adeſt.

In Deorum autem feſtis ne fas quidem eſſe exiſtimat diutius manere. Sententioſe ſane apud Homerum Minerva dicit:

Iam enim lumen ivit ſub occaſum: neque decet
Deorum in epulo diutius ſedere, ſed discedere.

Atque etiam nunc utique more receptum eſt, a certis quibusdam ſacrificiis ante ſolis occaſum discedere. Et vero etiam apud Aegyptios olim temperanter agebatur omne conviviorum genus, quemadmodum Apollonius tradidit, qui de his ſcriptum reliquit. Sedentes

νοι μὲν γὰρ ἐδείπνουν, τροφῇ τῇ λιτοτάτῃ καὶ ὑγιεινοτάτῃ χρώμενοι, καὶ οἴνῳ τοσούτῳ, ὅσος ἱκανὸς ἂν γένοιτο πρὸς εὐθυμίαν, ἣν ὁ Πίνδαρος αἰτεῖται παρὰ τοῦ Διός·

Τί δ' ἔρδων, Φίλος σοί τε,
καρτερόβροντα Κρονίδα,
Φίλος δὲ Μοίσαις, Εὐθυμίᾳ τε
μέλων [1] εἴην, τοῦτ' αἴτημί σε.

secus ac apud Platonem.

Τὸ δὲ Πλάτωνος συμπόσιον, οὐ συνέδριόν ἐστιν, οὐ βουλευτήριον, οὐ λέσχη φιλοσόφων. Σωκράτης γὰρ οὐδὲ τοῦ συμποσίου ἀποστῆναι θέλει, καίτοι Ἐρυξιμάχου καὶ Φαίδρου καὶ ἄλλων τινῶν ἀποστάντων· ἀλλ' ἐγρήγορε μετ' Ἀγάθωνος καὶ Ἀριστοφάνους, καὶ πίνει ἐξ ἀργυροῦ φρέατος· καλῶς γάρ τις τὰ μεγάλα ποτήρια οὕτως ὠνόμασε. πίνει τ' ἐκ τῆς φιάλης ἐπιδέξια. Φησὶ δὲ καὶ μετὰ τοῦτο τοὺς μὲν δύο

1 Vulgo μελῶν.

enim coenabant, cibis utentes ſimpliciſſimis & ſalubertimis, vini autem non maiori copia quam quae ſufficeret ad animi hilaritatem illam, quam a Iove precatur Pindarus:

Quid faciendo carus & tibi,
fulmine-potens fili Saturni,
& carus ſim Muſis, & is quem Euthymia
curet, id rogo a te.

Platonis autem convivium, non eſt (gravium virorum) conſeſſus, non ſenatorum concilium, non confabulatio Philoſophorum. Socrates enim ne diſcedere quidem vult e convivio, quamquam Eryximachus & Phaedrus & alii nonnulli diſceſſiſſent: ſed vigilat cum Agathone & Ariſtophane, & bibit ex *aureo fonte*: non male enim nonnemo magna pocula ſic vocavit. Bibit autem ex phiala ſolerter. Dicit vero (Plato,) deinde etiam duos

νυστάζειν, καταδαρθεῖν δὲ πρότερον τὸν Ἀριστοφάνη,
b ἤδη δὲ ἡμέρας ὑποφαινούσης τὸν Ἀγάθωνα· καὶ τὸν Σωκράτην, κατακοιμήσαντα ἐκείνους, ἀναστάντα ἀπιέναι εἰς τὸ Λύκειον· „ἐξὸν, φησὶν ὁ Ἡρόδικος, εἰς τοὺς Ὁμήρου Λαιστρυγόνας,

ἔνθα κ' ἄϋπνος ἀνὴρ δοιοὺς ἐξήρατο μισθούς."

XIX. Convivia Deo sacra, & modesta.

Πᾶσα δὲ συμποσίου συναγωγὴ παρὰ τοῖς ἀρχαίοις τὴν αἰτίαν εἰς θεὸν ἀνέφερε· καὶ στεφάνοις ἐχρῶντο τοῖς οἰκείοις τῶν θεῶν, καὶ ὕμνοις καὶ ᾠδαῖς. καὶ δοῦλος οὐδεὶς ἦν ὁ διακονήσων, ἀλλ' οἱ νέοι τῶν ἐλευθέρων ᾠνοχόουν· ὡς ὁ τοῦ Μενελάου υἱὸς, καίτοι
c νυμφίος ὑπάρχων, καὶ ἐν αὐτοῖς τοῖς γάμοις. παρὰ δὲ τῇ καλῇ Σαπφοῖ καὶ ὁ Ἑρμῆς οἰνοχοεῖ τοῖς θεοῖς. καὶ τἆλλα δὲ πάντα παρεσκεύαζον τοῖς δειπνοῦσιν ἐλεύθεροι. καὶ οἱ δειπνήσαντες ἀπελύοντο φωτὸς ὄν-

illos nictitasse, & primum quidem somno oppressum esse Aristophanem, deinde vero, cum iam illucesceret, Agathonem: Socratem vero, postquam illos consopisset, surrexisse & in Lyceum perrexisse. »Poterat, ait Herodicus, ad *Laestrygonas* ire;

ubi insomnis vir duplicem capiebat mercedem.«

19. Quaelibet autem convivii celebratio apud veteres ad Deum, cuius causa illud celebraretur, referebatur: & coronis utebantur, & hymnis & cantibus, Deorum propriis. Ministrabat autem servus nullus: sed vinum fundebant iuvenes ex liberis hominibus; veluti Menelai filius, quamvis recens nuptus esset, & quidem ipsis nuptialibus diebus. Apud elegantem Sapphonem vero Mercurius vinum fundit Divis. Et reliqua vero etiam omnia ministrabant coenantibus liberi homines. Digrediebantur autem postquam coenarunt, ante no-

τος. Ἐν ἐνίοις δὲ καὶ τῶν Περσικῶν συμποσίων ἐγίνοντό τινες καὶ βουλαὶ, καθάπερ ἐν τῷ τοῦ Ἀγαμέμνονος κατὰ τὴν στρατείαν. Τὸ δὲ τοῦ Ἀλκινόου συμπόσιον, πρὸς ὃ ἀποτέταται τοῦ Ὀδυσσέως ὁ λόγος·

Οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι,
ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα, d
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ.

ξένου ὑποδοχὴν ἔχει, ὄντων καὶ αὐτῶν τῶν Φαιάκων τρυφερῶν. ὅπερ συμβάλλων τις πρὸς τὰ τῶν φιλοσόφων συμπόσια, κοσμιώτερον ἂν εὕροι· καίτοι τοῦτο περιέχον καὶ ἱλαρότητα καὶ παιδιὰν εὐσχήμονα. μετὰ γὰρ τὸν ἀγῶνα τὸν γυμνικὸν, ᾄδει ὁ ᾠδὸς

ἀμφ' Ἄρεως φιλότητος [1] — —

μῦθόν τινα, χλεύῃ κεκραμένον, καὶ εἰς τὴν μνηστηροφονίαν ὑποθήκας ὑποτιθέμενον [2] τῷ Ὀδυσσεῖ, ὡς τοῦ e

1 ἀμφ' Ἄρεως φιλότητα edd. cum ms. *A*. 2 καί τοι εἰς τὴν μνηστ. ὑποθηκῶν ὑποτιθημένων iidem libri.

ctem. Quin & in nonnullis Perſarum conviviis inſtituebantur etiam deliberationes quaedam, quemadmodum in Agamemnonis epulis in caſtris. Alcinoi vero convivium, ad quod ſpectant illa Ulyſſis verba:

Nullam equidem rem aio gratiorem eſſe,
quam cum laetitia tenet populum univerſum,
convivaeque per domum audiunt cantorem:

continet illud *receptionem hoſpitis*, cum etiam ipſi per ſe Phaeaces luxuriae eſſent dediti. Illud vero ſi quis conferat cum iſtis Philoſophorum Conviviis, modeſtius reperiet; quamquam hilaritatem contineat & luſum, ſed eum non indecorum. Nam poſt gymnicum certamen canit cantor,

de Martis amore; — —

fabulam quamdam, multo quidem riſu permixtam, ſimul vero praecepta de occidendis procis ſubgerentem Ulyſ-

Ἡφαίστου καὶ τοῦ κυλλοποδίωνος τὸν ἀνδρειότατον Ἄρη καταγωνισαμένου.

XX.

Varia in Homericis conviviis observata.

Ἐκαθέζοντο δὲ καὶ δειπνοῦντες οἱ τότε. πολλαχοῦ γοῦν ὁ Ὅμηρος φησίν·

Ἐξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε.

Ὁ γὰρ θρόνος, αὐτὸ μόνον, [1] ἐλευθέριός ἐστι καθέδρα σὺν ὑποποδίῳ· ὅπερ θρῆνυν καλοῦντες, ἐντεῦθεν αὐτὸν ὠνόμασαν θρόνον, τοῦ θρήσασθαι χάριν, ὅπερ ἐπὶ τοῦ καθέζεσθαι τάσσουσιν, ὡς Φιλήτας·

Θρήσασθαι πλατάνῳ γαίῃ ὑπό.

ὁ δὲ κλισμὸς περιττοτέρως κεκόσμηται ἀνακλίσει. τούτων δ' εὐτελέστερος ἦν ὁ δίφρος. τῷ γοῦν Ὀδυσσεῖ, ἐπαίτῃ εἶναι δοκοῦντι, „δίφρον ἀεικέλιον (φησὶ) καταθεὶς, ὀλίγην τε τράπεζαν."

1 αὐτὸς μόνον ms. *Ep.* αὐτῷ μόνον malebat vir doctus.

si; quandoquidem *pede claudus Vulcanus* fortissimum Martem certamine deviciſſet.

20. Sedebant vero ea aetate etiam cum coenabant. Multis sane locis Homerus ait:

Ordine sedebant per sellas (κλισμοὺς) *thronosque.*

Nam vocabulum *thronus*, (ὁ θρόνος,) unum per se positum, significat sellam, qua utuntur liberaliores homines, simul cum scabello, quod θρῆνυν veteres vocabant, & indidem θρόνον nominarunt, a verbo θρήσασθαι, quod pro eo quod est *sedere* usurpant, ut est apud Philetam:

θρήσασθαι (*sedere*) *in terra sub platano.*

Quae vero sella κλισμὸς (apud poëtam) vocatur, *recubitoria* est, magis ad reclinandum corpus instructa. Harum utrâque vilior est ὁ δίφρος qui vocatur: [latine *scamnum* dicas.] Ulyssi quidem, cum videretur mendicus esse, δίφρον ἀεικέλιον, *vile scamnum*, inquit, *adposuit, & exiguam mensulam.*

Οἱ δὲ κρατῆρες αὐτοῖς, ὥσπερ ἔχει καὶ τοὔνομα, κεκραμένοι παρειστήκεσαν· ἐξ ὧν οἱ κοῦροι διακονούμενοι, τοῖς μὲν ἐντιμοτάτοις ἀεὶ πλῆρες παρεῖχον τὸ ποτήριον, τοῖς δ' ἄλλοις ἐξ ἴσου διένεμον. ὁ γοῦν Ἀγαμέμνων πρὸς τὸν Ἰδομενέα φησί·

— — Σὸν δὲ πλεῖον δέπας αἰεὶ a
ἕστηχ', ὥσπερ ἐμοὶ, πιέειν ὅτε θυμὸς ἀνώγοι.

Προέπινον δ' ἀλλήλοις, οὐχ ὥσπερ ἡμεῖς, (τοῦτο γὰρ προεκπιεῖν ἐστίν·) ἀλλὰ μεστὸν τὸν σκύφον.

Πλησάμενος δ' οἴνοιο δέπας δείδεκτ' Ἀχιλῆα.

Ὁσάκις δὲ καὶ τροφὰς ἐλάμβανον, προειρήκαμεν ἤδη· ὅτι δὴ τρεῖς ἦσαν, διὰ τὸ, τὸ αὐτὸ ποτὲ μὲν ἄριστον, ποτὲ δὲ δεῖπνον ὀνομάζεσθαι. γελοῖοι γάρ εἰσιν οἱ φάσκοντες, ὅτι καὶ τέτταρας ἐλάμβανον, ἐπεὶ ὁ ποιητὴς ἔφη·

Crateres vero, quod etiam nomen indicat, *diluto* vino repleti (κεκραμένοι) eis adſtabant: e quibus pueri miniſtrantes, honoratioribus quidem ſemper plenum praebebant poculum; caeteris autem aequis portionibus vinum diſtribuebant. Agamemnon quidem ad Idomeneum dicit:

— — *Tuum quidem plenum ſemper poculum*
ſtetit, ſicut mihi, ut biberes quotiescumque animus deſideraret.

Propinabant vero ſibi invicem; non quemadmodum apud nos; (hoc enim *ante-ebibere* rectius dicas:) ſed plenum propinabant poculum.

Poſtquam vino replevit poculum, propinavit Achilli.

Quoties vero cibum ceperint veteres, iam ſupra declaravimus; nempe ter de die: quandoquidem eaedem epulae modo *prandium* dicuntur, modo *coena*. Sunt enim ridiculi, qui dicunt, quater etiam cibum cepiſſe, quoniam poëta dixerit,

— — — σὺ δ' ἔρχεο δειελιήσας.

b οὐ νοοῦντες, ὅτι λέγει τὸν δειλινὸν διατρίψας χρόνον. Ὅμως δὲ οὐδεὶς δείξει παρὰ τῷ ποιητῇ τρίς τινα [1] λαμβάνοντα τροφάς. Διαμαρτάνουσι δὲ πολλοὶ, παρὰ τῷ ποιητῇ ἐφεξῆς τιθέντες τούτους τοὺς στίχους·

Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων·
δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας.

Εἰ γὰρ εἴδατα παρέθηκεν ἡ ταμίη, δῆλον ὡς κρεάτων λείψανα τυγχάνοντα, τὸν δαιτρὸν οὐκ ἔδει παρεισφέρειν. διόπερ τὸ δίστιχον ἀπαρκεῖ. Ἀπαλλαγέντων δὲ τῶν δειπνούντων, αἱ τράπεζαι ἐβαστάζοντο· ὥσπερ c παρὰ τοῖς μνηστῆρσι, καὶ τοῖς Φαίαξιν, ἐφ' ὧν καὶ λέγει·

— Ἀμφίπολοι δ' ἀπεκόσμεον ἔντεα δαίτος·

1 τρεῖς τινα corr. Casaub.

Tu autem veni δειελιήσας;
non cogitantes, hoc illum dicere, *postquam ad vesperam hic fueris moratus*. Verumtamen nemo nobis monstraverit apud poëtam quemquam qui ter de die cibum caperet. Errant vero multi, cum apud poëtam continua serie hos tres versus ponunt:

Panem vero veneranda proma adposuit ferens,
fercula multa adponens, largiens de praesentibus:
coquus autem carnium lances adposuit sumens.

Si enim cibos adposuit proma, nempe carnium reliquias quae aderant, non debebat alios insuper inferre coquus. Itaque sufficiunt duo versus priores. Postquam vero coenarunt, auferebantur mensae; velut apud procos, & apud Phaeacas, de quibus etiam dicit:

Famulae autem auferebant instrumenta (ἔντεα) *convivii.*

δῆλον ὡς τὰ ἀγγεῖα. καὶ γὰρ τῶν ὅπλων τὰ σκεπαστικὰ, θώρακα, καὶ κνημῖδας, καὶ τὰ τούτοις ἐμφερῆ, λέγουσιν ἔντη, καθάπερ ἀντία [1] τῶν τοῦ σώματος μερῶν ὄντα. Τῶν δὲ ἡρωϊκῶν οἴκων τοὺς μείζονας Ὅμηρος μέγαρα καλεῖ, καὶ δώματα, καὶ κλισίας· οἱ δὲ νῦν ξενῶνας καὶ ἀνδρῶνας νομίζουσι. [2]

XXI. Τί οὖν ὀνομάσομεν, ἄνδρες φίλοι, τὸ συμπόσιον, ὅπερ Ἀντίοχος ἐποίησεν [3] ὁ Ἐπιφανὴς μὲν κληθεὶς, Ἐπιμανὴς δ' ἐκ τῶν πράξεων ὀνομασθείς; Βασιλεὺς δ' ἦν οὗτος τῶν Συριακῶν, τῶν ἀπὸ Σελεύκου εἷς· περὶ οὗ φησι Πολύβιος τάδε· „Ὡς ἀποδιδράσκων ἐκ τῆς αὐλῆς ἐνίοτε τοὺς θεραπεύοντας, οὗ τύχοι τῆς πόλεως ἀλύων [4] ἐφαίνετο δεύτερος καὶ τρίτος· μάλι-

Antiochus Epimanes.

Polybius de Antiocho Epiph.

1 αἴτια vulgo. 2 ὀνομάζουσι corrigit Caſ. Verbum h. l. omiſit Epitomator. 3 Abeſt vulgo ἐποίησεν. Sed aut hoc ipſum, aut ἐποίει, aut aliud in eamdem ſententiam verbum deſiderabatur. 4 αὐτῶν vulgo; quod ex αὐλῶν fortaſſe corruptum.

nempe *vaſa*. Nam (aliâs) arma tegendo corpori inſervientia, thoracem, ocreas, & quae ſunt eiusdem generis, *inſtrumenta* (ἔντη) dicunt; ut quae partibus corporis ſint ἀντία, id eſt, ab anteriori parte adplicentur. Conclavia ampliora, in quibus coenabant heroës, μέγαρα vocat Homerus, & δώματα, & κλισίας: noſtra aetate ξενῶνας & ἀνδρῶνας (*hoſpitia*, & *virorum coenacula*) uſurpant.

21. Verum, quo nomine adpellabimus, viri amici, illud convivium, quod ANTIOCHUS agitavit, is cui cognomen *Epiphanes* fuit, ſed qui ob res geſtas *Epimanes* (*Furioſus*) eſt adpellatus? Erat autem Syriae rex, unus e Seleucidis; de quo haec ſcribit POLYBIUS: „Ex regia nonnumquam inſciis miniſtris elapſus, quacumque in urbis regione cum uno aut duobus comitibus oberrans [*ſive*, tibia canens] conſpiciebatur. Maxime ve-

στα δὲ πρὸς τοῖς ἀργυροκοπείοις εὑρίσκετο καὶ χρυσοχοείοις, εὐρησιλογῶν [1] καὶ φιλοτεχνῶν πρὸς τοὺς τορευτὰς καὶ τοὺς ἄλλους τεχνίτας. ἔπειτα καὶ μετὰ δημοτῶν ἀνθρώπων συγκαταβαίνων, ὡμίλει ᾧ τύχοι· [2] καὶ μετὰ τῶν παρεπιδημούντων συνέπινε τῶν
e εὐτελεστάτων. ὅτε δὲ τῶν νεωτέρων αἴσθοιτό τινας συνευωχουμένους, οὐδεμίαν ἔμφασιν ποιήσας παρῆν ἐπικωμάζων μετὰ κεραμίου [3] καὶ συμφωνίας, ὥστε τοὺς πολλοὺς διὰ τὸ παράδοξον ἀφισταμένους [4] φεύγειν. Πολλάκις δὲ καὶ τὴν βασιλικὴν ἀποθέμενος ἐσθῆτα, τήβενναν ἀναλαβὼν περιήει κατὰ τὴν ἀγορὰν, ἀρχαιρεσιάζων· καὶ τοὺς μὲν δεξιούμενος, τοὺς δὲ καὶ περιπτύσσων, παρεκάλει φέρειν αὐτῷ τὴν ψῆφον, ποτὲ μὲν ὡς ἀγορανόμος γένηται, ποτὲ δὲ καὶ

1 Forſ. εὐρεσιλογῶν. Sed perinde eſt. 2 ὃ τύχοι habent mssti; quod neſcio an teneri debuerit. οἳ τύχοι malebat Weſſeling. 3 μετὰ κεραμείου ms. *A.* μετὰ κερατίου legitur apud Diodor. Sicul. quod *cum tibia* intelligunt. 4 ἀνισταμένους dare libros nonnullos ait Caſaub.

ro in argenti ſculptorum & aurifabrorum officinis deprehendebatur, cum caelatoribus aliisque artificibus confabulans, & de eorum arte differens. Praeterea in plebeiorum hominum converſationem ſe demittens, ſermones cum his, quicumque fuiſſent, conſerebat: & cum viliſſimis advenis & peregrinis compotabat. Si quando iuvenes quosdam quocumque in loco una epulari intellexiſſet, nullo adventus ſui facto indicio, cum doliolo [*ſive*, cum tibia] & ſymphonia aderat laſciviens & comeſſabundus; ut inexſpectato eius adventu territi plerique, ſurgentes e convivio profugerent. Saepe etiam, depoſitâ regiâ veſte, togâ indutus in foro obambulabat, veluti candidatus in comitiis: & aliorum dextram prenſans, alios etiam amplectens, rogabat ut pro ſe ſuffragium ferrent, quo ſive aedilis ſive tribunus

ὡς δήμαρχος. τυχὼν δὲ τῆς ἀρχῆς, καὶ καθίσας ἐπὶ
τὸν ἐλεφάντινον δίφρον κατὰ τὸ παρὰ Ῥωμαίοις ἔθος, ξ
διήκουε τῶν κατὰ τὴν ἀγορὰν γενομένων συναλλαγ-
μάτων, καὶ διέκρινε μετὰ πολλῆς σπουδῆς καὶ προ-
θυμίας. Ἐξ ὧν εἰς ἀπορίαν ἦγε τῶν ἀνθρώπων τοὺς
ἐπιεικεῖς· οἱ μὲν γὰρ ἀφελῆ τινα αὐτὸν εἶναι ὑπε-
λάμβανον, οἱ δὲ μαινόμενον. Καὶ γὰρ περὶ τὰς δω-
ρεὰς ἦν παραπλήσιος. ἐδίδου γὰρ τοῖς μὲν ἀστρα- a
γάλους δορκαδείους, τοῖς δὲ φοινικοβαλάνους, ἄλ-
λοις δὲ χρυσίον. καὶ ἐξ ἀπαντήσεως δέ τισι συντυγ-
χάνων, οὓς μὴ ἑωράκει ποτὲ, ἐδίδου δωρεὰς ἀπροσδο-
κήτους. Ἐν δὲ ταῖς πρὸς τὰς πόλεις θυσίαις, καὶ
ταῖς πρὸς τοὺς θεοὺς τιμαῖς, πάντας ὑπερέβαλλε
τοὺς βεβασιλευκότας. τοῦτο δ' ἄν τις τεκμήραιτο ἔκ
τε τοῦ παρ' Ἀθηναίοις Ὀλυμπιείου, καὶ τῶν περὶ τὸν
ἐν Δήλῳ βωμὸν ἀνδριάντων. Ἐλούετο δὲ καὶν τοῖς

plebis crearetur. Poſtquam vero magiſtratum, quem petierat, adeptus eſt; ſedens in eburnea ſella curuli, ut mos eſt apud Romanos, de forenſibus actionibus & contractibus cognoſcebat, & multo cum ſtudio curaque ius dicebat. Quibus ex rebus in dubitationem coniecit cordatos aequosque viros; ut alii ſimplicem ac facilibus moribus hominem eſſe iudicarent, alii vero inſanum. Nam & eiusdem modi erat eius ingenium in muneribus dandis: ut qui aliis talos ex dorcadum cornibus dono daret: aliis palmulas, aliis aurum; nonnumquam vero etiam forte fortuna occurrentes, quos numquam vidiſſet, inſperatis donaret muneribus. In ſacrificiis autem, quae ſuo nomine variis in civitatibus fieri curabat, & in Deorum honoribus, omnes qui ante ipſum regnaverant ſuperavit: cuius rei teſtis eſt Iovis Olympii templum Athenis, & ſtatuae circa aram Deli poſitae.

δημοσίοις βαλανείοις, ὅτε δημοτῶν ἦν τὰ βαλανεῖα
b πεπληρωμένα, κεραμίων εἰσφερομένων αὐτῷ μύρων τῶν πολυτελεστάτων. ὅτε καί τινος εἰπόντος, μακάριοί ἐστε ὑμεῖς οἱ βασιλεῖς, οἱ καὶ τούτοις χρώμενοι, καὶ ὀδωδότες ἡδύ· μηδὲν [1] τὸν ἄνθρωπον προσειπὼν, ὅπου κεῖνος τῇ ἐξῆς ἐλούετο ἐπεισελθὼν, ἐποίησεν αὐτοῦ καταχυθῆναι τῆς κεφαλῆς μέγιστον κεράμιον πολυτελεστάτου μύρου τῆς στακτῆς καλουμένης· ὡς πάντας ἀναστάντας κυλίεσθαι λουομένους τῷ μύρῳ, καὶ διὰ τὴν γλισχρότητα καταπίπτοντας γέλωτα παρέ-
c χειν, καθάπερ καὶ αὐτὸν τὸν βασιλέα."

XXII. Antiochi ludi Daphnici.

„Ὁ δ' αὐτὸς οὗτος βασιλεὺς, ἀκούσας τοὺς ἐν τῇ Μακεδονίᾳ συντετελεσμένους ἀγῶνας ὑπὸ Αἰμιλίου Παύλου, τοῦ Ῥωμαίων στρατηγοῦ, βουλόμενος τῇ μεγαλοεργίᾳ καὶ δωρεᾷ [2] ὑπεραίρειν τὸν Παῦ-

1 καὶ μηδὲν edd. cum ms. *A.* 2 Nude δωρεᾷ absque καὶ edd. cum ms. *A.* Ipsum vocab. δωρεᾷ praetermisit Epitomator; rectius fortasse.

Idem lavabatur in publicis balneis, etiam ubi frequentissima plebis multitudine essent occupata: pretiosissimorumque unguentorum plena doliola ei adferebantur. Qua occasione cum diceret aliquis: *beati estis vos Reges; qui talibus cum utamini, suaviter etiam oletis;* nullo homini responso dato, postridie ingressus ubi ille lavabat, maximum vas pretiosissimi unguenti, quae *stacte* (seu *stillatitia myrrha*) vocatur, super caput eiusdem iussit effundi. Quo facto, surgentes omnes, unguento illo se delibuturi, catervatim advolarunt, rexque etiam ipse: sed fallente propter viscositatem vestigio lapsantes, multum risum commoverunt."

22. »Idem hic rex, postquam rescivit de ludis ab Aemilio Paulo Romanorum imperatore celebratis, volens magnificentia superare Paulum, ad civitates misit

λον, ἐξέπεμψε πρέσβεις καὶ θεωροὺς εἰς τὰς πόλεις, καταγγελοῦντας τοὺς ἐσομένους ἀγῶνας ὑπ' αὐτοῦ ἐπὶ Δάφνης· ὡς πολλὴν γενέσθαι τῶν Ἑλλήνων σπουδὴν εἰς τὴν ὡς αὐτὸν ἄφιξιν. Ἀρχὴν δ' ἐποιήσατο τῆς πανηγύρεως τὴν πομπείαν, οὕτως ἐπιτελεσθεῖσαν. καθηγοῦντό τινες, Ῥωμαϊκὸν ἔχοντες καθοπλισμὸν, ἐν θώραξιν ἀλυσιδωτοῖς, ἄνδρες ἀκμάζοντες ταῖς ἡλικίαις, πεντακισχίλιοι· μεθ' οὓς Μυσοὶ πεντακισχίλιοι συνεχεῖς ἦσαν· Κίλικες δ' εἰς τὸν τῶν εὐζώνων τρόπον καθωπλισμένοι τρισχίλιοι, χρυσοῦς ἔχοντες στεφάνους. ἐπὶ δὲ τούτοις Θρᾷκες τρισχίλιοι, καὶ Γαλάται πεντακισχίλιοι. τούτοις ἐπέβαλλον Μακεδόνες δισμύριοι, καὶ χαλκάσπιδες πεντακισχίλιοι· ἄλλοι δὲ ἀργυράσπιδες. [1] οἷς ἐπηκολούθει μονομάχων ζεῦγη διακόσια τεσσαράκοντα. τούτων κατόπιν ἦσαν ἱππεῖς Νισαῖοι [2] μὲν χίλιοι, πολιτικοὶ δὲ τρισχίλιοι· ὧν οἱ μὲν πλείους

Pompa Antiochi.

1 Post ἀργυράσπιδες videtur intercidisse numeri nescio cuius nota.
2 Πισαῖοι edd. cum ms. *A*. Πισσαῖοι ms. *Epit*.

oratores & sacrorum caussâ legatos, qui nunciarent *ludos*, quos *ad Daphnen* ipse esset celebraturus. Quo factum, ut ingenti studio Graeci ad eum convenirent. Totius celebrationis initium fecit a *pompa*, quae tali modo ducta est. Praeibant hominum aetate florentium millia quinque, Romano more armatorum, cum loricis hamatis. Sequebantur continenter Mysi totidem: tum Cilices ter mille, in modum levis armaturae instructi, aureas coronas gestantes: & post istos Thracum tria, & Galatarum quinque millia. Hos excipiebant Macedonum viginti, & chalcaspidum quinque millia, aliique cum scutis argenteis: quos sequebantur gladiatorum paria ducenta & quadraginta. Horum a tergo fuerunt equites *Nisaei* mille, urbani vero ter mille; quorum ple-

ἦσαν χρυσοφάλαροι καὶ χρυσοστέφανοι, οἱ δ' ἄλλοι ἀργυροφάλαροι. μετὰ δὲ τούτους ἦσαν οἱ λεγόμενοι ἑταῖροι ἱππεῖς· οὗτοι δὲ ἦσαν εἰς χιλίους, πάντες χρυσοφάλαροι. τούτοις συνεχὲς ἦν τὸ τῶν φίλων σύνταγμα, ἴσον καὶ κατὰ τὸ πλῆθος καὶ κατὰ τὸν κόσμον. ἐπὶ δὲ τούτοις ἐπίλεκτοι χίλιοι. οἷς ἐπηκολούθει τὸ καλούμενον ἄγημα, κράτιστον εἶναι δοκοῦν f σύστημα τῶν ἱππέων, περὶ χιλίους. τελευταῖα δ' ἦν ἡ κατάφρακτος ἵππος, οἰκείως τῇ προσηγορίᾳ τῶν ἵππων καὶ τῶν ἀνδρῶν ἐσκεπασμένων τοῖς ὅπλοις· ἦσαν δὲ καὶ αὐτοὶ χίλιοι καὶ πεντακόσιοι. πάντες δ' οἱ προειρημένοι εἶχον πορφυρᾶς ἐφαπτίδας, πολλοὶ δὲ καὶ διαχρύσους καὶ ζωωτάς. Ἐπὶ δὲ τούτοις ἕξιππα μὲν ἦν ἑκατόν, τέθριππα δὲ τεσσαράκοντα· [1] ἔπειτα ἐλεφάντων ἅρμα καὶ συνωρίς· καθ' ἕνα δὲ εἵπαντο ἐλέφαντες διεσκευασμένοι τριάκοντα καὶ ἕξ."

1 Forſ. τετραχόσια.

rique cum aureis phaleris & coronis, alii cum phaleris argenteis. His ſuccedebant equites qui *Sodales* vocantur, circiter mille, aureis phaleris omnes ornati. Quibus proxima fuit *Amicorum* ala, & numero par illis & ornatu. Poſt hos delecti mille progreſſi ſunt: quos ſecutum eſt *Agema* quod vocatur, quod validiſſimum habetur equitum corpus, mille admodum. Poſtremi fuere cataphracti equites, ab armis nomen habentes quibus & viri & equi tecti ſunt; quingenti ſupra mille. Erant autem omnibus iſtis, quos adhuc recenſuimus, paludamenta purpurea; eaque multis etiam, auro diſtincta aut picturis variegata. Poſt hos, currus erant ſeiuges centum, quadrigae vero quadraginta. Tum ſequebatur currus elephantis quatuor iunctus; & bigae, duobus: ſinguli vero ſequebantur elephanti armati triginta ſex."

XXIII. Antiochi pompa ad Daphnen.

„Τὴν δὲ ἄλλην πομπὴν λέγειν ἐστὶ δυσέφικτον· ὡς ἐν κεφαλαίῳ δὲ λεκτέον. Ἔφηβοι μὲν γὰρ ἐπόμπευσαν εἰς ὀκτακοσίους, χρυσοῦς ἔχοντες στεφάνους· a βόες δ' εὐτρεφεῖς [1] περὶ χιλίους· θεωρίαι [2] δὲ βραχὺ λείπουσαι τριακοσίων· ἐλεφάντων δὲ ὀδόντες ὀκτακόσιοι. τὸ δὲ τῶν ἀγαλμάτων πλῆθος, οὐ δυνατὸν ἐξηγήσασθαι· πάντων γὰρ τῶν παρ' ἀνθρώποις λεγομένων ἢ νομιζομένων θεῶν ἢ δαιμόνων, προσέτι δὲ ἡρώων, εἴδωλα διήγετο, τὰ μὲν κεχρυσωμένα, τὰ δ' ἠμφιεσμένα στολαῖς διαχρύσοις. καὶ πᾶσι τούτοις οἱ προσήκοντες μῦθοι κατὰ τὰς παραδεδομένας ἱστορίας ἐν διασκευαῖς πολυτελέσι παρέκειντο. εἵπετο δ' αὐτοῖς b καὶ Νυκτὸς εἴδωλον, καὶ Ἡμέρας· Γῆς τε, καὶ Οὐρανοῦ, καὶ Ἠοῦς, καὶ Μεσημβρίας. Τὸ δὲ τῶν χρυσωμάτων καὶ ἀργυρωμάτων πλῆθος οὕτως ἄν τις

1 εὐτραφεῖς ed. Caf. 2 Perperam θεωρία mss. & ed. Ven. θεωρίδες voluit Caſaub.

23. »Reliquum pompae adparatum difficile fuerit oratione proſequi. Summatim tamen haec commemorabimus. Adoleſcentes incedebant circiter octingenti, aureis coronis ornati: boves opimi ad mille: legationes ad celebranda ſolennia a civitatibus miſſae paulo minus trecentae: elephantorum dentes octingenti. Imaginum vero numerum referre nemo queat. Omnium enim, quotquot apud homines vel nominantur vel habentur dii & daemones, denique heroum omnium, ſimulacra geſtabantur, inaurata alia, alia ſtolis auro diſtinctis indura: atque cunctis his, cum ſumtuoſo adparatu, adiuncta erant ſymbola, quae ſecundum fabulas de unoquoque tradi ſolitas cuique conveniunt. Sequebantur iſta & Noctis & Diei imagines, & Terrae, & Coeli, & Aurorae, & Meridiei. Aureae vero argenteaeve ſupellectilis vis ac multitudo quanta fuerit, ſic quispiam

ὑπονοήσειεν ὅσον ἦν· ἑνὸς γὰρ τῶν Φίλων, Διονυσίου, τοῦ ἐπιστολογράφου,[1] χίλιοι παῖδες ἐπόμπευσαν, ἀργυρώματα ἔχοντες, ὧν οὐδὲν ἔλαττον ὁλκὴν εἶχε δραχμῶν χιλίων. Βασιλικοὶ δὲ παῖδες παρῆλθον ἑξακόσιοι, χρυσώματα ἔχοντες. ἔπειτα γυναῖκες ἐκ χρυ-
c σῶν καλπίδων μύροις ἔρραινον εἰς διακοσίας. ταύταις δ' ἑξῆς ἐπόμπευον ἐν χρυσόποσι μὲν Φορείοις ὀγδοήκοντα γυναῖκες, ἀργυρόποσι δὲ πεντακόσιαι καθήμεναι, πολυτελῶς διεσκευασμέναι. καὶ τῆς μὲν πομπῆς τὰ ἐπιφανέστατα ταῦτα ἦν."

„Ἐπιτελεσθέντων δὲ τῶν ἀγώνων καὶ μονομα- XXIV.
χιῶν καὶ κυνηγεσίων, κατὰ τριάκονθ' ἡμέρας ἐν αἷς Puerilis Antiochi magnificentia.
τὰς θέας συνετέλει, πέντε μὲν τὰς πρώτας ἐν τῷ γυμνασίῳ πάντες ἐκ χρυσῶν ὁλκίων ἠλείφοντο κρο-
d κίνῳ μύρῳ· ἦν δὲ ταῦτα πεντεκαίδεκα, καὶ κινναμω-

1 ἐπιστολαγράφοι ms. *A.*

animo conceperit. Dionyſii, unius e regis amicis, qui ab epiſtolis ei erat, pueri mille in eo pompae ductu incedebant, argentea vaſa geſtantes, quorum nullum minus pendebat mille drachmis. Regis autem ſexcenti pueri illos conſequebantur, aurea geſtantes vaſa. Deinde mulieres circiter trecentae, ex aureis urnis unguentum adſpergentes. His proximae fuerunt foeminae magnifice exornatae octoginta, inſidentes lecticis, quarum pedes aurei erant, & quingentae lecticis quarum pedes argentei. Et in pompa quidem haec maxime illuſtria fuerant. «

24. »Deinde vero, cum peragerentur ludi & gladiatoria certamina & venationes; per triginta dies quibus edebat iſta ſpectacula, quinque prioribus diebus, quicumque in gymnaſium veniſſent, ex aureis pelvibus ungebantur crocino oleo; [quinque ſequentibus] cinna-

μίνου [1] τὴν ἴσα καὶ ναρδίνου. παραπλησίως δὲ καὶ ταῖς ἑξῆς εἰσεφέρετο τήλινον, ἀμαράκινον, ἴρινον· [2] πάντα διαφέροντα ταῖς εὐωδίαις. ἔστρωτο δὲ εἰς εὐωχίαν ποτὲ μὲν χίλια τρίκλινα, ποτὲ δὲ χίλια πεντακόσια, μετὰ τῆς πολυτελεστάτης διασκευῆς. Ὁ δὲ χειρισμὸς ἐγίνετο τῶν πραγμάτων δι' αὐτοῦ τοῦ βασιλέως. ἵππον γὰρ ἔχων εὐτελῆ, παρέτρεχε παρὰ τὴν πομπὴν, τοὺς μὲν προάγειν κελεύων, τοὺς δὲ ἐπέχειν. κατὰ δὲ τοὺς πότους αὐτὸς ἐπὶ τὰς εἰσόδους e ἐφιστάμενος, οὓς μὲν εἰσῆγεν, οὓς δ' ἀνέκλινε. καὶ τοὺς διακόνους δὲ, τοὺς τὰς παραθέσεις φέροντας, αὐτὸς εἰσήγαγεν. καὶ περιπορευόμενος, οὗ μὲν προσεκάθιζεν, οὗ δὲ προσανέπιπτε. καὶ ποτὲ μὲν ἀποβέμενος μεταξὺ τὸν ψωμὸν, ποτὲ δὲ τὸ ποτήριον, ἀνεπήδα, καὶ μετανίστατο. καὶ περιήει τὸν πότον, προπό-

1 Forſ. καὶ ταῖς ἑξῆς δέκα μύραμ. aut aliquid in eam ſententiam. 2 εἰρινόν. vulgo. λείριον malebat Caſaub.

momino, dein nardino; tum rurſus telino, (ex foeno graeco,) tum amaracino, denique liliaceo; quorum unumquodque odoris ſuavitate praefiabat: & praeſto erant (ſingulis diebus) pelves quindecim unguento repletae. Ad epulas ſtrata erant aliâs mille triclinia, aliâs quingenta ſupra mille, cum adparatu ſumtuoſiſſimo. Totum autem negotium per ipſum regem adminiſtrabatur: qui, vili vectus equo, & pompam intercurſans, alios progredi iubebat, alios ſiſtere gradum. Idem, in conviviis, ſtans in aditibus coenaculorum, alios introducebat, aliis loca in lectulis adſignabat: miniſtrorumque, qui fercula portabant, dux ipſe erat. Tum circum menſas obambulans, nunc adſidebat alicubi, nunc alibi adcumbebat: & ſubinde rurſus inter edendum bibendumve, poſitâ buccâ aut poculo, ſubito proſiliens alio ſe conferebat, circumibatque compotantium men-

σεις λαμβάνων ὀρθὸς ἄλλοτε παρ' ἄλλοις, ἅμα δὲ καὶ τοῖς ἀκροάμασι προσπαίζων. προϊούσης δ' ἐπὶ
f πολὺ τῆς συνουσίας, καὶ πολλῶν ἤδη κεχωρισμένων, ὑπὸ τῶν μίμων ὁ βασιλεὺς εἰσεφέρετο, ὅλος κεκαλυμμένος, καὶ εἰς τὴν γῆν ἐτίθετο, ὡς εἷς ὢν δῆτα τῶν μίμων· καὶ τῆς συμφωνίας προκαλουμένης, ἀναπηδήσας ὠρχεῖτο, καὶ ὑπεκρίνετο μετὰ τῶν γελωτοποιῶν, ὥστε πάντας αἰσχυνομένους φεύγειν. Ταῦτα δὲ πάντα συνετελέσθη, ἐξ ὧν τὰ μὲν ἐκ τῆς Αἰγύπτου ἐνοσφίσατο, παρασπονδήσας τὸν Φιλομήτορα βασιλέα, παιδίσκον ὄντα, τὰ δὲ καὶ τῶν φίλων συμβαλλομένων. ἱεροσυλήκει δὲ καὶ τὰ πλεῖστα τῶν ἱερῶν."

XXV. Ptolemaei Philadelphi pompa, ex Callixeno.

a Θαυμασάντων δὲ τῶν δαιτυμόνων τήν τε τοῦ βασιλέως διάνοιαν, ὡς οὐκ ἐπιφανὴς, ἀλλ' ὄντως ἐπιμανὴς ὑπῆρχε, προσέθηκεν ὁ Μασούριος περὶ τῆς ἐν

sas, & propinationes ab aliis atque aliis, rectus adstans, accipiebat; simulque interim cum mimis, qui aderant, iocabatur. Ubi iam productum in longius esset convivium, multique iam excessissent, rex a mimis introferebatur, totus opertus, & humi deponebatur, veluti unus ipse esset ex mimis: tum vero musicorum concentu provocatus, prosiliebat saltabatque, cum scurris histrionem agens, adeo ut prae pudore omnes diffugerent. Celebrata autem & confecta sunt ista omnia partim ex eis opibus, quibus Philometorem Aegypti regem, etiamtum puerum, violato foederis pacto exspoliaverat, partim quas contulerant amici. Praeterea vero etiam pleraque expilaverat templa."

125. Mirantibus convivis ingenium regis, quod non tam *illustre*, (ἐπιφανὲς,) quam revera *furiosum* (ἐπιμανὲς) fuisset; Masurius Callixenum Rhodium citavit,

Ἀλεξανδρείᾳ γεγενημένης ὑπὸ τοῦ πάντ' ἀρίστου Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ βασιλέως πομπῆς, Καλλίξενον τὸν Ῥόδιον ἱστοροῦντα ἐν τῷ τετάρτῳ Περὶ Ἀλεξανδρείας, ὃς φησί· „Πρὸ δὲ τοῦ ἄρξασθαι, τὴν κατασκευασθεῖσαν σκηνὴν ἐν τῷ τῆς ἄκρας περιβόλῳ, χωρὶς τῆς τῶν στρατιωτῶν καὶ τεχνιτῶν καὶ παρεπιδήμων ὑποδοχῆς, ἐξηγήσομαι. καλὴ γὰρ εἰς ὑπερβολὴν, ἀξία τε ἀκοῆς ἐγενήθη. Τὸ μὲν οὖν μέ- b
Tabernaculi structura & adparatus.
γεθος αὐτῆς, ἑκατὸν τριάκοντα κλίνας ἐπιδεχόμενον κύκλῳ· διασκευὴν δὲ ἔχει [1] τοιαύτην. κίονες διεστάθησαν ξύλινοι, πέντε μὲν κατὰ πλευρὰν ἑκάστην τοῦ μήκους, πεντηκονταπήχεις πρὸς ὕψος, ἑνὶ δὲ ἐλάττους κατὰ πλάτος· ἐφ' ὧν ἐπιστύλιον καθηρμόσθη τετράγωνον, ὑπερεῖδον τὴν σύμπασαν τοῦ συμποσίου στέγην. αὕτη δ' ἐνεπετάσθη κατὰ μέσον οὐρανίσκῳ κοκκινοβαφεῖ περιλεύκῳ· καθ' ἑκάτερον δὲ μέρος εἶχε δο-

1 Forſ. εἶχε.

Pompam Alexandriae celebratam a Ptolemaeo Philadelpho, rege undecumque praeſtantiſſimo, libro quarto de Alexandria enarrantem. »Priusquam rem adgrediar, inquit ille, exſtructum intra arcis ambitum *Tabernaculum*, ſeorſim a militum & artificum & peregrinorum diverſoriis, exponam: ſupra modum enim pulcrum fuit, & memoratu dignum. Igitur amplitudo eius tanta erat, ut centum & triginta lectos caperet, in orbem locatos; ſtructura autem huiusmodi. Columnae diſpoſitae erant ligneae quinque ab utraque parte, qua in longitudinem patebat tentorium, ad quinquaginta cubitorum altitudinem; quatuor vero in latitudinem. His ſuperne adaptatum erat epiſtylium quadratum, quod univerſum coenaculi tectum ſuſtentaret. Habebat illud in medio velum coccineum albo praetextum, in tholi formam expanſum: ab utra-

c κοὺς μεσολεύκοις ἐμπετάσμασι [1] πυργωτοῖς κατειλημένας, ἐν αἷς Φατνώματα γραπτὰ κατὰ μέσον ἐτέτατο. [2] τῶν δὲ κιόνων οἱ μὲν τέσσαρες ὡμοίωντο Φοίνιξιν, οἱ δ' ἀνὰ μέσον Θύρσων εἶχον Φαντασίαν. τούτων δ' ἐκτὸς περίστυλος ἐπεποίητο σύριγξ, ταῖς τρισὶ πλευραῖς, καμαρωτὴν ἔχουσα στέγην· ἐν ᾗ τὴν τῶν κατακειμένων ἀκολουθίαν ἑστάναι συνέβαινεν. ἧς τὸ μὲν ἐντὸς αὐλαίαις περιείχετο Φοινικίναις· ἐπὶ δὲ τῶν ἀνὰ μέσον χωρῶν, δοραὶ θηρίων παράδοξοι καὶ τῇ ποικιλίᾳ καὶ τοῖς μεγέθεσιν ἐκρέμαντο. τὸ δὲ περι-
d έχον αὐτὴν ὕπαιθρον μυρρίναις καὶ δάφναις, ἄλλοις τε ἐπιτηδείοις ἔρνεσιν, ἐγεγόνει συνηρεφές. τὸ δ' ἔδαφος πᾶν ἄνθεσι κατεπέπαστο παντοίοις. Ἡ γὰρ Αἴγυπτος, καὶ διὰ τὴν τοῦ περιέχοντος ἀέρος εὐκρασίαν, καὶ διὰ τοὺς κηπεύοντας, τὰ σπανίως καθ'

1 Vulgo μεσολεύκους ἐν πετάσμασι, & mox dein κατειλημμένας.
2 ἐτέταχτο vulgo.

que parte trabes erant, tapetiis obvolutae albo diſtinctis turritis, quarum in medio expanſa erant picta lacunaria. Quatuor ex columnis palmarum arborum formam referebant: quae in medio erant, thyrſorum praebebant ſpeciem. Extra has, tribus lateribus circumducta erat porticus, periſtylio ornata, fornicato tecto inſtructa; in qua ſtaret diſcumbentium comitatus. Huius pars interior aulaeis erat obducta puniceis: quorum in medio certis ex intervallis ſuſpenſae ferarum pelles, cum varietate coloris, tum magnitudine admirabiles. Latus exterius, libero coelo obverſum, myrtis & lauris aliisque idoneis frondibus obumbrabatur. Totum vero ſolum floribus cuiusque generis ſparſum erat. Aegyptus enim, cum ob aëris temperiem, tum per eorum induſtriam qui hortos colunt, quae parcius etiam ſuo quae-

ὥραν ἐνεστηκυῖαν ἐν ἑτέροις φυόμενα τόποις ἄφθονα γεννᾷ καὶ διὰ παντός· καὶ οὔτε ῥόδον, οὔτε λευκόϊον, οὔτ' ἄλλο ῥᾳδίως ἄνθος ἐκλιπεῖν οὐθὲν οὐδέποτ' εἴωθε. διὸ δὴ καὶ κατὰ μέσον χειμῶνα τῆς ὑποδοχῆς τότε γενηθείσης, παράδοξος ἡ φαντασία τότε [1] τοῖς ξένοις κατέστη. τὰ γὰρ εἰς μίαν εὑρεθῆναι στεφάνωσιν οὐκ ἂν δυνηθέντα ἐν ἄλλῃ πόλει ῥᾳδίως, ταῦτα καὶ τῷ πλήθει τῶν κατακειμένων ἐχορηγεῖτο εἰς τοὺς στεφάνους ἀφθόνως, καὶ εἰς τὸ τῆς σκηνῆς ἔδαφος κατεπέπαστο χύδην, θείου τινὸς ὡς ἀληθῶς ἀποτελοῦντα λειμῶνος πρόσοψιν. "

XXVI. Coenaculum Ptolemaei Philadelphi.

„ Διέκειτο δὲ ἐπὶ μὲν τῶν τῆς σκηνῆς παραστάδων ζῶα μαρμάρινα τῶν πρώτων τεχνιτῶν, ἑκατόν. ἐν δὲ ταῖς ἀνὰ μέσον χώραις πίνακες τῶν Σικυωνιακῶν [2] ζωγράφων· ἐναλλὰξ δ' ἐπίλεκτοι εἰκασίαι

1 Lubens h. l. repetita carerem particula. 2 Σιχυωνικῶν ex membranis laudat Caſaub.

que tempore in aliis regionibus gignuntur, ea copioſiſſima gignit, & qualibet anni tempeſtate; ut & roſa & leucoium & quodcumque aliud floris genus numquam non ſuppetat. Quare, quum media hieme convivii illius ſolemnitas celebraretur, mira tunc ſpecies peregre venientibus accidebat. Nam qui ad unius coronae contextum in alia urbe vix reperti flores fuiſſent, ii largiſſime & ad coronas tantae multitudinis convivarum ſuppetebant, & per tabernaculi ſolum tanta profuſione ſparſi erant, ut illud vere divini cuiusdam prati ſpeciem praeberet. «

26. »Ad poſtes (*ſive* columellas) circa totum tabernaculum diſpoſita erant marmorea ſigna centum, primariorum artificum opera: & mediis inter illas ſpatiis ſuſpenſae tabulae pictae operis Sicyonii, alternatimque

f παντοῖοι, [1] καὶ χιτῶνες χρυσοϋφεῖς, ἐφαπτίδες τε κάλλισται, τινὲς μὲν εἰκόνας ἔχουσαι τῶν βασιλέων ἐνυφασμένας, αἱ δὲ μυθικὰς διαθέσεις. ὑπεράνω δὲ τούτων θυρεοὶ περιέκειντο ἐναλλὰξ ἀργυραῖ τε καὶ χρυσαῖ. [2] ἐν δὲ ταῖς ἐπάνω τούτων χώραις, οὔσαις ὀκταπήχεσιν, [3] ἄντρα κατεσκεύαστο· κατὰ μὲν τὸ μῆκος τῆς σκηνῆς ἓξ ἐν ἑκατέρᾳ πλευρᾷ, κατὰ πλάτος δὲ τέτταρα· συμπόσιά τε ἀντία ἀλλήλων ἐν αὐτοῖς [4] τραγικῶν τε καὶ κωμικῶν καὶ σατυρικῶν ζώων,
a ἀληθινὸν ἐχόντων ἱματισμὸν, οἷς παρέκειτο καὶ ποτήρια χρυσᾶ. κατὰ μέσον δὲ τῶν ἄντρων νύμφαι [5] ἐλείφθησαν, ἐν αἷς ἔκειντο Δελφικοὶ χρυσοῖ τρίποδες, ὑποστήματα ἔχοντες. κατὰ δὲ τὸν ὑψηλότατον τόπον τῆς ὀροφῆς, ἀετοὶ κατὰ πρόσωπον ἦσαν ἀλλήλων χρυσοῖ, πεντεκαιδεκαπήχεις τὸ μέγεθος. Ἐκεινν-

1 παντοῖαι putabam oportuisse. 2 Quidni ἀργυροῖ τε καὶ χρυσοῖ? Nisi post περιέκειντο intercidit nomen foeminini generis. 3 ὀκταπήχη legit Dalech. 4 Vulgo nude αὐτοῖς, absque ἐν. 5 νυμφαῖα suspicatus erat Casaub. & mox dein ἐν οἷς.

variae imagines ad vivum expressae, & tunicae auro intextae, & paludamenta pulcerrima, quorum aliis intextae erant regum imagines, aliis argumenta e fabulis depromta. Superne super his scuta suspensa erant, alternatim argentea & aurea. Porro locis superioribus, in octo cubitos patentibus, antra constructa erant, sex ab utraque parte in longitudinem tabernaculi, quatuor vero in latitudinem: in eisque convivia, ex adverso alterum alterius, tragicarum & comicarum & satyricarum personarum, vero cultu habituque vestitarum, quibus aurea adposita erant pocula. Medio spatio, quod inter antra relinquebatur, nymphaea erant, in quibus positi aurei tripodes Delphici, suis basibus insistentes. In supremo tecti fastigio aquilae erant aureae, mutuo sese respicientes, quindecim cubitorum magnitudine. Secun-

τὸ δὲ καὶ [1] κλῖναι χρυσαῖ σφιγγόποδες ἐν ταῖς δυσὶ πλευραῖς ἑκατόν· ἡ γὰρ κατὰ πρόσωπον ὄψις ἀφεῖται [2] ἀναπεπταμένη. ταύταις δ' ἀμφίταποι ἀλουργεῖς ὑπέστρωντο τῆς πρώτης ἐρέας· καὶ περιστρώματα ποικίλα, διαπρεπῆ ταῖς τέχναις, ἐπῆν. ψιλαὶ δὲ Περσικαὶ τὴν ἀνὰ μέσον τῶν ποδῶν χώραν ἐκάλυπτον, ἀκριβῆ τὴν εὐγραμμίαν τῶν ἐνυφασμένων ἔχουσαι ζωδίων. παρετέθησαν δὲ καὶ τρίποδες τοῖς κατακειμένοις χρυσοῖ, διακόσιοι τὸν ἀριθμὸν, ὥστ' εἶναι δύο κατὰ κλίνην, ἐπ' ἀργυρῶν διέδρων. ἐκ δὲ τῶν ὄπισθεν πρὸς τὴν ἄποψιν ἑκατὸν ἀργυραῖ λεκάναι, καὶ καταχύσεις ἴσαι, παρέκειντο. ἐπεπήγει δὲ τοῦ συμποσίου κατ' ἀντικρὺ καὶ ἑτέρα κλίνη, [3] πρὸς τὴν τῶν κυλικίων καὶ ποτηρίων, τῶν τε λοιπῶν τῶν πρὸς τὴν χρῆσιν ἀνηκόντων καὶ [4] κατασκευασμάτων, ἔκ-

1 Importune intrusa videtur καὶ particula. 2 ἀφεῖτο malim. 3 Suspecta vox κλίνη h. l. 4 Rursus abundare καὶ videtur.

dum duo tabernaculi latera posiți erant centum lecti aurei, pedibus in sphingum formam effictis: nam latus oppositum fronti relictum erat apertum. His substrata erant tapetia purpurea, utrimque villosa, e lana praestantissima: superstrata aulaea variegata, eximia arte insignia. Glabrae tapetes Persicae medium spatium, quod pedibus calcatur, tegebant, accurate delineatas animalium formas aliasque figuras intertextas habentes. Discumbentibus adpositae erant mensae tripodes aureae ducentae, ut essent duae pro quoque lectulo, argenteis repositoriis innixae. A parte posteriori, quae a conspectu remota est, centum pelves positae erant argenteae, totidemque labra. Fabrefactum vero etiam erat in parte adversa coenaculi aliud repositorium, in quo calices & pocula, aliaque ad usum idonea, & vasa diversae fa-

θεσιν· ἃ δὴ πάντα χρυσᾶ τε ἦν, καὶ διάλιθα, θαυμαστὰ ταῖς τέχναις. τούτων δὲ τὴν μὲν κατὰ μέρος κατασκευὴν, καὶ τὰ γένη, μακρὸν ἐπεφαίνετό μοι δηλοῦν. τὸ δὲ τοῦ σταθμοῦ πλῆθος εἰς μύρια [1] τάλαντα ἀργυρίου τὴν σύμπασαν εἶχε κατασκευήν." [2]

XXVII. Ptolemaei pompa.

„Ἡμεῖς δε, ἐπειδὴ τὰ κατὰ τὴν σκηνὴν διεληλύθαμεν, ποιησόμεθα καὶ τῆς πομπῆς ἐξήγησιν. Ἦγε- d το γὰρ διὰ τοῦ κατὰ τὴν πόλιν σταδίου. πρώτη δ' ἐβάδιζεν Ἑωσφόρου· καὶ γὰρ ἀρχὴν εἶχε ἡ πομπὴ καθ' ὃν ὁ προειρημένος ἀστὴρ φαίνεται χρόνον. ἔπειθ' ἡ τοῖς τῶν βασιλέων γονεῦσι κατωνομασμένη. μετὰ δὲ ταύτας αἱ τῶν Θεῶν ἁπάντων, οἰκείαν ἔχουσαι τῆς περὶ ἑκάστων αὐτῶν ἱστορίας διασκευήν. τὴν δὲ τελευταίαν Ἑσπέρου συνέβαινεν εἶναι, τῆς ὥρας εἰς τοῦ-

1 μυρία vulgo. 2 An ἡ σύμπασα εἶχε κατασκευή?

bricae exponebantur; quae erant aurea omnia, & gemmis distincta, admirabili arte fabrefacta. Quorum singulorum structuram, & varia genera enarrare, longum mihi visum est. Sed pondus cunctorum illorum vasorum, in unam summam collatum, decem fere millium fuit talentorum argenti. «

27. »Nunc, postquam quae ad tabernaculum pertinent exposuimus, *Pompam* etiam ipsam enarrabimus. Ducebatur igitur illa per stadium, quod est Alexandriae. Et prima quidem progrediebatur Luciferi pompa: etenim initium tota pompa capiebat, quo tempore stella illa oriebatur. Tum procedebat ea, quae parentibus regum erat consecrata. Post hanc, Deorum omnium Dearumque pompae; quaelibet rebus omnibus instructa ornataque, quae ad uniuscuiusque numinis historiam spectant. Postrema pompa Hesperi erat, quoniam anni tempestas ita contrahebat tempus, ut ad seram usque

το συναγούσης τὸν καιρόν. τὰ δὲ κατὰ μέρος αὐτῶν εἴ τις εἰδέναι βούλεται, τὰς τῶν Πεντετηρίδων γρα-
Pompa Bacchica. φὰς λαμβάνων ἐπισκοπείτω. Τῆς δὲ Διονυσιακῆς e
πομπῆς, πρῶτοι μὲν προήεσαν οἱ τὸν ὄχλον ἀνείργοντες Σιληνοὶ,[1] πορφυρᾶς χλανίδας, οἱ δὲ φοινικίδας[2] ἠμφιεσμένοι. Τούτοις δ' ἐπηκολούθουν Σάτυροι, καθ' ἕκαστον τοῦ σταδίου μέρος εἴκοσι, λαμπάδας φέροντες κισσίνας διαχρύσους. Μεθ' οὓς Νῖκαι, χρυσᾶς ἔχουσαι πτέρυγας. ἔφερον δ' αὗται θυμιατήρια ἐξαπήχη, κισσίνοις καὶ χρυσοῖς κλωσὶ[3] διακεκοσμημένα, ζωωτοὺς ἐνδεδυκυῖαι χιτῶνας, αὐταὶ[4] δὲ πολὺν κόσμον χρυσοῦν περικείμεναι. Μετὰ δὲ ταύτας εἵπετο f
βωμὸς ἐξάπηχυς διπλοῦς, κισσίνῃ φυλλάδι διαχρύσῳ πεπυκασμένος, ἔχων ἀμπέλινον χρυσοῦν στέφανον, μεσολεύκοις μίτραις κατειλημένον. ἐπηκολούθουν

1 Σειληνοὶ edd. & sic in seqq. iterum iterumque. 2 χλανίδας ἢ φοινικίδας ms. *Ep.* 3 κέωσι edd. καίωσι ms. *A.* Deest in Epitome. κανόσι coniect. Cas. κίοσι Dalech. Pro καὶ χρυσοῖς, quod praecedit, possis (si opus videtur) διαχρύσοις corrigere, aut καὶ delere. 4 αὖται vulgo.

vesperam universa pompa ageretur. Quarum pomparum si quis singularum particulatim rationem cognoscere cupit, is Quinquennalium ludorum descriptionem sumat, & ipse oculis suis lustret. In *Bacchica Pompa*, primi incedebant turbam amoventes *Sileni*, purpureas laenas, alii puniceas induti. Hos sequebantur *Satyri*, ab utraque stadii parte viginti, lampadas gestantes hederae foliis obvolutas auro fulgentibus. Deinde *Victoriae*, aureas habentes alas. Gestabant autem hae thuribula sex cubitorum, hederae frondibus aureis ornata: tunicis vestitae erant auro variegatis, & ipsae alio multo aureo ornatu nitebant. Has excipiebat *ara* cubitorum sex, duplex, multa fronde hederacea auro fulgente ornata: imposita ei erat corona pampinea ex auro facta, fasciis obvoluta albo distinctis. Eam sequebantur *pueri*

δ' αὐτῷ παῖδες ἐν χιτῶσι πορφυροῖς, λιβανωτὸν καὶ σμύρναν, ἔτι δὲ κρόκον, ἐπὶ χρυσῶν μαζονόμων φέροντες, ἑκατὸν εἴκοσι. Μεθ' οὓς Σάτυροι τεσσαράκοντα, ἐστεφανωμένοι κισσίνοις χρυσοῖς στεφάνοις· τὰ δὲ σώματα οἱ μὲν ἐκέχριντο [1] ὀστρείῳ, τινὲς δὲ μίλτῳ, καὶ χρώμασιν ἑτέροις. ἔφερον δὲ καὶ οὗτοι στέφανον χρυσοῦν ἐξ ἀμπέλου καὶ κισσοῦ [2] εἰργασμένον· μεθ' οὓς Σιληνοὶ δύο, ἐν πορφυραῖς χλανίσι [3] καὶ κρηπῖσι λευκαῖς. εἶχε δ' αὐτῶν ὁ μὲν πέτασον καὶ κηρύκιον χρυσοῦν, ὁ δὲ σάλπιγγα. μέσος δὲ τούτων ἐβάδιζεν ἀνὴρ μείζων, τετράπηχυς, ἐν τραγικῇ διαθέσει καὶ προσώπῳ, φέρων χρυσοῦν Ἀμαλθείας κέρας· ὃς προσηγορεύετο Ἐνιαυτός. ᾧ γυνὴ περικαλλεστάτη κατὰ τὸ μέγεθος εἵπετο, πολλῷ χρυσῷ καὶ διαπρεπεῖ κεκοσμημένη· φέρουσα τῇ μὲν μιᾷ τῶν χειρῶν στέφανον περσαίας, τῇ δ' ἑτέρᾳ ῥάβδον φοίνικος· ἐκαλεῖτο δὲ αὕτη Πεντετηρίς. ταύτῃ δ' ἐπηκολούθουν

1. ἐκέχρωντο ed. Casaub. & sic unus e codd. Paris. apud Villebr.
2. Vulgo χρυσοῦ, pro κισσοῦ. 3. χλαμύσι edd. cum ms. *A*.

purpureis tunicis amicti, centum & viginti, thus & myrrham & crocum aureis in patinis gestantes. Inde *Satyri* quadraginta, hederaceis aureis coronis redimiti: quorum alii corpus ostro, alii minio, aut aliis coloribus tinctum habebant. Gestabant autem hi etiam coronam (maiorem) auream, ex vite & hedera confectam. Post hos duo *Sileni*, laenis purpureis & crepidis albis: quorum alter petasum gestabat, & aureum caduceum parvum; alter tubam. Medius autem inter hos incedebat vir maiori statura, quatuor cubitorum, habitu & persona tragica, aureum tenens Amaltheae cornu: *Annum* hunc vocabant. Quem sequebatur mulier pulcerrimâ staturâ, multo auro eleganter ornata, altera manu coronam ex persaea gestans, altera palmae virgam: ea *Penteteris* vocabatur, sive *Lustrum*.

Ὧραι τέσσαρες διεσκευασμέναι, [1] καὶ ἑκάστη Φέρουσα τοὺς ἰδίους καρπούς. Ἐχόμενα τούτων θυμιατήρια [2] δύο κίσσινα ἐκ χρυσοῦ ἐξαπήχη, καὶ βωμὸς ἀνὰ μέσον τούτων τετράγωνος χρυσοῦς. [3] καὶ πάλιν Σάτυροι, στεφάνους ἔχοντες κισσίνους χρυσοῦς, φοινικίδας περιβεβλημένοι· ἔφερον δ' οἱ μὲν οἰνοχόην χρυσῆν, οἱ δὲ καρχήσιον. Μεθ' οὓς ἐπορεύετο Φιλίσκος ὁ ποιητὴς, ἱερεὺς ὢν Διονύσου, καὶ πάντες οἱ περὶ τὸν Διόνυσον τεχνῖται. τούτων δ' ἐφεξῆς ἐφέροντο Δελφικοὶ τρίποδες, ἆθλα τοῖς τῶν ἀθλητῶν χορηγοῖς. ὁ μὲν παιδίσκων, ἐννέα πηχῶν τὸ ὕψος· ὁ δὲ πηχῶν δώδεκα, ὁ τῶν ἀνδρῶν."

Philiſcus poëta, ſacerdos Bacchi.

XXVIII.

Bacchus & Bacchantes.

„Μετὰ τούτους τετράκυκλος πηχῶν τεσσαρεσκαίδεκα, ὀκτὼ δὲ τὸ πλάτος, ἤγετο ὑπὸ ἀνδρῶν ὀγδοήκοντα καὶ ἑκατόν· ἐπὶ δὲ ταύτης ἐπῆν ἄγαλμα Διο-

1 An πολυτελῶς διεσκευασμ. aut aliquid ſimile? 2 Octo verba deſunt edd. 3 Vulgo χρυσοῦ.

Hanc excipiebant quatuor *Anni tempora*, [conveniente] ornatu inſtructa, unumquodque proprios fructus manu tenens. Proxime ſequebantur thuribula duo, hederae foliis ex auro obvoluta; & ara inter haec media, quadrata, aurea. Tum rurſus Satyri, coronis hederaceis aureis cincti, puniceis tunicis induti: geſtabantque horum alii trullam auream, alii carcheſium. [Poculi id genus eſt, ſic nominatum.] Poſt hos incedebat *Philiſcus* poëta, qui Bacchi ſacerdos erat; & omnes ſcenici artifices. Deinde ferebantur *Delphici tripodes*, praemia ducibus athletarum deſtinata: unus, duci adoleſcentum, novem cubitorum altitudine; alter, duci virorum, cubitorum duodecim."

28. »Hos ſequebatur plauſtrum, quatuordecim cubitos in longitudinem, octo in latitudinem patens, quod trahebant homines centum & octoginta. Huic impoſita erat

νύσου [1] δεκάπηχυ, σπένδον ἐκ καρχησίου χρυσοῦ, χιτῶνα πορφυροῦν ἔχον διάπεζον, καὶ ἐπ' αὐτοῦ κρο-
d κωτὸν διαφανῆ· περιεβέβλητο δὲ ἱμάτιον πορφυροῦν χρυσοποίκιλον. προέκειτο δὲ αὐτοῦ κρατὴρ Λακωνικὸς χρυσοῦς μετρητῶν δεκαπέντε, καὶ τρίπους χρυσοῦς, ἐφ' οὗ θυμιατήριον χρυσοῦν, καὶ φιάλαι δύο χρυσαῖ, κασσίας [2] μεσταὶ καὶ κρόκου. περιέκειτο δ' αὐτῷ καὶ σκιὰς, ἐκ κισσοῦ καὶ ἀμπέλου καὶ τῆς λοιπῆς ὀπώρας κεκοσμημένη· προσήρτηντο δὲ καὶ στέ-
e φανοι καὶ ταινίαι καὶ θύρσοι καὶ τύμπανα καὶ μίτραι, πρόσωπά τε Σατυρικὰ καὶ κωμικὰ καὶ τραγικά. τῇ δὲ τετρακύκλῳ [3] ἱερεῖς καὶ ἱέρειαι, καὶ πέρσεις τελεταὶ, [4] καὶ θίασοι παντοδαποὶ, καὶ [5] τὰ λίκνα φέρουσαι. μετὰ δὲ ταῦτα Μακέται αἱ [6] κα-

1 Διονυσίου vulgo. 2 κασίας ed. Caſaub. 3 ἐπηκολούθουν ſupple, aut εἵποντο, aut ſimile verbum. 4 πέρσης τελεταὶ edd. Ὀρφεοτελεσταὶ coni. Caſaub. Hariolatus ſum οἱ πέρυσι τελεσταί. 5 καὶ αἱ τὰ λικν. malim cum Caſ. 6 Forſ. καὶ αἱ καλούμ. vel αἱ Μακ. καλ. καὶ Μιμ.

Bacchi ſtatua cubitorum decem, vinum fundens ex aureo carcheſio, tunicam induta purpuream ad talos demiſſam, & ſuper ea croceam pellucidam; circumiectum vero habebat pallium purpureum auro variegatum. Coram eo poſitus erat crater aureus, metretas capiens quindecim, & menſa tripus aurea, ſuper qua thuribulum, & duae phialae caſſia & croco repletae. Superne obductum erat umbraculum, ex hedera & vite aliarumque arborum frugiferarum frondibus eleganter confectum; ſuſpenſae autem ex eo erant etiam coronae & taeniae & thyrſi & tympana & faſciae & perſonae ſatyricae & comicae tragicaeque. Currum ſequebantur ſacerdotes viri & foeminae, & [recens] initiati, & omnis generis *chori Bacchici*, & qui myſticam ferebant *vannum*. Sequebantur mulieres bacchantes, quae *Mace-*

λούμεναι Μιμαλλόνες, καὶ Βασσάραι, καὶ Λυδαὶ, κατακεχυμέναι τὰς τρίχας, καὶ ἐστεφανωμέναι, τινὲς μὲν ὄφεσιν, οἱ δὲ μίλαξι [1] καὶ ἀμπέλῳ καὶ κισσῷ· κατεῖχον δὲ ταῖς χερσὶν, αἱ μὲν ἐγχειρίδια, αἱ δὲ ὄφεις. Μετὰ δὲ ταύτας ἤγετο τετράκυκλος, πηχῶν ὀκτὼ πλάτος, [2] ὑπὸ ἀνδρῶν ἑξήκοντα· ἐφ' ἧς ἄγαλμα Νύσης [3] ὀκτάπηχυ καθήμενον, ἐνδεδυκὸς μὲν f θάψινον χιτῶνα χρυσοποίκιλον, ἱμάτιον δὲ ἠμφίεστο Λακωνικόν. ἀνίστατο δὴ [4] τοῦτο μηχανικῶς, οὐδενὸς τὰς χεῖρας προσάγοντος· καὶ σπεῖσαν ἐκ χρυσῆς φιάλης γάλα, πάλιν ἐκάθητο. εἶχε δὲ ἐν τῇ ἀριστερᾷ θύρσον ἐστεμμένον μίτραις· αὐτὴ [5] δ' ἐστεφάνωτο [6] κισσίνῳ χρυσῷ, καὶ βότρυσι διαλίθοις πολυτελέσιν. εἶχε δὲ σκιάδα· καὶ ἐπὶ τῶν γωνιῶν τῆς τετρακύκλου κατεπεπήγεσαν λαμπάδες διάχρυσοι τέτταρες. Ἑξῆς

1 σμιλαξι edd. 2 Intercidit puto longitudinis nota. 3 Νύσσης edd. 4 ἀνίστατο δὲ malim. 5 αὕτη vulgo. 6 Nescio an exciderit στεφάνῳ.

tae & *Mimallones* vocantur, & *Baſſarae*, & *Lydae*, paſſis crinibus, coronataeque aliae anguibus, aliae coronis ex taxi frondibus & vite & hedera: manibus autem tenebant aliae pugiones, aliae angues. Poſt has aliud erat plauſtrum, octo cubitorum latitudine, ab hominibus tractum ſexaginta; ſuper quo erat *Nyſae* ſignum octo cubitorum, reſidens, tunicam indutum colore thapſi [buxeo,] variegatam auro; pallam autem circumiectam habebat Macedonicam. Surgebat hoc ſimulacrum ex machinatione ingenioſe fabrefacta, nemine manum admovente; &, poſtquam ex aurea phiala lac libaſſet, rurſus reſidebat. Laeva thyrſum tenebat faſciis coronatum; capiti coronam impoſitam habebat hederaceam ex auro, cum racemis ex gemmis multi pretii. Umbraculum ſtatuam tegebat: & in quatuor plauſtri angulis defixae erant lampades quatuor multo auro fulgentes.

a εἵλκετο [1] ἄλλη τετράκυκλος, μῆκος πηχῶν εἴκοσι, πλάτος ἑκκαίδεκα, ὑπὸ ἀνδρῶν τριακοσίων· ἐφ' ἧς κατεσκεύαστο ληνὸς πηχῶν εἰκοσιτεσσάρων, πλάτος πεντεκαίδεκα, πλήρης σταφυλῆς. ἐπάτουν δὲ ἑξήκοντα Σάτυροι, πρὸς αὐλὸν ἄδοντες μέλος ἐπιλήνιον· ἐφειστήκει δ' αὐτοῖς Σιληνός· καὶ δι' ὅλης τῆς ὁδοῦ τὸ γλεῦκος ἔῤῥει. Ἑξῆς ἐφέρετο τετράκυκλος μῆκος πηχῶν κε', πλάτος τεσσαρεσκαίδεκα· ἤγετο δὲ ὑπὸ ἀνδρῶν ἑξακοσίων· ἐφ' ἧς ἦν ἀσκὸς, τρισχιλίους ἔχων b μετρητὰς, ἐκ παρδαλῶν δερμάτων ἐῤῥαμμένος· ἔῤῥει δὲ καὶ οὗτος, κατὰ μικρὸν ἀνιέμενος, κατὰ πᾶσαν τὴν ὁδόν. ἠκολούθουν δ' αὐτῷ Σάτυροι καὶ Σιληνοὶ ἑκατὸν εἴκοσι ἐστεφανωμένοι, φέροντες οἱ μὲν οἰνοχόας, οἱ δὲ φιάλας, οἱ δὲ θηρικλείους μεγάλας, πάντα χρυσᾶ."

1 εἵπετο edd.

Inde rurſus aliud plauſtrum, longitudine viginti cubitorum, latitudine ſedecim, trahebatur ab hominibus trecentis: ſuper quo conſtructum erat *torcular* viginti quatuor cubitorum in longitudinem, quatuordecim in latitudinem, plenum uvarum. Calcabantque torcular ſexaginta Satyri, canticum vindemiale ad tibiam canentes, quibus praeerat Silenus: & per totam viam fluebat muſtum. Poſt, aliud transvehebatur plauſtrum, longitudine cubitorum viginti quinque, latitudine quatuordecim: [*ſive*, viginti quatuor:] quod viri trahebant ſexcenti. Super hoc erat *uter*, tria millia continens metretarum, *ex pardalidum pellibus conſutus*: fluebat autem & hic per totam viam, paulatim emiſſo vino. Eum ſequebantur Satyri & Sileni centum & viginti, coronati, geſtantes alii urceos, phialas alii, alii magna thericlea quae vocantur pocula, omnia ex auro."

XXIX. Potoria vasa maiora argentea.

„Ἐχομένως ἤγετο κρατὴρ ἀργυροῦς, ἑξακοσίους χωρῶν μετρητὰς, ἐπὶ τετρακύκλου ἑλκόμενος ὑπὸ ἀνδρῶν ἑξακοσίων. εἶχε δὲ ὑπὸ τὰ χείλη καὶ τὰ ὦτα, καὶ ὑπὸ τὴν βάσιν, ζῶα τετορνευμένα· [1] καὶ διὰ μέσου ἐστεφάνωτο στεφάνῳ [2] χρυσῷ διαλίθῳ. Ἑξῆς c ἐπεφέρετο [3] κυλικεῖα [4] ἀργυρᾶ δωδεκαπήχη δύο, ὕψος πηχῶν ἕξ. ταῦτα δ' εἶχεν ἄνω τε ἀκρωτήρια, καὶ ἐν ταῖς γάστραις κύκλῳ· καὶ ἐπὶ τῶν ποδῶν ζῶα τριημιπήχη [5] καὶ πηχυαῖα, πλήθει πολλά. καὶ λουτῆρες μεγάλοι δέκα, καὶ κρατῆρες ἑκκαίδεκα· ὧν οἱ μείζους ἐχώρουν μετρητὰς τριάκοντα, οἱ δ' ἐλάχιστοι πέντε. εἶτα λέβητες ἕξ· βανωτοὶ [6] εἰκοσιτέσσαρες, ἐπ' ἐγγυθήκαις πέντε· καὶ ληνοὶ ἀργυραῖ δύο, ἐφ' ὧν ἦσαν βίκοι εἰκοσιτέσσαρες· τράπεζά τε ὁλάργυρος

1 τετορευμένα corrigunt viri docti. 2 Deest στεφάνῳ edd. 3 In ms. *A.* ut delendae notantur duae priores verbi literae, ut relinquatur ἐφέρετο. 4 Vulgo κυλίκια. 5 τρία ἡμιπήχη vulgo. 6 ἀμφωτοι vel ἄωτοι coniectarunt viri docti. Equidem ἀμβωτοὶ suspicatus sum.

29. » Inde *crater* sequebatur argenteus, sexcentas metretas capiens, super plaustro a viris sexcentis tracto. Habebat ille & sub labiis & sub auribus & in basi figuras animantium aliasque caelatas: medius autem praecinctus erat aureo serto gemmis distincto. Deinde ferebantur duo *poculorum repositoria* [sive, *pocula*] argentea cubitorum duodecim, altitudine sex cubitorum. Haec superne habebant figuras eminentes, & in ventre circumcirca; & in pedibus alias, sesquicubitales & cubitales, magno numero. Tum solia ampla decem, & crateres sedecim, quorum maiores capiebant metretas triginta, minimi vero metretas quinque. Deinde lebetes sex, banoti [?] viginti quatuor, super repositoriis quinque: & torcularii lacus argentei duo, super quibus urnae erant viginti quatuor: & mensa tota argen-

d δωδεκάπηχυς, καὶ ἄλλαι ἑξαπήχεις τριάκοντα. πρὸς δὲ τούτοις, τρίποδες τέσσαρες· ὧν εἷς μὲν εἶχε τὴν περίμετρον πηχῶν ἑκκαίδεκα, κατάχρυσος ὢν ὅλος· οἱ δὲ τρεῖς, ἐλάττονες ὄντες, διάλιθοι κατὰ μέσον ὑπῆρχον. μετὰ δὲ τούτους ἐφέροντο Δελφικοὶ τρίποδες ἀργυροῖ, ὀγδοήκοντα τὸν ἀριθμὸν, ἐλάττους τῶν προειρημένων, ὧν αἱ γωνίαι τετράμετροι· ὑδρίαι εἴκοσι καὶ ἕξ· ἀμφορεῖς Παναθηναϊκοὶ δεκαέξ· ψυκτῆρες ἑκατὸν ἑξήκοντα· τούτων ὁ μέγιστος ἦν μετρητῶν ἓξ, ὁ δὲ e ἐλάχιστος δύο. Ταῦτα μὲν οὖν ἦν ἅπαντα ἀργυρᾶ.“

XXX.

Aurea vasa maiora.

„Ἐχόμενα δὲ τούτων ἐπόμπευον οἱ τὰ χρυσώματα φέροντες· κρατῆρας Λακωνικοὺς τέτταρας, ἔχοντας στεφάνους ἀμπελίνους. τετραμέτρητοι ἕτεροι, [1] Κορινθιουργεῖς δύο, (οὗτοι δ' εἶχον ἄνωθεν καθήμενα περιφανῆ τετορνευμένα [2] ζῶα, καὶ ἐν τῷ τραχήλῳ

1 Mutata distinctione sic legendum coniectaveram, ἀμπελίνους τετραμετρήτους. ἕτεροι Κορινθιουργεῖς δύο &c. In eis, quae continuo sequuntur, *parentheseos* signa adieci, ubi commodum visum erat. 2 Rursus τετορευμένα legunt viri docti.

tea, duodecim cubitorum, aliaeque triginta, cubitorum sex. Ad haec *tripodes* quatuor: quorum unus, perimetrum habens sedecim cubitorum, totus argenteus erat; tres reliqui, minores, in medio gemmis erant distincti. Post istos ferebantur Delphici tripodes argentei quadrangulares, praedictis minores, numero LXXX: hydriae XXVI: amphorae Panathenaicae XVI: refrigeratoria vasa CLX; quorum maximum metretas capiebat sex, minimum duo. Haec igitur omnia *argentea* erant.“

30. »Proximi incedebant, qui *aurea vasa* gestabant: crateres Laconicos quatuor, coronis pampineis cinctos, quatuor metretas capientes. Alii duo erant operis Corinthii, super repositoriis: habebantque hi superne sedentes figuras integras luculenter caelatas, aliasque

καὶ ἐν ταῖς γάστραις πρόστυπα ἐπιμελῶς πεποιημένα· ἐχώρει δ' ἕκαστος μετρητὰς ὀκτώ·) ἐπ' ἐγγυθήκαις. καὶ ληνὸς, ἐν ᾗ ἦσαν βίκοι δέκα· ὁλκαῖα δύο, ἑκάτερον χωροῦν μετρητὰς πέντε· κώθωνες [1] διμέτρητοι δύο· ψυκτῆρες εἴκοσι δύο, ὧν ὁ μέγιστος f ἐχώρει μετρητὰς τριάκοντα, ὁ δὲ ἐλάχιστος ἐχώρει μετρητήν. ἐπόμπευσαν δὲ τρίποδες χρυσοῖ μεγάλοι τέτταρες· καὶ, χρυσωματοθήκη χρυσῆ διάλιθος, πηχῶν δέκα ὕψος, ἔχουσα βασμοὺς ἓξ, ἐν οἷς καὶ ζῶα τετραπάλαιστα ἐπιμελῶς πεποιημένα, πολλὰ τὸν ἀριθμόν· καὶ κυλικεῖα [2] δύο, καὶ ὑάλινα διάχρυσα δύο· ἐγγυθῆναι χρυσαῖ τετραπήχεις δύο, ἄλλαι ἐλάττους τρεῖς, ὑδρίαι δέκα, βωμὸς τρίπηχυς, a μαζονόμια [3] εἰκοσιπέντε. Μετὰ δὲ ταῦτα ἐπορεύοντο παῖδες χίλιοι καὶ ἑξακόσιοι, ἐνδεδυκότες χιτῶνας λευ-

1 Vulgo h. l. κωθῶναι. 2 Rurſus κυλίκια vulgo ſcribebatur.
3 μαζονομίαι vulgo.

anaglyphas in collo & in ventre; capiebantque ſinguli metretas octo. Tum lacus torcularius, in quo erant urnae decem: labra duo, capiens utrumque metretas quinque: cothones duo, metretas binas capientes: vaſa refrigeratoria viginti duo; quorum maximum capiebat triginta metretas; minimum, metretam. Transferebantur etiam tripodes aurei magni quatuor: & aurei ſupellectilis repoſitorium aureum gemmis diſtinctum, decem cubitorum altitudine, gradus habens ſex, e quibus eminebant magno numero figurae exſtantes in quatuor palmorum altitudinem, ſolerter fabrefactae: & poculorum armaria duo aurea, itemque duo vitrea (*ſive* cryſtallina) auro diſtincta: ſcrinia aurea duo, cubitorum quatuor; alia minora tria; hydriae decem; ara tricubitalis; lances diſtribuendis mazis inſervientes viginti duae. Poſt haec ingrediebantur pueri mille & ſexcenti, albis tunicis

κοὺς, ἐστεφανωμένοι οἱ μὲν κισσῷ, οἱ δὲ πίτυϊ· ὧν [1] διακόσιοι μὲν καὶ πεντήκοντα, χοεῖς εἶχον χρυσοῦς· τετρακόσιοι δὲ, ἀργυροῦς· ἕτεροι δὲ τριακόσιοι καὶ εἴκοσι, ψυκτήρια ἔφερον χρυσᾶ, οἱ δὲ ἀργυρᾶ. μεθ' οὓς ἄλλοι παῖδες ἔφερον κεράμια πρὸς τὴν τοῦ γλυκισμοῦ χρείαν· ὧν εἴκοσι μὲν ἦν χρυσᾶ, πεντήκοντα δὲ ἀρ-
b γυρᾶ, τριακόσια δὲ κεκηρογραφημένα χρώμασι παντοίοις. καὶ κερασθέντων ἐν ταῖς ὑδρίαις καὶ πίθοις, πάντες κοσμίως ἐγλυκάνθησαν οἱ ἐν τῷ σταδίῳ."

XXXI.

Alia mirabilia in Ptolemaei pompa.

Ἑξῆς τούτοις καταλέγει τετραπήχεις τραπέζας· ἐφ' ὧν πολλὰ θέας ἄξια, πολυτελῶς κατεσκευασμένα, περιήγετο θεάματα. „Ἐν οἷς καὶ ὁ τῆς Σεμέλης θάλαμος, ἐν ᾧ ἔχουσι χιτῶνας τινὲς διαχρύσους καὶ λιθοκολλήτους τῶν πολυτιμήτων. οὐκ ἄξιον δ' ἦν παραλιπεῖν τήνδε τὴν τετράκυκλον, μῆκος οὖσαν

1 Omisso pronomine ὧν, habet πιτυΐω ms. *A.* & πιτυΐνῳ edd. Dein διακοσ. δὲ καὶ edd.

vestiti, coronati alii hedera, alii pinea: quorum ducenti & quinquaginta ferebant congios aureos, quadringenti vero argenteos; alii vero trecenti & viginti, ferebant vasa refrigeratoria aurea, reliqui vero argentea. Post hos alii pueri lagenas gestabant ad gustandum mustum, viginti aureas, quinquaginta argenteas, trecentas vero ceris pictas, variis colorum generibus. Et liquore in has ex hydriis & doliis misto, modeste demulsi sunt omnes qui in stadio erant."

31. Posthaec commemorat idem auctor mensas quatuor cubitorum, super quibus multa visu digna pretiose elaborata circumferebantur spectacula. »In his erat *Semeles thalamus nuptialis*: in quo conspiciebantur signa tunicas induta auro & gemmis distincta pretiosissimis. Nec vero par erat praetermittere plaustri illius commemorationem, cuius longitudo cubitorum erat viginti

πηχῶν εἰκοσιδύο, πλάτος δεκατεσσάρων, ὑπὸ ἀνδρῶν ἑλκομένην πεντακοσίων· ἐφ' ἧς ἄντρον ἦν, βαθὺ καθ' c ὑπερβολὴν κισσῷ καὶ μιλίῳ.[1] ἐκ τούτου περιστεραὶ καὶ φάσσαι καὶ τρυγόνες καθ' ὅλην ἐξίπταντο τὴν ὁδὸν, λημνίσκοις τοὺς πόδας δεδεμέναι πρὸς τὸ ῥᾳδίως ὑπὸ τῶν θεωμένων ἁρπάζεσθαι. ἀνέβλυζον δὲ ἐξ αὐτοῦ καὶ κρουνοὶ δύο, ὁ μὲν γάλακτος, ὁ δὲ οἴνου. πᾶσαι δ' αἱ περὶ αὐτὸν[2] Νύμφαι στεφάνους εἶχον χρυσοῦς· ὁ δὲ Ἑρμῆς καὶ κηρύκειον χρυσοῦν, ἐσθῆτας δὲ πολυτελεῖς. Ἐπὶ δὲ ἄλλης τετρακύκλου, ἣ περιεῖχε τὴν ἐξ Ἰνδῶν κάθοδον Διονύσου, Διόνυσος ἦν d δωδεκάπηχυς, ἐπ' ἐλέφαντος κατακείμενος,[3] ἡμφιεσμένος πορφυρίδα, καὶ στέφανον κισσοῦ καὶ ἀμπέλου χρυσοῦν ἔχων, εἶχεν[4] ἐν ταῖς χερσὶ θυρσόλογχον χρυσοῦν· ὑπεδέδετο δὲ ἐμβάδας χρυσογρα-

1 μίλτῳ vulgo. 2 αὐτὸ malebam. 3 Addit χρυσοῦς ms. *Ep.* 4 καὶ pro εἶχεν desiderabam, aut εἶχεν δ' ἐν.

duorum, latitudo cubitorum quatuordecim; trahebatur autem ab hominibus quingentis. Super quo *antrum* erat mirum in modum hedera & taxo umbratum: e quo *columbae*, & palumbi & turtures per totam evolabant viam, fasciolis pedes ligati, quo facilius caperentur a spectatoribus. Ex eodem antro duo scaturiebant fontes; alter lac, vinum alter fundens. Nymphae autem omnes, quae Deo praesto sunt, [*sive*, quae circa antrum sunt,] coronas gestabant aureas; Mercurius vero etiam caduceum aureum, & vestes pretiosas. In alio plaustro, quo *reditus Bacchi ex India* continebatur, Bacchus erat duodecim cubitorum; [ex auro,] elephanto insidens, purpura vestitus, & corona ornatus aurea hederacea & pampinea, manibus thyrsum aureum tenens mucronatum, soleis calceatus auro pictis. Ante ipsum,

Φεῖς. [1] προεκάθητο δ' αὐτοῦ ἐπὶ τῷ τραχήλῳ τοῦ ἐλέφαντος σατυρίσκος πεντάπηχυς, ἐστεφανωμένος πίτυος στεφάνῳ χρυσῷ, τῇ δεξιᾷ χειρὶ αἰγείῳ κέρατι χρυσῷ σημαίνων. ὁ δὲ ἐλέφας σκευὴν εἶχε χρυσῆν, c καὶ περὶ τῷ τραχήλῳ κίσσινον χρυσοῦν στέφανον. Ἠκολούθουν δὲ τούτῳ παιδίσκαι πεντακόσιαι, κεκοσμημέναι χιτῶσι πορφυροῖς, χρυσῷ διεζωσμέναι. ἐστεφάνωντο δὲ αἱ μὲν ἡγούμεναι ἑκατὸν εἴκοσι, χρυσοῖς πιτυΐνοις στεφάνοις. Ἠκολούθουν δὲ αὐταῖς Σάτυροι ἑκατὸν εἴκοσι, πανοπλίας, οἱ μὲν ἀργυρᾶς, οἱ δὲ χαλκᾶς ἔχοντες. Μετὰ δὲ τούτους ἐπορεύοντο ὄνων ἴλαι πέντε, ἐφ' ὧν ἦσαν Σιληνοὶ [2] καὶ Σάτυροι ἐστεφανωμένοι. τῶν δὲ ὄνων οἱ μὲν χρυσᾶς, οἱ δὲ ἀργυρᾶς προμετωπίδας καὶ σκευασίας εἶχον."

f „Μετὰ δὲ τούτους ἐλεφάντων ἅρματα ἀφείθη εἰκοσιτέσσαρα, καὶ συνωρίδες τράγων ἑξήκοντα, κώ- XXXII.

1 χρυσοβαφεῖς edd. 2 Constanter Σειληνοὶ edd. invitis mss̄tis.

collo elephanti insidebat Satyriscus quinquecubitalis, coronatus corona pinea ex auro, dextrâ vero caprinum cornu tenens, quasi signum daret. Aureus elephanti ornatus erat; & collum coronâ hederaceâ ex auro cinctum. Sequebantur hunc puellae quingentae, purpureis ornatae tunicis, & auro cinctae: coronatae autem erant centum & viginti, quae caeteris praeibant, pineis coronis aureis. Has sequebantur Satyri centum & viginti, toto corpore armati, argenteis alii armis, alii aeneis. Post hos incedebant asinorum turmae quinque, quibus insidebant Sileni Satyrique coronati. Asinorum alii frontalia reliquumque ornatum ex auro habebant, alii ex argento. «

32. »Post hos prodierunt *elephantorum* currus viginti quatuor; & caprorum bigae sexaginta; *colorum* [e cer-

Rarae animantes, & alia pretiosa.

λων δεκαδύο, ὀρύγων ἑπτὰ, βουβάλων δεκαπέντε, στρουθῶν συνωρίδες ὀκτὼ, ὀνελάφων [1] ἑπτὰ, καὶ συνωρίδες τέσσαρες ὄνων ἀγρίων, ἅρματα τέσσαρα. ἐπὶ δὲ πάντων τούτων ἀναβεβήκει παιδάρια, χιτῶνας ἔχοντα ἡνιοχικοὺς, καὶ πετάσους. παραναβεβήκει δὲ παιδισκάρια, διεσκευασμένα πελταρίοις καὶ θυρσολόγχοις, κεκοσμημένα ἱματίοις καὶ χρυσίοις. ἐστεφάνωτο δὲ τὰ μὲν ἡνιοχοῦντα παιδάρια πίτυϊ, τὰ δὲ παιδισκάρια κισσῷ. ἐπῆσαν δὲ συνωρίδες καμήλων ἐξ ἑκατέρου μέρους τρεῖς· αἷς ἐπηκολούθουν ἁπῆναι ὑφ' α ἡμιόνων ἀγόμεναι. αὗται δ' εἶχον σκηνὰς βαρβαρικὰς, ἐφ' ὧν ἐκάθηντο γυναῖκες Ἰνδαὶ καὶ ἕτεραι, κεκοσμημέναι ὡς αἰχμάλωτοι. κάμηλοι δ' αἱ μὲν [2] ἔφερον λιβανωτοῦ μνᾶς τριακοσίας, σμύρνης τριακοσίας, [3] κρόκου καὶ κασίας καὶ κιναμώμου καὶ ἴριδος [4] καὶ τῶν λοιπῶν ἀρωμάτων διακοσίας. Ἐχόμε-

1 ἐλάφων ed. Baſ. & ſeqq. 2 Forſ. κάμηλοι δ' ἄλλαι. 3 Deſunt duo verba edd. 4 εἴριδος vulgo.

vino genere animans eſt] duodecim; orygum ſeptem; bubalorum quindecim; ſtruthionum bigae octo; *onelaphorum* ſeptem; & aſinorum ſylveſtrium bigae quatuor, totidemque quadrigae. Quibus omnibus inſidebant pueruli, aurigarum habitu, petaſati: iuxta illos ſedebant puelli minores, pelta armati & thyrſo mucronato, eleganti veſtitu, & multo auro ornati: ac coronati quidem erant aurigantes pueri pineis coronis; puelli comites, hederaceis. Sequebantur bigae camelorum ab utraque parte tres: quas excipiebant carpenta a mulis tracta. His impoſita erant tentoria barbarica, in quibus ſedebant mulieres Indicae aliaeque, captivarum habitu. Cameli [deinde alii] portabant thuris libras trecentas, myrrhae trecentas; croci, & caſſiae, & cinnamomi & iridis & aliorum aromatum, ducentas. Proxime ſeque-

νοι τούτων ἦσαν Αἰθίοπες δωροφόροι, ὧν οἱ μὲν ἔφερον ὀδόντας ἑξακοσίους, ἕτεροι δὲ ἐβένου κορμοὺς δισχιλίους, [1] ἄλλοι χρυσοῦς καὶ ἀργυροῦς [2] κρατῆρας ἑξήκοντα, καὶ ψήγματα χρυσίου. Μεθ' οὓς ἐπόμπευσαν κυνηγοὶ δύο, [3] ἔχοντες σιβύνας ἐπιχρύσους. ἤγοντο δὲ καὶ κύνες δισχίλιοι τετρακόσιοι· οἱ μὲν Ἰνδοὶ, οἱ λοιποὶ δὲ Ὑρκανοὶ, καὶ Μολοσσοὶ, καὶ ἑτέρων γενῶν. Ἑξῆς ἄνδρες ἑκατὸν πεντήκοντα, φέροντες δένδρα, ἐξ ὧν ἀνήρτητο θηρία παντοδαπὰ καὶ ὄρνεα. εἶτ' ἐφέροντο ἐν ἀγγείοις ψιττακοὶ, καὶ ταῶες, καὶ μελεαγρίδες, καὶ Φασιανοὶ ὄρνιθες, καὶ ἄλλαι Αἰθιοπικαὶ, [4] πλήθει πολλαί." Εἰπὼν δὲ καὶ ἄλλα πλεῖστα, καὶ καταλέξας ζώων ἀγέλας, ἐπιφέρει· „Πρόβατα Αἰθιοπικὰ ἑκατὸν τριάκοντα, Ἀράβια τριακόσια, Εὐβοϊκὰ εἴκοσι, [5] κόλοι λευκοὶ, [6] βόες Ἰνδι-

1 διακοσίους ms. *Epit.* 2 χρυσοῦ καὶ ἀργυρίου edd. 3 Numerus iusto minor. 4 ἄλλοι Αἰθιοπικοὶ ms. *A.* 5 Videtur pars numeri intercidisse. 6 κολοι absque accentu habet ms. *A.* κω-

bantur Aethiopes dona ferentes: quorum alii gestabant dentes elephantorum sexcentas; alii, stipitum ebeni duo millia; [*sive*, stipites ducentos;] alii, aureos & argenteos crateras sexaginta, & ramenta auri. Tum procedebant venatores duo, [*forte*, bis mille,] venabula gestantes inaurata. Ducebantur vero etiam canes bis mille quadringenti: alii Indici, caeteri Hyrcani, Molossi, & aliorum generum. Deinde viri centum & quinquaginta gestabant arbores, quibus adligatae erant ferae omnis generis & aves. Tum ferebantur, in caveis, psittaci, & pavones, & meleagrides, & phasiani, & aliae aves Aethiopicae, ingenti copia. « Alia insuper plurima postquam enarravit idem auctor, gregesque multos commemoravit animalium, haec subiungit: » Oves Aethiopicae centum & triginta, Arabicae trecentae, Euboicae [*] viginti, coli albi [duodecim,] boves Indici vi-

καὶ εἴκοσι ἓξ, Αἰθιοπικοὶ ὀκτὼ, ἄρκτος μὲν λευκὴ μεγάλη μία, παρδάλεις δεκατέσσαρες, πάνθηρες [1] δεκαὲξ, λυγκία τέσσαρα, ἄρκηλοι [2] τρεῖς, καμηλοπάρδαλις μία, ῥινόκερως Αἰθιοπικὸς εἷς."

XXXIII. Reliqua Bacchicae pompae fercula.

„Ἑξῆς ἐπὶ τετρακύκλου Διόνυσος περὶ τὸν τῆς Ῥέας βωμὸν καταπεφευγὼς, ὅτε ὑπὸ Ἥρας ἐδιώκετο, στέφανον ἔχων χρυσοῦν, Πριάπου αὐτῷ παρεστῶτος ἐστεφανωμένου χρυσῷ κισσίνῳ. τὸ δὲ τῆς Ἥρας ἄγαλμα στεφάνην εἶχε χρυσῆν. Ἀλεξάνδρου δὲ καὶ Πτολεμαίου ἀγάλματα ἐστεφανωμένα στεφάνοις κισσίνοις ἐκ χρυσοῦ. τὸ δὲ τῆς Ἀρετῆς ἄγαλμα, τὸ παρεστὸς τῷ Πτολεμαίῳ, στέφανον εἶχεν ἐλαίας χρυσοῦν. καὶ Πρίαπος δ' αὐτοῖς συμπαρῆν, ἔχων στέφανον κίσσινον [3] ἐκ χρυσοῦ. Κόρινθος δ' ἡ πόλις, παρεστῶσα τῷ Πτολεμαίῳ, ἐστεφάνωτο δια- d

λοι edd. vett. commode; ſed una voce χωλοίλευκοι, ut ſint χωλοίλευκοι βόες. Nec enim ante βόες diſtinguunt libri. Intercidit autem poſt κόλοι (vel κῶλοι) λευκοὶ numerus, ιβ' fortaſſe. καὶ ὅλοι λευκοὶ βόες edidit Caſaubonus, ſcriptam lectionem teſtatus. 1 πάνθηροι edd. cum ms. *A*. 2 ἄρκιλοι corr. Caſaub. 3 κισσὸν vulgo.

ginti ſex, Aethiopici octo, urſus albus ingentis ſtaturae unus, pardales quatuordecim, pantherae ſedecim, lynces quatuor, *arceli* [ex pardalium genere] tres, *camelopardalis* una, rhinoceros Aethiopicus unus.«

33. »Deinde ſuper plauſtro cernebatur *Bacchus ad Rheae aram confugiens*, cum eum Iuno perſequeretur: aurea corona cinctus erat, adſtabatque ei Priapus, hederacea corona ex auro coronatus. Iunonis vero ſimulacrum limbum habebat aureum. *Alexandri* vero & *Ptolemaei* ſigna coronis hederaceis ex auro erant redimita: Virtutis ſignum vero, adſtans Ptolemaeo, coronam habebat oleagineam ex auro. Et cum his quoque Priapus aderat, corona hederacea ex auro cinctus. Corinthus vero civitas, Ptolemaeo adſtans, diademate aureo redimita

δήματι χρυσῷ. παρέκειντο δὲ πᾶσι τούτοις κυλικεῖον [1]
μεστὸν χρυσωμάτων, κρατήρ τε χρυσοῦς μετρητῶν
πέντε. Τῇ δὲ τετρακύκλῳ ταύτῃ ἠκολούθουν γυναῖ-
e κες, ἔχουσαι ἱμάτια πολυτελῆ καὶ κόσμον· προση-
γορεύοντο δὲ πόλεις, αἵ τε ἀπ' Ἰωνίας, καὶ λοιπαὶ
Ἑλληνίδες, ὅσαι τὴν Ἀσίαν καὶ τὰς νήσους κατοι-
κοῦσαι ὑπὸ τοὺς Πέρσας ἐτάχθησαν· ἐφόρουν δὲ πᾶ-
σαι στεφάνους χρυσοῦς. Ἐφέρετο καὶ ἐπ' ἄλλων τε-
τρακύκλων, θύρσος ἐνενηκοντάπηχυς χρυσοῦς, καὶ
λόγχη ἀργυρᾶ ἑξηκοντάπηχυς· καὶ ἐν ἄλλῃ, φαλ-
λὸς χρυσοῦς, πηχῶν ἑκατὸν εἴκοσι, διαγεγραμμένος,
καὶ διαδεδεμένος στέμμασι διαχρύσοις· ἔχων ἐπ' ἄκρου
ἀστέρα χρυσοῦν, οὗ ἦν ἡ περίμετρος πηχῶν ἕξ."

„Πολλῶν οὖν καὶ ποικίλων εἰρημένων ἐν ταῖς πομ-
f παῖς ταύταις, μόνα ἐξελεξάμεθα, ἐν οἷς ἦν χρυσὸς
καὶ ἄργυρος. καὶ γὰρ διαθέσεις πολλαὶ ἀκοῆς ἦσαν

1 Rurſus κυλίκιον vulgo.

erat. In eodem cum his omnibus vehiculo locatum erat poculorum repoſitorium, vaſis aureis onuſtum; & crater aureus, quinque capiens metretas. Hoc vehiculum ſequebantur mulieres, pretioſis veſtibus reliquoque cultu ornatae: his nomina erant civitatum, partim Ionicarum, partim aliarum Graecarum, quotquot vel Aſiam vel inſulas incolentes Perſis paruerant: erant autem omnes aureis coronis redimitae. Transvehebantur porro aliis vehiculis Thyrſus aureus nonaginta cubitorum, & lancea argentea cubitorum ſexaginta. Et in alio, Phallus aureus cubitorum centum & viginti, varie pictus, & ſertis revinctus auro diſtinctis: in vertice ſtellam habebat, cuius circumferentia ſex cubitorum. «

» Tam multa igitur, tamque varia quum in his pompis commemoraverimus, ea ſola ſelegimus in quibus aurum erat aut argentum. Erant enim etiam alii multi ad-

ἄξιαι, καὶ θηρίων πλήθη καὶ ἵππων, καὶ λέοντες παμμεγέθεις εἴκοσι καὶ τέσσαρες. ἦσαν δὲ καὶ ἄλλαι τετράκυκλοι, οὐ μόνον εἰκόνας βασιλέων φέρουσαι, ἀλλὰ καὶ θεῶν, πολλαί. Μεθ' ἃς χορὸς ἐπόμπευσεν ἀνδρῶν ἐξακοσίων· ἐν οἷς κιθαρισταὶ συνεφώνουν τριακόσιοι, ἐπιχρύσους ἔχοντες ὅλας κιθάρας, καὶ στεφάνους χρυσοῦς. μεθ' οὓς ταῦροι δισχίλιοι a ὁμοιοχρώματοι, χρυσοκέρῳ, προμετωπίδας χρυσᾶς, καὶ ἀνὰ μέσον στεφάνους, ὅρμους τε καὶ αἰγίδας πρὸ τῶν στηθῶν ἔχοντες· ἦν δ' ἅπαντα ταῦτα χρυσᾶ."

XXXIV. Pompa Iovis & Alexandri.

„Καὶ μετὰ ταῦτα Διὸς ἦγετο πομπή, καὶ ἄλλων παμπόλλων θεῶν· καὶ ἐπὶ πᾶσιν Ἀλεξάνδρου, ὃς ἐφ' ἅρματος ἐλεφάντων ἀληθινῶν [1] ἐφέρετο χρυσοῦς, Νίκην καὶ Ἀθηνᾶν ἐξ ἑκατέρου μέρους ἔχων. ἐπόμπευσαν δὲ καὶ θρόνοι πολλοὶ ἐξ ἐλέφαντος καὶ χρυσοῦ κατεσκευασμένοι· ὧν ἐφ' ἑνὸς ἔκειτο στεφάνη

1 ἀληθινᾶς malim cum Caſ. *vere aureus, ex ſolido auro.*

paratus memoratu digni, & animalium multitudo, & equorum, & leones eximiae ſtaturae viginti quatuor. Erant vero & alia plauſtra, non modo regum imagines, ſed & Deorum vehentia, bene multa. Poſt quae chorus progrediebatur virorum ſexcentorum: in quibus citharistae trecenti concinebant, totas inauratas habentes citharas, & coronas aureas. Poſt hos transiere tauri bis mille, colore ſimiles, cornibus inauratis, cum frontalibus aureis, & coronis inter cornua, & torquibus, & aegidibus ante pectora, cunctis aureis. «

34. » Poſt iſta ducebatur *Iovis pompa*, aliorumque plurimorum Deorum: & poſtrema omnium *Alexandri*, qui totus ex [ſolido] auro transvehebatur curru, quem veri [?] trahebant elephanti: a latere utrimque adſtabant ei Victoria & Minerva. Transvehebantur etiam ſellae multae ex ebore & auro fabrefactae: quarum ſu-

b χρυσῆ, ἐπ' ἄλλου δίκερας [1] χρυσοῦν, ἐπ' ἄλλου δὲ ἦν στέφανος χρυσοῦς, καὶ ἐπ' ἄλλου δὲ κέρας ὁλόχρυσον. ἐπὶ δὲ τὸν Πτολεμαίου τοῦ Σωτῆρος θρόνον στέφανος ἐπέκειτο ἐκ μυρίων κατεσκευασμένος χρυσῶν. ἐπόμπευσε δὲ καὶ θυμιατήρια χρυσᾶ τριακόσια καὶ πεντήκοντα, καὶ βωμοὶ δὲ ἐπίχρυσοι, [2] ἐστεφανωμένοι χρυσοῖς στεφάνοις· ὧν ἐνὶ παρεπεπήγεσαν δᾷδες χρυσαῖ δεκαπήχεις τέσσαρες. ἐπόμπευσαν δὲ καὶ ἐσχάραι ἐπίχρυσοι δώδεκα· ὧν ἡ μὲν δωδεκάπηχυς τῇ περιμέτρῳ, τεσσαρακοντάπηχυς ὕψει· [3] ἡ δὲ πηχῶν δεκαπέντε. ἐπόμπευσαν δὲ καὶ Δελφικοὶ τρί-
c ποδες χρυσοῖ ἐννέα, ἐκ [4] πηχῶν τεσσάρων· ἄλλοι ἐκτὼ, πηχῶν ἕξ· ἄλλος πηχῶν τριάκοντα, ἐφ' οὗ ἦν

1 δ' ἦν κέρας habent duae posteriores editiones quae Casauboni nomen praeferunt. δὴ κέρας editiones superiores. Nude κέρας ms. *Epit.* δικερας ms. *A.* absque accentu. 2 καὶ πεντήκοντα βωμοὶ ἐπίχρ. legit Dalech. Forſ. καὶ βωμοὶ δ'. ἐπιχρ. 3 Si caetera in his ſana, numeri utique turbati videntur. Forſan δύο oportebat pro δώδεκα: dein vide, ne nimius ſit numerus τεσσαράκοντα. 4 Abundat ἐκ, niſi fortaſſe ἕκαστος oportuit.

per una poſitus erat aureus limbus; ſuper alia, duplex cornu aureum; ſuper alia, corona aurea; ſuper alia, cornu ex ſolido auro totum. Super *Ptolemaei* vero *Soteris* ſella poſita corona erat ex aureis decies mille fabrefacta. Delata ſunt quoque thuribula aurea trecenta & quinquaginta; & arae auro obductae, impoſitis aureis coronis: in earum ararum una firmatae erant faces quatuor aureae, cubitorum decem. Producti ſunt etiam foci auro obducti duodecim: quorum unus perimetrum habebat cubitorum duodecim, altitudinem quadraginta cubitorum: alius, quindecim cubitos in ambitu habebat. Transferebantur porro Delphici tripodes aurei novem, quilibet quatuor cubitorum; alii octo, cubitorum ſex; unus, triginta cubitorum, ſuper quo

ζῶα χρυσᾶ πενταπήχη, καὶ στέφανος κύκλῳ χρυσοῦς ἀμπέλινος. Παρῆλθον δὲ καὶ φοίνικες ἐπίχρυσοι ὀκταπήχεις [1] ἑπτὰ, καὶ κηρύκειον ἐπίχρυσον πηχῶν τεσσαράκοντα πέντε, καὶ κεραυνὸς ἐπίχρυσος πηχῶν τεσσαράκοντα, ναός τε ἐπίχρυσος, οὗ ἡ περίμετρος πηχῶν τεσσαράκοντα· δίκεραι πρὸς τούτοις ὀκτάπηχυ. Πολὺ δὲ καὶ ζώων πλῆθος ἐπιχρύσων συνεπόμπευεν, ὧν ἦν τὰ πολλὰ δωδεκαπήχη· καὶ θηρία ὑπεράγοντα τοῖς μεγέθεσι, καὶ ἀετοὶ πηχῶν εἴκοσι. d Στέφανοί τε χρυσοῖ ἐπόμπευσαν τρισχίλιοι διακόσιοι· ἕτερός τε μυστικὸς, χρυσοῦς, λίθοις πολυτελέσι κεκοσμημένος, ὀγδοηκοντάπηχυς· οὗτος δὲ περιετίθετο τῷ τοῦ Βερενικείου θυρώματι, αἰγίς τε ὁμοίως χρυσῆ. ἐπόμπευσαν δὲ καὶ στεφάναι χρυσαῖ πάνυ πολλαὶ, ἃς ἔφερον παιδίσκαι πολυτελῶς κεκοσμημέναι·

1 An ὀγδοηκοντάπηχεις? LXXX *cubitorum.*

exſtabant figurae aureae quinquecubitales, & cingebat eum corona pampinea ex auro. Praetervehebantur porro palmae arbores octocubitales inauratae ſeptem; & caduceus inauratus, cubitorum quadraginta quinque; fulmen inauratum, quadraginta cubitorum; & aedicula auro obducta, quadraginta cubitorum in circuitu: ad haec, duplex cornu octo cubitorum. Ferebatur praeterea ſimulacrorum auro obductorum magna multitudo, quorum pleraque duodecim cubitorum; & animantia immanis magnitudinis, & aquilae viginti cubitorum. Tum coronae aureae deferebantur ter mille ducentae: & alia *myſtica corona* aurea, pretioſis lapidibus ornata, octoginta cubitorum; (haec fuit, qua cincta erat porta aedis Berenicae;) & *aegis*, pariter aurea. Deferebantur item limbi aurei magno admodum numero, quos geſtabant puellae pretioſe ornatae: eorum unus

ὧν μία δίπηχυς εἰς ὕψος, τὴν δὲ περίμετρον ἔχουσα ἑκκαίδεκα πηχῶν. Ἐπόμπευσε δὲ καὶ θώραξ χρυ-
e σοῦς πηχῶν δώδεκα, καὶ ἕτερος ἀργυροῦς πηχῶν ὀκτωκαίδεκα, [1] ἔχων ἐφ' ἑαυτὸν κεραυνοὺς χρυσοῦς δεκαπήχεις [2] δύο, καὶ στέφανον δρυὸς διάλιθον· ἀσπίδες χρυσαῖ εἴκοσι, πανοπλίαι χρυσαῖ ἑξήκοντα τέσσαρες, κνημῖδες χρυσαῖ τριπήχεις δύο, λεκάναι χρυσαῖ δυοκαίδεκα, [3] φιάλαι πολλαὶ πάνυ τὸν ἀριθμὸν, οἰνοχόαι τριάκοντα ἓξ, ἄλειπτρα μεγάλα δέκα, ὑδρίαι δώδεκα, μαζονόμια πεντήκοντα, τράπεζαι διάφοροι, κυλικεῖα [4] χρυσωμάτων πέντε, κέρας ὁλόχρυσον πη-
f χῶν τριάκοντα. Ταῦτα δὲ τὰ χρυσώματα ἐκτὸς ἦν τῶν ἐν τῇ τοῦ Διονύσου πομπῇ διενεχθέντων. Εἶτ' ἀργυρωμάτων ἅμαξαι τετρακόσιαι, καὶ χρυσωμάτων εἴκοσι, ἀρωμάτων δὲ ὀκτακόσιαι."

1 ἐννέα ante ἔχων inserit ms. *A.* 2 δωδεκαπήχεις edd. 3 δεκαδύο ms. *A.* & sic rursus paucis interiectis, ubi δώδεκα edd. 4 Rursus κυλίκια vulgo.

erat, cuius altitudo duorum cubitorum, ambitus cubitorum sedecim. Lorica etiam cernebatur aurea, duodecim cubitorum: & alia argentea, cubitorum octodecim; [*sive*, novemdecim,] super qua erant fulmina aurea duo decemcubitalia, & corona querna gemmis distincta. Tum clypei aurei viginti; totius corporis armaturae aureae sexaginta quatuor; ocreae aureae trium cubitorum duae; pelves aureae duodecim; phialarum ingens multitudo; gutti vinarii triginta sex; unguentaria vasa magna decem; hydriae duodecim; mazonomia quinquaginta; mensae diversi generis; calicum aureorum repositoria quinque; cornu, totum ex auro, cubitorum triginta. Erant autem aurea ista vasa praeter illa, quae in Bacchi pompa delata sunt. Deinde sequebantur adhuc plaustra vasorum argenteorum quadringenta, & aureorum vasorum viginti, aromatum vero octingenta. «

XXXV. Copiae militares; & alia.

„Ἐπὶ δὲ πᾶσιν ἐπόμπευσαν αἱ δυνάμεις αἱ ἱππικαὶ καὶ πεζικαὶ, πᾶσαι καθωπλισμέναι θαυμασίως. πεζοὶ μὲν ἑξ πέντε μυριάδας καὶ ἑπτακισχιλίους καὶ ἑξακοσίους· ἱππεῖς δὲ δισμύριοι τρισχίλιοι διακόσιοι. πάντες δ' οὗτοι ἐπόμπευσαν, τὴν ἁρμόζουσαν ἑκάστῳ ἠμφιεσμένοι στολὴν, καὶ τὰς προσηκούσας ἔχοντες πανοπλίας. ἐκτὸς δ' ὧν πάντες οὗτοι εἶχον πανοπλιῶν, καὶ ἄλλαι πλεῖσται ἦσαν ἀποκείμεναι, ὧν οὐδὲ τὸν ἀριθμὸν ἀναγράψαι ῥᾴδιον." (κατέλεξε δ' αὐτὸν ὁ Καλλίξενος.) „Ἐπεστεφανώθησαν δ' ἐν τῷ ἀγῶνι καὶ στεφάνοις χρυσοῖς εἴκοσι· [1] Πτολεμαῖος δὲ ὁ πρῶτος καὶ Βερενίκη εἴκοσι τρισὶν, ἐφ' ἁρμάτων χρυσῶν, καὶ τεμένεσιν ἐν Δωδώνῃ. καὶ ἐγένετο δαπάνημα τοῦ νομίσματος, τάλαντα δισχίλια διακόσια τριακονταεννέα, μναῖ πεντήκοντα· καὶ ταῦτ'

a

b

1 Haec & quae hinc ſequuntur, nec ſatis emendata, nec integra eſſe videntur.

35. » Poſt iſta omnia in pompa procedebant *copiae* & *equeſtres* & *pedeſtres*, admirabilem in modum omnes armatae. Erat autem peditum numerus centum quinquaginta ſeptem millium & ſexcentorum: equitum vero numerus, viginti trium millium & ducentorum. Hi igitur omnes prodibant, congruente cuique generi veſte induti, & conveniente totius corporis armatura tecti. Praeter armaturas vero, quibus omnes induti erant, plurimae aliae in horreis erant repoſitae; quarum difficile eſt numerum inire.« (Iniit tamen eum Callixenus.) »Coronati vero ſunt in certamine etiam coronis aureis viginti: Ptolemaeus vero primus & Berenice viginti tribus, ſuper curribus aureis, & delubris Dodonae. Et fuit impenſa pecuniae, talenta bis mille ducenta triginta novem, minae quinquaginta: & haec

ἠριθμήθη πάντα παρὰ τοῖς οἰκονόμοις, διὰ τὴν τῶν στεφανούντων προθυμίαν, πρὸ τοῦ τὰς θέας παρελθεῖν. ὁ δὲ Φιλάδελφος Πτολεμαῖος, υἱὸς αὐτῶν, εἴκοσι χρυσαῖς· δυσὶ μὲν ἐφ' ἁρμάτων χρυσῶν, ἐπὶ δὲ κιόνων [1] ἑξαπήχει μιᾷ, πενταπήχεσι πέντε, τετραπήχεσιν ἕξ." XXXVI.

Ποῖα οὖν, ἄνδρες δαιτυμόνες, βασιλεία οὕτως γέγονε πολύχρυσος; οὐ γὰρ τὰ ἐκ Περσῶν καὶ Βα- Nilus, fons divitiarum Aegypti.
c βυλῶνος λαβοῦσα χρήματα, ἢ μέταλλα ἐργασαμένη, ἢ Πακτωλὸν ἔχουσα, χρυσοῦν ψῆγμα καταφέροντα. μόνος γὰρ, ὡς ἀληθῶς ὁ Χρυσορρόας καλούμενος, Νεῖλος μετὰ τροφῶν ἀφθόνων καὶ χρυσὸν ἀκίβδηλον καταφέρει, ἀκινδύνως γεωργούμενον, ὡς πᾶσιν ἐξαρκεῖν ἀνθρώποις, δίκην Τριπτολέμου πεμπόμενον εἰς πᾶσαν γῆν. διόπερ αὐτὸν καὶ ὁ Βυζάντιος ποιητὴς Παρμένων ἐπικαλούμενος, Αἰγύπτιε Ζεῦ,

1 ἡμιόνων legendum censuit Villebr.

omnia numerata sunt apud administratores fisci, propter coronantium studium, priusquam finita essent spectacula. Philadelphus vero Ptolemaeus, filius illorum, viginti aureis coronis: duabus quidem super curribus aureis; in columnis vero, sexcubitali una, quinquecubitalibus quinque, quatricubitalibus sex. «

36. Quodnam igitur regnum, viri convivae, tantam auri possedit copiam? Neque vero (hanc eo possedit Aegyptus,) quod ex Persis & ex Babylone pecunias acceperit, aut quod metalla exercuerit, aut quod Pactolum haberet, auri ramenta deferentem. Nam, qui vere *Chrysorrhoas* nominari potest, *Nilus* cum alimentorum abundantia aurum etiam minime adulterinum defert; quod sine periculo e soli cultura colligitur tantâ copiâ, ut omnibus hominibus sufficiat, instar Triptolemi per totam terram dimissum. Quare illum etiam Byzantius poëta, cui Parmenoni nomen, *Aegyptie Iu-*

Claſſes Ptolemaei Philadelphi.

φησὶ, Νεῖλε. Πολλῶν δὲ ὁ Φιλάδελφος βασιλέων πλούτῳ διέφερε· καὶ περὶ πάντα ἐσπουδάκει τὰ κατασκευάσματα Φιλοτίμως, ὥστε καὶ πλοίων d πλήθει πάντας ὑπερέβαλλεν. Τὰ γοῦν μέγιστα τῶν πλοίων ἦν παρ' αὐτῷ, τριακοντήρεις δύο, εἰκοσήρης μία, τέσσαρες δὲ τρισκαιδεκήρεις, δωδεκήρεις δύο, ἑνδεκήρεις δεκατέσσαρες, ἐννήρεις τριάκοντα, ἑπτήρεις τριάκοντα ἑπτὰ, ἑξήρεις πέντε, πεντήρεις ἑπταικαίδεκα. [1] τὰ δ' ἀπὸ τετρήρους μέχρι τριημιολίας, διπλάσια τούτων. τὰ δ' εἰς τὰς νήσους πεμπόμενα, καὶ τὰς ἄλλας πόλεις ὧν ἦρχε, καὶ τὴν Λιβύην, [2] πλείονα ἦν τῶν τετρακισχιλίων. Περὶ δὲ βιβλίων e πλήθους καὶ βιβλιοθηκῶν κατασκευῆς, καὶ τῆς εἰς τὸ Μουσεῖον συναγωγῆς, τί δεῖ καὶ λέγειν; πᾶσι τούτων ὄντων κατὰ μνήμην.

1 δεκαεπτα mſ. Ven. inſolentiori forma. Intercidit autem, puto, numerus centenarius, forſan υ'. id eſt τετρακόσια, ut fuerint *penteres* CDXVII. 2 Λυχίην ed. Caſaub.

piter, ait, *Nile!* Multos vero reges Philadelphus divitiis antecelluit; idemque ſingulari ſtudio omnia artis opera proſecutus eſt, ut etiam *navium* multitudine omnes ſuperarit. Igitur maximae apud eum naves erant, triginta ordinum, duae; viginti ordinum, una; quatuor, ordinum tredecim; duae, duodecim ordinum; quatuordecim, ordinum undecim; hepteres, triginta ſeptem; hexeres, quinque; quinqueremes, ſeptemdecim. A quadriremi vero usque ad hemiolia numerus duplo iſtis maior erat. Quae vero in inſulas emittebantur, & in alias quibus imperavit civitates, & in Africam, ſuper quatuor millia erant. De librorum autem multitudine & de Bibliothecae adparatu, & de conventu in Muſeo, quid opus eſt verba facere, cum in hominum memoria haec omnia verſentur?

Ἐπεὶ δὲ περὶ νεῶν κατασκευῆς εἰρήκαμεν, φέρ' εἴπωμεν (ἀκοῆς γάρ ἐστιν ἄξια) καὶ τὰ ὑπὸ τοῦ Φιλοπάτορος βασιλέως κατεσκευασμένα σκάφη. περὶ ὧν ὁ αὐτὸς Καλλίξενος ἱστορεῖ ἐν τῷ πρώτῳ περὶ Ἀλεξανδρείας, οὑτωσὶ λέγων· „Τὴν τεσσαρακοντήρη ναῦν κατεσκεύασεν ὁ Φιλοπάτωρ, τὸ μῆκος ἔχουσαν διακοσίων ὀγδοήκοντα πηχῶν, ὀκτὼ δὲ καὶ τριάκοντα ἀπὸ παρόδου ἐπὶ πάροδον· ὕψος δὲ, ἕως ἀκροστολίου, τεσσαράκοντα ὀκτὼ πηχῶν. ἀπὸ δὲ τῶν πρυμνητικῶν ἀφλάστων ἐπὶ τὸ πρὸς [1] τῇ θαλάσσῃ μέρος αὐτῆς, τρεῖς πρὸς τοῖς πεντήκοντα πήχεις. πηδάλια δ' εἶχε τέτταρα, τριακονταπήχη· κώπας δὲ θρανιτικὰς ὀκτὼ καὶ τριάκοντα [2] πηχῶν τὰς μεγίστας, αἳ, διὰ τὸ μόλυβδον ἔχειν ἐν τοῖς ἐγχειριδίοις, καὶ γεγονέναι λίαν εἴσω βαρεῖαι κατὰ τὴν ζύγωσιν εὑρεῖς ὑπῆρχον ἐπὶ τῆς χρείας. δίπρωρος δ' ἐγεγόνει

XXXVII. Navis tessaraconteres Ptolemaei Philopatoris.

1 Deest πρὸς edd. & ms. *A.* 2 Excidit puto centenarius numerus.

37. Sed quoniam de Navium conſtructione diximus, age dicamus etiam (nam ſcitu digna res eſt) de *Navigiis a Philopatore rege conſtructis.* De quibus idem CALLIXENUS, primo DE Alexandria libro, his verbis expoſuit. » Quadraginta ordinum navem conſtruxit Philopator, longitudinem habentem cubitorum ducentorum & octoginta, octo vero & triginta ab uno latere ad alterum. Altitudo autem, usque ad prorae ſummitatem, cubitorum erat quadraginta octo: ab apluſtri vero in puppi, usque ad partem quae mare attingit, cubiti erant quinquaginta. Gubernacula habebat quatuor, cubitorum triginta: remos ſuperioris ordinis [centum &] triginta octo cubitorum maximos; qui, quod plumbum haberent in manubriis, & admodum graves eſſent intra navem ſecundum leges aequilibrii, tractatu faciles erant in ipſo uſu. Habebat autem duas proras, duasque pup-

καὶ δίπρυμνος, καὶ ἔμβολα εἶχεν ἑπτά· τούτων ἓν μὲν ἡγούμενον, τὰ δ' ὑποστέλλοντα· τινὰ δὲ κατὰ τὰς ἐπωτίδας. ὑποζώματα δὲ ἐλάμβανε δώδεκα· ἑξακοσίων δ' ἦν ἕκαστον πηχῶν. Εὔρυθμος δ' ἦν καθ' ὑπερβολήν· θαυμαστὸς δ' ἦν καὶ ὁ ἄλλος κόσμος τῆς νεώς. ζῶα μὲν γὰρ εἶχεν οὐκ ἐλάττω δώδεκα πηχῶν κατὰ πρύμναν τε καὶ πρῶραν· καὶ πᾶς τό- b
πος αὐτῆς κηρογραφίᾳ κατεπεποίκιλτο· τὸ δὲ ἔγκωπον ἅπαν μέχρι τῆς τρόπεως κισσίνην φυλλάδα καὶ θύρσους εἶχε περιξ. πολὺς δ' ἦν καὶ ὁ τῶν ὅπλων κόσμος. ἀνεπλήρου δὲ τὰ προσδεόμενα [1] τῆς νεὼς μέρη. Γενομένης δὲ ἀναπείρας, ἐδέξατο ἐρέτας πλείους τῶν τετρακισχιλίων· εἰς δὲ τὰς ὑπηρεσίας, τετρακοσίους· εἰς δὲ τὸ κατάστρωμα ἐπιβάτας τρισχιλίους, ἀποδέοντας ἑκατὸν καὶ πεντήκοντα· καὶ χωρὶς

1 ἀεὶ insertum maluerat Casaub.

pes: rostra vero septem, quorum unum longius, reliqua gradatim breviora; nonnulla etiam ex auriculis navis eminebant. Hypozomata [*quasi* subligacula *diceres*] habebat duodecim; quorum quodque erat sexcentorum cubitorum. Erat autem mira totius structurae concinnitas, aptaque dimensionis proportio: & admirabilis reliquus navis ornatus. Habebat enim cum in puppi, tum in prora, figuras haud minores duodecim cubitis: & quilibet eius locus cerea pictura variegatus erat: spatium vero totum inter remos interceptum, usque ad carinam, hederacea fronde thyrsisque erat ornatum. Armamentorumque etiam omnium mirus erat ornatus: & cunctae navis partes abunde rebus omnibus necessariis instructae. Quum periculum navigii fieret, impositi ei erant remiges super quater mille; ad ministeria vero nautica homines quadringenti; classiarii milites in ponte stantes ter mille, detractis centum & quin-

ὑπὸ τὰ ζύγια πλῆθος ἀνθρώπων ἕτερον, ἐπισιτισμούς
c τε οὐκ ὀλίγους. [1] καθειλκύσθη δὲ τὴν μὲν ἀρχὴν ἀπὸ [2]
ἐσχαρίου τινὸς, ὃ φασι παγῆναι πεντήκοντα πλοίων
πεντηρικῶν ξυλεία, ὑπὸ δὲ ὄχλου μετὰ βοῆς καὶ
σαλπίγγων κατήγετο. ὕστερον δὲ τῶν ἀπὸ Φοινίκης
τις ἐπενόησε τὴν καθολκήν· [3] τάφρον ὑποστησάμενος,
ἴσην τῇ νηῒ κατὰ μῆκος, ἣν πλησίον τοῦ λιμένος ὤρυ-
ξε. ταύτῃ δὲ τοὺς θεμελίους κατῳκοδόμησε λίθῳ στε-
ρεῷ πρὸς πέντε πήχεις τὸ βάθος, καὶ διὰ τούτων φά-
d λαγγας ἐπικαρσίας κατὰ πλάτος τῆς τάφρου διώ-
σας συνεχεῖς, τετράπηχυν εἰς βάθος τόπον ἀπολι-
πούσας. καὶ ποιήσας εἴσρουν ἀπὸ τῆς θαλάσσης,
ἐνέπλησεν αὐτῆς πάντα τὸν ὀρυχθέντα τόπον, εἰς ὃν
ῥᾳδίως ἀπὸ [4] τῶν τυχόντων ἀνδρῶν εἰσήγαγε τὴν ναῦν·

1 οὐκ ὀλίγον vulgo. 2 ὑπὸ ms. *Epit.* 3 ἀνολκὴν malles.
4 ὑπὸ ms. *Ep.* Sed malebam ὑπὸ τ. τυχ. ἀνδ. εἰσηγάγη ἡ ναῦς.

quaginta; insuper sub transtris, in medio navis corpore, alia hominum multitudo; & commeatuum copia haud exigua. Deducta autem navis primum fuerat ope craticulae, quae compacta dicitur fuisse ex tanto materiae adparatu qui quinquaginta navibus quinqueremibus suffecturus fuisset. Deducta est autem ab ingente hominum multitudine, cum clamore & ad tubarum sonitum. Postea vero Phoenix aliquis [aliam subducendae ac denuo] deducendae navis rationem excogitavit; fossam subiiciens, eiusdem cum nave longitudinis, quam prope portum excavavit. Huic fundamenta [& crepidines] substruxit ex solido lapide ad quinque cubitorum profunditatem: [*sive*, crassitiem,] deinde inter istas crepidines impegit continuas series phalangum transversarum pro latitudine fossae, ita ut quadricubitale spatium in altitudinem infra relinqueretur. Tum immisso mari, totum effossum locum aquâ replevit: in quem deinde quorumlibet hominum ope facile sub-

τὸ δ' ἀνοιχθὲν [1] κατ' ἀρχὰς ἐμφράξας, μετεξήντλησε πάλιν τὴν θαλάσσαν ὀργάνοις. τούτου δὲ γενομένου, ἡδράσθη [2] τὸ πλοῖον ἀσφαλῶς ἐπὶ τῶν προειρημένων φαλάγγων."

XXXVIII. Thalamegus, navis Ptolemaei Philop.

„Κατεσκεύασε δὲ ὁ Φιλοπάτωρ καὶ ποτάμιον πλοῖον, τὴν θαλαμηγὸν καλουμένην, τὸ μῆκος ἔχουσαν ἡμισταδίου, τὸ δ' εὖρος ᾗ πλατύτατον, τριάκοντα [3] πηχῶν· τὸ δὲ ὕψος σὺν τῷ τῆς σκηνῆς ἀναστήματι μικρὸν [4] ἀπέδει τεσσαράκοντα πηχῶν. τὸ δὲ σχῆμα αὐτῆς, οὔτε ταῖς μακραῖς ναυσὶν, οὔτε ταῖς στρογγύλαις ἐοικός· ἀλλὰ παρηλλαγμένον τε καὶ πρὸς τὴν χρείαν τοῦ ποταμοῦ [5] τὸ βάθος. κάτωθεν μὲν γὰρ ἀλιτενὴς καὶ πλατεῖα· τῷ δ' ὄγκῳ μετέωρος· τὰ δ' ἐπὶ τῶν ἄκρων αὐτῆς μέρη, καὶ μάλιστα τὰ κατὰ πρῶραν, παρέτεινεν ἐφ' ἱκανὸν, τῆς ἀνα- e

1 Vulgo τὸ ἀνοιχθὲν absque coniunct. Sed deinde μετεξήντλησέ τε habet ms. *Epit.* 2 ἑδρασθῆναι edd. cum mss. 3 Numerus, puto, iusto minor. 4 μιᾶς ἀπέδει Epit. Hoesch. 5 καὶ πρὸς τοῦ ποτ. legit Dalech. quem in versione secutus sum.

duxit navem: post haec, obstructâ aperturâ initio factâ, machinarum ope rursus exhausit aquam. Ita fiebat, ut super praedictis phalangibus tuto ac firmiter navis staret."

38. » Construxit vero idem Philopator etiam aliam navem, qua in Nilo fluvio navigaret, quae *Thalamegus* (id est, *thalamum vehens*) vocabatur; cuius longitudo fuit dimidii stadii; latitudo, ubi maxima, triginta cubitorum: altitudo, simul cum erecto tabernaculo, parum a quadraginta cubitis aberat. Forma eius nec longis navibus, neque rotundis erat similis: sed prorsus singularis, pro usus commoditate & altitudine fluvii. Nam inferne depressa navis erat & lata; corpus autem sublime eminebat: extremae vero eius partes, ac praesertim a prora, multum prominebant, dein sursum reflexae

κλάσεως εὐγράμμου Φαινομένης. δίπρωρος δὲ ἐγεγόνει καὶ δίπρυμνος· καὶ πρὸς ὕψος ἀνέτεινε, διὰ τὸ μεf τέωρον ἄγαν ἵστασθαι πολλάκις ἐν τῷ ποταμῷ τὸ κῦμα. κατεσκεύαστο δ' αὐτῆς κατὰ μὲν μέσον τὸ κῦτος τὰ συμπόσια καὶ οἱ κοιτῶνες, καὶ τὰ λοιπὰ τὰ πρὸς τὴν διαγωγὴν χρηστήρια. πέριξ δὲ τῆς νεὼς περίπατοι κατὰ τὰς τρεῖς πλευρὰς ἐγεγόνεισαν διπλοῖ. ὧν ἡ μὲν περίμετρος ἦν πέντε πλέθρων οὐκ ἐλάττων· ἡ δὲ διάθεσις, τοῦ μὲν καταγείου, περιστύλῳ a παραπλήσιος· τοῦ δ' ὑπερώου, κρύπτῃ [1] Φραγμοῖς καὶ θυρίσι περιεχομένῃ πάντοθεν. πρώτη δ' εἰσιόντι κατὰ πρύμναν ἐτέτακτο προστὰς, ἐξ ἐναντίου μὲν [2] ἀναπεπταμένη, κύκλῳ δὲ περίπτερος· [3] ἧς ἐν τῷ κατ' ἀντικρὺ τῆς πρώρας μέρει προπύλαιον κατεσκεύαστο, δι' ἐλέφαντος καὶ τῆς πολυτελεστάτης ὕλης γεγονός.

1 Vulgo κρυπτὴ, & dein περιεχομένη. 2 πρὸς ἐξεναντιούμενα edd. πρὸς τὰ ἐξεναντιούμενα ms. *A*. 3 περίπατος edd.

ſpeciem praebebant eleganter deſcriptam. Duas autem proras duasque puppes habebat; & ſuper aquam multum eminebat, quoniam fluctus fluvii ſaepe in altum attolluntur. In medio alvo conſtructa erant coenacula & cubicula, & reliquae ad vitae uſum pertinentes commoditates. Circum navem ſecundum tria latera ambulationes erant binae: quarum circuitus paulo minus quinque iugerum erat: ſpecies vero & ſtructura inferioris, periſtylio erat ſimilis; ſuperioris, cryptoporticui parietibus & feneſtris undique circumdato. Ingredienti a puppe primum occurrebat veſtibulum (προστὰς Graecis vocatur) a parte anteriore apertum, circumcirca vero ſimplici columnarum ſerie circumdatum. In ea parte, quae verſus proram ſpectabat, propylaeum conſtructum erat, ex ebore & ligno pretioſiſſimo fa-

τοῦτο δὲ διελθοῦσιν ὡσανεὶ προσκήνιον ἐπεποίητο τῇ διαθέσει, κατάστεγον ἄνω. πάλιν ὁμοίως κατὰ μὲν τὴν μέσην πλευρὰν προστὰς ἑτέρα [1] παρέκειτο ὄπισθεν, καὶ τετράθυρος ἔφερεν εἰς αὐτὴν πυλών. ἐξ ἀρι- b
στερῶν δὲ καὶ δεξιῶν θυρίδες ὑπέκειντο, εὐάειαν [2] παρέχουσαι. Συνῆπτο [3] δὲ τούτοις ὁ μέγιστος οἶκος· περίπτερος δ' ἦν, εἴκοσι κλίνας ἐπιδεχόμενος. κατεσκευάσθη δ' αὐτοῦ τὰ μὲν πλεῖστα ἀπὸ κέδρου σχιστῆς, καὶ κυπαρίσσου Μιλησίας. αἱ δὲ τῆς περιστάσεως θύραι, τὸν ἀριθμὸν εἴκοσι οὖσαι, θυΐναις κατεκεκόλληντο σανίσιν, ἐλεφαντίνους ἔχουσαι τοὺς κόσμους. ἡ δ' ἐνήλωσις ἡ κατὰ πρόσωπον αὐτῶν, καὶ τὰ ῥόπτρα, ἐξ ἐρυθροῦ γεγονότα χαλκοῦ, τὴν χρύσωσιν ἐκ πυρὸς εἰλήφει. [4] τῶν δὲ κιόνων τὰ μὲν σώματα c
ἦν κυπαρίσσινα· αἱ δὲ κεφαλαὶ, Κορινθιουργεῖς, ἐλέφαντι καὶ χρυσῷ διακεκοσμημέναι. τὸ δὲ ἐπιστύλιον

1 Vulgo πρὸς τὰ ἕτερα. 2 εὐαγείαν edd. vett. cum ms. *A.* εὐαείαν ed. Caſ. 1. 3 Vulgo συνήγετο. 4 εἰλήφασιν edd.

ctum: per quod poſtquam transiiſſes, conſtructum erat quaſi proſcenium, ſuperne tectum. Rurſus dein ſimiliter in medio latere poſteriore adiuncta erat alia *proſtas*, in quam intrabatur per portam quadriforem. A dextra & ſiniſtra feneſtrae erant, quae aëris ſalubritatem praeſtarent. His contiguus erat maximus oecus; columnis circumcirca ornatus, triginta lectos capiens. In illo pleraque ex ſecta cedro aut Mileſio cupreſſo fabrefacta erant: fores vero in circuitu, numero viginti, ex citreis tabulis compactae, & multo ebore ornatae. Quidquid in his clavorum aut ferramenti conſpiciebatur, perinde ac annuli ſive marculi ex rubro aere conflati, in igne deauratum erat. Columnarum ſcapi ex cypreſſo erant; capitula, Corinthii operis, ebore & auro exornata. Epiſtylium totum deauratum: cui adaptata

ἐκ χρυσοῦ τὸ ὅλον· ἐφ' οὗ διάζωσμα ἐφήρμοστο, περιφανῆ ζῴδια ἔχον ἐλεφάντινα, μείζω πηχυαίων, τῇ μὲν τέχνῃ μέτρια, τῇ χορηγίᾳ δ' ἀξιοθαύμαστα. ἐπέκειτο δὲ καὶ στέγη καλὴ τῷ συμποσίῳ, τετράγωνος, κυπαρισσίνη· γλυπτοὶ δ' αὐτῆς ἦσαν οἱ κόσμοι, χρυσῆν ἔχοντες τὴν ἐπιφάνειαν. Παρέκειτο δὲ τῷ
d συμποσίῳ τούτῳ καὶ κοιτὼν ἑπτάκλινος· ᾧ συνῆπτο στενὴ σύριγξ, κατὰ πλάτος τοῦ κύτους χωρίζουσα τὴν γυναικωνῖτιν. Ἐν δὲ ταύτῃ συμπόσιον ἐννεάκλινον ἦν, παραπλήσιον τῇ πολυτελείᾳ τῷ μεγάλῳ, καὶ κοιτὼν πεντάκλινος. καὶ τὰ μὲν ἄχρι τῆς πρώτης στέγης κατεσκευασμένα τοιαῦτ' ἦν."

„Ἀναβάντων [1] δὲ τὰς παρακειμένας πλησίον τῷ προειρημένῳ κοιτῶνι κλίμακας, οἶκος ἦν ἄλλος πεντάκλινος, ὀρόφωμα ῥομβωτὸν ἔχων· καὶ πλησίον αὖ
e τοῦ ναὸς Ἀφροδίτης θολοειδὴς, ἐν ᾧ μαρμάρινον ἄγαλ-

XXXIX. Ptolemaei Philop. Thalamegus.

1 Ἀναβάντι malebam.

erat praecinctio, ex qua eminebant eburnea ſigna, cubito maiora; artificii illa quidem mediocris, ſed materiae pretio admiranda. Impoſitum etiam elegans tectum coenaculo erat, quadratum, cupreſſinum; in quo multa erant ſculpta ornamenta, inaurata in ſuperficie. Coenaculo huic proximum erat cubiculum ſeptem lectorum: quod attingebat anguſtus meatus, e transverſo ſecundum alvei navis latitudinem ductus, qui mulierum habitationem ſeparabat. In gynaeconitide coenaculum erat novem lectorum, magnificentiâ par maiori illi, & cubiculum lectorum quinque. Et ad primum quidem usque tectum, haec ita diſpoſita erant. «

39. »Ubi vero per ſcalas praedicto cubiculo adiacentes adſcendiſſes, aliud erat conclave quinque lectorum, tectum habens rhombi figura: & prope illud aedes Veneris, ad tholi formam conſtructa; in qua erat mar-

μα τῆς Θεοῦ. κατεναντίον δὲ τούτου ἄλλο συμπόσιον πολυτελὲς περίπτερον· οἱ γὰρ κίονες αὐτοῦ ἐκ λίθων Ἰνδικῶν συνέκειντο. παρὰ δὲ καὶ τούτῳ τῷ συμποσίῳ κοιτῶνες, ἀκόλουθον τὴν κατασκευὴν τοῖς προδεδηλωμένοις ἔχοντες. Προάγοντι δὲ ἐπὶ τὴν πρώραν οἶκος ὑπέκειτο Βακχικὸς τρισκαιδεκάκλινος, περίπτερος, ἐπίχρυσον ἔχων τὸ γεῖσον, ἕως τοῦ περιτρέχοντος ἐπιστυλίου· στέγη δὲ, τῆς τοῦ Θεοῦ διαθέσεως οἰκεῖα. ἐν δὲ τούτῳ, κατὰ μὲν τὴν δεξιὰν πλευρὰν, ἄντρον κατε- f
σκεύαστο· οὗ χρῶμα [1] μὲν ἦν ἔχον τὴν πετροποιΐαν ἐκ λίθων ἀληθινῶν [2] καὶ χρυσοῦ δεδημιουργημένον· ἵδρυτο δ' ἐν αὐτῷ τῆς τῶν βασιλέων συγγενείας ἀγάλματα εἰκονικὰ λίθου λυχνέως. ἐπιτερπὲς δ' ἱκανῶς καὶ ἄλλο συμπόσιον ἦν ἐπὶ τῇ τοῦ μεγίστου οἴκου στέγῃ κείμενον, σκηνῆς ἔχον τάξιν· ὥστε τῇ μὲν σὺκ

1 An χῶμα? an quid aliud? 2 An ἀχατῶν? *ex achate lapide?*

moreum Deae ſignum. Huic ex adverſo aliud erat coenaculum magnificum, columnis circumcirca ornatum: erant autem columnae ex Indicis lapidibus conſtructae. Rurſusque huic coenaculo iuncta cubicula, ita inſtructa ut conſentaneum erat his de quibus iam dictum eſt. Ad proram pergenti occurrebat oecus Bacchicus tredecim lectorum, columnis in circuitu ornatus, auratam habens ſuggrundam usque ad circumcurrens epiſtylium: tectum vero congruens Dei ingenio. In eo oeco a dextra parte antrum erat conſtructum, [cuius fornix loco ſaxorum ex veris lapidibus pretioſis & auro erat confectus?] poſitae autem in eo erant regiorum cognatorum imagines ad vivum expreſſae ex lychnite lapide. Erat etiam alia coenatio, amoena admodum, maximi oeci tecto ſuperſtructa, tentorium referens: erat enim partim aperta, partim vero ex certis

ἐπῆν, διατόνια δὲ τοξοειδῆ [1] διὰ ποσοῦ τινος ἐνετέτα-
a το διαστήματος, ἐφ' ὧν αὐλαῖαι κατὰ τὸν ἀνάπλουν
ἀλουργεῖς ἐνεπετάννυντο. Μετὰ δὲ τοῦτο [2] αἴθριον ἐξε-
δέχετο, τὴν ἐπάνω τῆς ὑποκειμένης προστάδος τάξιν
κατέχον· ᾧ πλίμαξ τε ἑλικτὴ φέρουσα πρὸς τὸν κρυ-
πτὸν περίπατον παρέκειτο, καὶ συμπόσιον ἐννεάκλι-
νον, τῇ διαθέσει τῆς κατασκευῆς Αἰγύπτιον. οἱ γὰρ
γεγονότες αὐτόθι κίονες ἀνήγοντο στρογγύλοι, διαλ-
λάττοντες τοῖς σπονδύλοις, τοῦ μὲν μέλανος, τοῦ δὲ
λευκοῦ, παράλληλα τιθεμένων. εἰσὶ δ' αὐτῶν καὶ αἱ
b κεφαλαὶ τῷ σχήματι περιφερεῖς, ὧν ἡ μὲν ὅλη πε-
ριγραφὴ παραπλησία ῥόδοις ἐπὶ μικρὸν ἀναπεπτα-
μένοις ἐστίν. περὶ δὲ τὸν προσαγορευόμενον κάλαθον,
οὐχ ἕλικες, καθάπερ ἐπὶ τῶν Ἑλληνικῶν, καὶ φύλλα
τραχέα περίκειται· λωτῶν δὲ ποταμίων κάλυκες, καὶ

Columnarum ordo Aegyptiacus.

1. Vulgo διατοναία δὲ τοξοειδεῖ; & mox dein ἐνετέτακτο. 2. τοῦτον ms. *A.* τὸν edd.

intervallis tenſi ſuperne circuli erant arcuati, ſuper quibus, cum navigabatur, expandebantur aulaea purpurea. Coenationem hanc excipiebat area ſubdialis, locum ſuperiorem tenens ubi infra ſubiecta proſtas erat: cui areae contigua fuit ſcala tortilis, ad tectam ambulationem ducens, & coenatio novem lectorum, Aegyptiorum more conſtructa ornataque. Erant enim columnae, quae ibi teretes erectae cernebantur, vertebris ita variegatae, ut alternatim altera nigra vertebra, altera alba, aequali altitudine invicem impoſitae eſſent. Sunt autem earumdem capitula formâ rotundâ, ita ut tota figura ſimilis ſit roſae paululum explicatae. Circa eam vero partem, quae *calathus* vocatur, nullae volutae ſunt, ut in Graecanicis columnis, neque aſpera folia circumpoſita: ſed lotorum aquatilium calyces, &

Φοινίκων ἀρτιβλάστων καρπός· ἔστι δ' ὅτε καὶ πλειόνων ἄλλων ἀνθέων γέγλυπται γένη. τὸ δ' ὑπὸ τὴν ῥίζαν, ὃ δὴ τῷ συνάπτοντι πρὸς τὴν κεφαλὴν ἐπίκειται σπονδύλῳ, κιβωρίων ἄνθεσι καὶ Φύλλοις ὡσανεὶ καταπεπλεγμένοις ὁμοίαν εἶχε τὴν διάθεσιν. Τοὺς μὲν οὖν κίονας οὕτως Αἰγύπτιοι κατασκευάζουσι, καὶ τοὺς τοίχους δὲ λευκαῖς καὶ μελαίναις διαποικίλλουσι πλινθίσιν· ἐνίοτε δὲ καὶ τοῖς ἀπὸ τῆς ἀλαβαστίτιδος [1] προσαγορευομένης πέτρας. Πολλὰ δὲ καὶ ἕτερα κατὰ μέσον τῆς νεὼς τὸ κύτος ἐν κοίλῃ, καὶ κατὰ πᾶν αὐτῆς μέρος οἰκήματα ἦν. ὁ δὲ ἱστὸς ἦν αὐτοῖς [2] ἑβδομήκοντα πηχῶν, βύσσινον ἔχων ἱστίον, ἀλουργεῖ παρασείρῳ κεκοσμημένον. Πᾶς δὲ ὁ τοῦ βασιλέως τοῦ Φιλαδέλφου πλοῦτος Φυλαχθεὶς κατελύθη ὑπὸ τοῦ τελευταίου Πτολεμαίου, τοῦ καὶ τὸν Γαβινιακὸν συστησαμένου πόλεμον· οὐκ ἀνδρὸς γενομένου, ἀλλ' αὐλητοῦ καὶ μάγου." c d

1 ἀλαβαστρίτιδος ed. Casaub. 2 αὐτῆς aut αὐτῇ malim.

palmarum recens germinantium fructus; nonnumquam vero etiam alia florum genera insculpta sunt. Quod autem radici capituli subest, nempe quod insidet illi vertebrae quae capitulum proxime attingit, figuras referebat florum foliorumque fabarum Aegyptiarum. Columnas igitur hoc modo Aegyptii construunt: itemque parietes nigris laterculis albisque variegant, hisque nonnumquam ex lapide quem *alabastitidem* vocant. Erant vero multa etiam alia cum in medio navis alveo, tum qualibet in parte, conclavia. Malus navis cubitorum fuit septuaginta, byssinum habens velum, purpureâ ornatum fimbriâ, cui funes aptarentur. Universae vero Ptolemaei Philadelphi divitiae, ab aliis regibus conservatae, dilapidatae profligataeque sunt ab ultimo Ptolemaeo, eodem qui bellum etiam Gabinianum conflavit; qui non vir fuit, sed tibicen & magus."

XL. Hieronis navis.

Περὶ δὲ τῆς ὑπὸ Ἱέρωνος τοῦ Συρακουσίου κατασκευασθείσης νεὼς, ἧς καὶ Ἀρχιμήδης ἦν ὁ γεωμέτρης ἐπόπτης, οὐκ ἄξιον εἶναι κρίνω σιωπῆσαι, σύγγραμμα ἐκδόντος Μοσχίωνος τινὸς, ᾧ οὐ παρέργως ἐνέτυχον ὑπογυίως. γράφει οὖν ὁ Μοσχίων οὕτως· „Διοκλείδης μὲν ὁ Ἀβδηρίτης θαυμάζεται ἐπὶ τῇ πρὸς τὴν Ῥοδίων πόλιν ὑπὸ Δημητρίου προσαχθείσῃ τοῖς τείχεσιν Ἑλεπόλει· Τίμαιος δ' ἐπὶ τῇ πυρᾷ τῇ κατασκευασθείσῃ Διονυσίῳ τῷ Σικελίας τυράννῳ· καὶ Ἱερώνυμος ἐπὶ τῇ κατασκευῇ [1] τῆς ἁρμαμάξης, ἣ συνέβαινε κατακομισθῆναι τὸ Ἀλεξάνδρου σῶμα· Πολύκλειτος δ' ἐπὶ τῷ λυχνίῳ τῷ κατασκευασθέντι τῷ Πέρσῃ. [2] Ὁ δ' Ἱέρων ὁ Συρακουσίων βασιλεὺς, ὁ πάντα Ῥωμαίοις φίλος, ἐσπουδάκει μὲν καὶ περὶ ἱερῶν καὶ γυμνασίων κατασκευὰς, ἦν δὲ καὶ περὶ ναυπηγίας φιλότιμος, πλοῖα σιτηγὰ κατασκευαζόμε-

1 ἐν τῇ κατασκ. ed. Caſ. 2 τῷ Περσεῖ intelligunt nonnulli.

40. Iam vero de *Nave ab* HIERONE *Syracuſano conſtructa*, cuius fabricae Archimedes geometra fuit praefectus, nefas arbitror tacere; de qua Moſchion quidam edidit commentarium, quem ſtudioſe legi nuperrime. Scribit autem Moſchion in hunc modum: » Dioclides Abderita ſingulari cum admiratione loquitur de helepoli, a Demetrio muris Rhodiorum admota; ſimiliter Timaeus, de rogo qui Dionyſio Siciliae tyranno eſt exſtructus; Hieronymus, de vehiculi fabrica, quo deportatum eſt corpus Alexandri; Polycletus, de lucerna quae Perſarum regi confecta eſt. At Hiero, Syracuſarum rex, Romanorum ille conſtantiſſimus amicus, templis quidem etiam & gymnaſiis exſtruendis operam dedit, ſed ſingulari ſtudio in navium fabricationem incubuit; & praeſertim onerarias ad transportandum frumentum fabricandas curavit: in his unam, cuius fa-

νος, ὧν ἑνὸς τῆς κατασκευῆς μησθήσομαι. Εἰς ὕλην f
μὲν, ξύλων [1] ἐκ τῆς Αἴτνης παρεσκεύαστο ἑξήκοντα
τριηρικῶν σκαφῶν πλῆθος ἐξεργάσασθαι δυναμένην.
ὡς δὲ ταῦτα ἡτοιμάσατο, γόμφους τε καὶ ἐγκοίλια
καὶ σταμίνας, καὶ τὴν εἰς τὴν ἄλλην χρείαν ὕλην, [2]
τὴν μὲν ἐξ Ἰταλίας, τὴν δ' ἐκ Σικελίας· εἰς δὲ σχοι-
νία λευκαίαν [3] μὲν ἐξ Ἰβηρίας, κάνναβιν δὲ καὶ πίτ-
ταν [4] ἐκ τοῦ Ῥοδανοῦ ποταμοῦ, καὶ τἆλλα πάντα
τὰ χρειώδη πολλαχόθεν συνήγαγε. [5] συνήγαγε δὲ καὶ
ναυπηγοὺς καὶ τοὺς ἄλλους τεχνίτας· καὶ καταστή-
σας ἐκ πάντων Ἀρχίαν τὸν Κορίνθιον ἀρχιτέκτονα,
παρεκάλεσε προθύμως ἐπιλαβέσθαι τῆς κατασκευῆς,
προσκαρτερῶν καὶ αὐτὸς τὰς ἡμέρας. Τὸ μὲν οὖν a
ἥμισυ τοῦ παντὸς τῆς νεὼς ἐν μησὶν ἓξ εἰργάσατο, [6]
καὶ ταῖς ἐκ μολίβου [7] ποιηθείσαις κεραμίσιν ἀεὶ καθ'

1 Forſ. ξυλείαν, aut ξύλωσιν: aut εἰς ὃ ὕλην μὲν ξύλων. 2 τὴν εἰς τὴν ἄλλην ὕλην χρείαν editt. vett. cum mſstis. 3 λευκέαν Epit. & inde Euſt. quod probavit Caſ. 4 κίττον edd. & ms. *A*. 5 Deeſt vulgo alterum verbum συνήγαγε, ex coniect. a nobis adiectum. 6 Forſ. ἐν μησὶν ἓξ ἐξείργαστο. 7 ἐκ μολίβδου edd.

bricam exponere conſtitui. Ad materiam illius ex Aetna monte tantam lignorum copiam comparandam curaverat, e qua ſexaginta triremium numerus confici potuiſſet. Haec ut paraverat, cuneos, coſtas, ſtatumina, & ad alios uſus materiam, aliam ex Italia, aliam ex Sicilia; ad funes autem ſpartum ex Hiſpania, cannabim vero & picem a fluvio Rhodano, & alia omnia ad uſum neceſſaria undique comportari iuſſit. Congregavit etiam undique fabros, aliosque opifices: quibus univerſis praefecit Archiam Corinthium architectum, & cohortatus eſt cunctos ut alacriter opus adgrederentur; ipſeque etiam totos dies opus urgens adſtabat. Igitur intra ſex menſes dimidium univerſi operis perfectum erat; & quaeque pars navis, ſimulatque

ὁ ναυπηγηθεὶη μέρος περιελαμβάνετο· [1] ὡς ἂν τριακοσίων ὄντων τῶν τὴν ὕλην ἐργαζομένων τεχνιτῶν, χωρὶς τῶν ὑπηρετούντων. Τοῦτο μὲν οὖν τὸ μέρος εἰς τὴν θάλασσαν καθέλκειν προσετέταικτο, τὴν λοιπὴν κατασκευὴν ἵν' ἐκεῖ λαμβάνῃ. ὡς δὲ περὶ τὸν καθελκυσμὸν αὐτοῦ τὸν εἰς τὴν θάλασσαν πολλὴ ζήτησις ἦν, Ἀρχιμήδης ὁ μηχανικὸς μόνος αὐτὸ κατήγαγε δι' ὀλίγων σωμάτων. κατασκευάσας γὰρ ἕλικα, τὸ τηλικοῦτον σκάφος εἰς τὴν θάλασσαν κατήγαγε· πρῶτος δ' Ἀρχιμήδης εὗρε τὴν τῆς ἕλικος κατασκευήν. Ὡς δὲ [2] καὶ τὰ λοιπὰ μέρη τῆς νεὼς ἐν ἄλλοις ἓξ μησὶ κατεσκευάσθη, καὶ τοῖς χαλκοῖς ἥλοις πᾶσα περιελήφθη, ὧν οἱ πολλοὶ δεκάμνοοι [3] ἦσαν, οἱ δ' ἄλλοι τούτων ἡμιόλιοι· διὰ τρυπάνων δ' ἦσαν οὗτοι ἡρμοσμένοι, τοὺς σταμῖνας συνέχοντες· μολυβδαίναις [4] δὲ Archimedes.

1 προσελαμβάνετο vulgo. 2 ὡσαύτως δὲ aut ὡς δ' αὕτως fortaſſe malles: ſed nihil mutandum videtur. 3 δεκάμναιοι edd. 4 μολιβδαίναις ms. *Epit.* Mihi μολυβδίναις vel μολιβδίναις videtur legendum.

compacta eſſet, ſtatim laminis plumbeis obducebatur: erant quippe trecenti opifices, qui materiam operis fabricarentur, praeter eos qui his miniſtrabant. Sic igitur ex parte fabricatam navem in mare deduci rex iuſſit, ut reliqua fabrica inibi abſolveretur. Cum vero de ratione deducendae navis multum eſſet diſceptatum, unus Archimedes mechanicus deduxit eam paucorum hominum miniſterio. Conſtructa enim *helice*, tantam molem navis in mare deduxit: primus autem Archimedes conſtructionem *helicis* invenerat. Pariter vero aliis ſex menſibus reliquae navis partes perfectae erant, & aeneis clavis tota navis undique circummunita. Clavorum plerique decem librarum pondo erant, reliqui dimidio maiores: erant autem hi terebrarum ope adaptati, ut ſtatumina continerent; laminisque plum-

κεραμίσιν ἀπεστεγνοῦντο [1] πρὸς τὸ ξύλον, ὑποτιθεμένων ὀθονίων μετὰ πίττης· ὡς οὖν τὴν ἐκτὸς ἐπιφάνειαν ἐξειργάσατο, τὴν ἐντὸς διασκευὴν ἐξεπονεῖτο."

XLI. Descriptio navis Hieronis.

„Ἦν δ' ἡ ναῦς τῇ μὲν κατασκευῇ, εἰκόσορος, [2] c τριπάροδος δέ· τὴν μὲν κατωτάτω ἔχουσα [3] ἐπὶ τὸν γόμον, ἐφ' ἣν διὰ κλιμάκων πυκνῶν ἡ κατάβασις ἐγίνετο· ἡ δ' ἑτέρα, τοῖς εἰς τὰς διαίτας βουλομένοις εἰσιέναι μεμηχάνητο· μεθ' ἣν ἡ τελευταία, τοῖς ἐν τοῖς ὅπλοις τεταγμένοις. ἦσαν δὲ τῆς μέσης παρόδου παρ' ἑκάτερον τῶν τοίχων δίαιται τετράκλινοι τοῖς ἀνδράσι, τριάκοντα τὸ πλῆθος. ἡ δὲ ναυκληρικὴ δίαιτα, κλινῶν μὲν ἦν πεντεκαίδεκα, θαλάμους δὲ τρεῖς εἶχε τρικλίνους, ὧν ἦν τὸ κατὰ τὴν πρύμναν ὀπτανεῖον. Ταῦτα δὲ πάντα δάπεδον εἶχεν ἐν ἀβακίσκοις συγκείμενον ἐκ παντοίων λίθων, ἐν οἷς ἦν κατεσκευασμέ-

1 ἀπεστεγανοῦντο ms. *Epit.* 2 εἰκοσήρης corrigunt viri docti. 3 ἔχων edd. cum ms. *A*.

beis ad lignum adſtricti erant, ſuppoſitis panniculis linteis cum pice. Ita exteriore ſuperficie perfecta, interiorem ſtructuram adortus eſt."

41. »Ad ſtructuram quod ſpectat, viginti ordinum remorum erat navis; aditus autem ſive vias (*parodos* Graeci vocant) habebat tres: quarum prima ducebat ad onera navis, ad quam per plures ſcalas deſcendebatur: altera iis patebat, qui in coenacula (*vel* conclavia) vellent intrare: poſt eam tertia, pro armatis, qui in ſtatione erant. Ab utroque latere mediae viae conclavia virorum erant, quatuor lectis ſtrata, numero triginta. Naucleri vero coenaculum quindecim lectis ſtratum erat, cubicula vero habebat tria trium lectorum; eodemque pertinebat culina, quae ad puppim erat. Iſta omnia conclavia pavimenta habebant ex opere teſſulato ex omni lapidum genere; quibus in pavi-

d νος πᾶς ὁ περὶ τὴν Ἰλιάδα μῦθος θαυμασίως· ταῖς τε κατασκευαῖς καὶ ταῖς ὀροφαῖς καὶ θυρώμασι δὲ πάντα ἦν ταῦτα πεποιημένα. [1] Κατὰ δὲ τὴν ἀνωτάτω πάροδον, γυμνάσιον ἦν, καὶ περίπατοι σύμμετρον ἔχοντες τὴν κατασκευὴν τῷ τοῦ πλοίου μεγέθει, ἐν οἷς κῆποι παντοῖοι θαυμασίως ἦσαν ὑπερβάλλοντες [2] ταῖς φυτείαις διὰ κεραμίδων ἢ μολυβδαινῶν [3] κατεστεγνωμένων. [4] ἔτι δὲ σκηναὶ κιττοῦ λευκοῦ καὶ ἀμπέλων, ὧν αἱ ῥίζαι τὴν τροφὴν ἐν πίθοις εἶχον γῆς πεπληρωμένοις, τὴν αὐτὴν ἄρδευσιν λαμβάνουσαι, e καθάπερ καὶ οἱ κῆποι. αὗται δὲ αἱ σκηναὶ συνεσκίαζον τοὺς περιπάτους. Ἑξῆς δὲ τούτων Ἀφροδίσιον κατεσκεύαστο τρίκλινον, δάπεδον ἔχον ἐκ λίθων ἀχα-

1 πεποιημένα edd. Casaubonus sic legendum censuerat: θαυμασίως ταῖς κατασκευαῖς. κἂν ταῖς ὀροφαῖς καὶ θυρώμασι δὲ πάντα ἦν ταυτὰ πεποιημένα. 2 περιβάλλοντες vulgo: ferendum fortasse, si dein τὰς φυτείας legeretur. περιθάλλοντες coni. Palmer. 3 κεραμίδων μολυβδαινῶν corrigit Cas. κεραμίδων μολυβδίνων malim. 4 Deest verbum κατεστ. in editis. Ex cod. Rom. κατεστεγνωμένα adfertur. An κατεστεγνωμένοι?

mentis admirabili arte expressa erat universa Iliadis fabula. Pariterque quod ad supellectilia, ad lacunaria, ad forium ornamenta spectat, in omnibus istis conclavibus cuncta exquisite elaborata erant. Iuxta supremam viam gymnasium erat, & ambulationes, instructae ornataeque ut consentaneum erat magnitudini navis. In his horti erant varii generis, mirifice plantationibus excellentes, ope tegularum plumbearum quibus subtus tecta area erat. (*sive*, tegulis plumbeis adstricti.) Adhaec tabernacula erant ex hedera alba & ex vitibus, quarum radices in doliis alebantur terrâ repletis, & pari modo rigabantur atque horti. Tentoria autem ista umbram praebebant ambulationibus. Post haec constructum erat conclave Veneri dicatum, tribus lectis instructum; pavimentum habens ex achate, aliisque pul-

τῶν τε καὶ ἄλλων χαριεστάτων, ὅσοι κατὰ τὴν νῆσον ἦσαν· τοὺς τοίχους δ' εἶχε καὶ τὴν ὀροφὴν κυπαρίττου, τὰς δὲ θύρας ἐλέφαντος καὶ θυίου γραφαῖς δὲ, [1] καὶ ἀγάλμασιν, ἔτι δὲ ποτηρίων κατασκευαῖς ὑπερβαλλόντως κατεσκεύαστο."

XLII.

Museum, polus, alia, in Hieronis navi.

„Τούτου δ' ἐφεξῆς σχολαστήριον ὑπῆρχε πεντάκλινον, ἐκ πύξου τοὺς τοίχους καὶ τὰ θυρώματα κατεσκευασμένον, βιβλιοθήκην ἔχον ἐν αὐτῷ, κατὰ δὲ τὴν ὀροφὴν πόλον, ἐκ τοῦ κατὰ τὴν Ἀχραδίνην f ἀπομεμιμημένον ἡλιοτροπίου. ἦν δὲ καὶ βαλανεῖον τρίκλινον, πυρίας χαλκᾶς ἔχον τρεῖς, καὶ λουτῆρα πέντε μετρητὰς δεχόμενον ποικίλον τοῦ Ταυρομενίτου λίθου. κατεσκεύαστο δὲ καὶ οἰκήματα πλείω τοῖς ἐπιβάταις, καὶ τοῖς τὰς ἀντλίας φυλάττουσι. χωρὶς δὲ τούτων ἱππῶνες ἦσαν ἑκατέρωθεν [2] τῶν τοίχων δέκα.

1 Abest vulgo δὲ particula. 2 ἑκατέρου edd. cum ms. *A*.

cerrimis lapidibus, quotquot in insula reperiebantur: parietes vero & lacunaria ex cupresso; ianuas vero ex ebore & citro Atlantica: (*thyan* Graeci vocant:) erat autem picturis, statuis, poculis variarum formarum, mirum in modum exornatum."

42. » Aphrodisio contiguum erat *scholasterium* (conclave otio literato destinatum) quinque lectorum; cuius parietes foresque ex buxo erant. In eo erat bibliotheca: & in lacunari polus (*sive*, horologium) ad imitationem solarii illius effictus, quod in Achradina est. Erat etiam balneum, tribus lectis instructum, tria habens caldaria aenea, & solium, quod quinque metretas capiebat, variegatum, ex Tauromenite lapide. Paratae quoque complures cellae erant militibus classiariis, & eis quibus exhauriendae sentinae cura demandata erat. (*sive*, & antliarum custodibus.) Erant praeterea equilia, ab utroque latere decem: & iuxta illa locus erat, quo-

κατὰ δὲ τούτους ἡ τροφὴ τοῖς ἵπποις ἔκειτο, καὶ τῶν ἀναβατῶν καὶ τῶν παίδων τὰ σκεύη. Ἦν δὲ καὶ
a ὑδροθήκη κατὰ τὴν πρώραν κλειστὴ δισχιλίους μετρητὰς δεχομένη, ἐκ σανίδων καὶ πίττης καὶ ὀθονίων κατεσκευασμένη. παρὰ δὲ ταύτην κατεσκεύαστο διὰ μολιβδώματος καὶ σανίδων κλειστὸν [1] ἰχθυοτροφεῖον· τοῦτο δ' ἦν πλῆρες θαλάττης, ἐν ᾧ πολλοὶ ἰχθύες ἐνετρέφοντο. [2] ὑπῆρχον δὲ καὶ τῶν τοίχων ἑκατέρωθεν τρόποι [3] προεωσμένοι, διάστημα σύμμετρον ἔχοντες· ἐφ' ὧν κατεσκευασμέναι ἦσαν ξυλοθῆκαι καὶ κρίβανοι καὶ ὀπτανεῖα καὶ μύλοι καὶ πλείους ἕτεραι διακο-
b νίαι. ἄτλαντές τε περιέτρεχον τὴν ναῦν ἐκτὸς [4] ἑξαπήχεις, οἳ τοὺς ὄγκους ὑπειλήφεισαν τοὺς ἀνωτάτω καὶ τὸ τρίγλυφον, πάντες ἐν διαστήματι βεβῶτες. ἡ δὲ ναῦς πᾶσα οἰκείαις γραφαῖς ἐπεπόνητο."

1 Vulgo κλειστῶν. 2 εὖ ἐτρέφοντο vulgo. 3 τόποι ms. *Epit.* 4 ἐντὸς Euſtath.

& pabulum equorum, & ſarcinae ac vaſa equitum & puerorum depoſita erant. Fuit etiam aquae receptaculum in prora navis, quod claudi poſſet, bis mille metretas capiens, ex aſſeribus cum pice & linteolis compactum: iuxtaque illud, piſcium vivarium clauſum, ex plumbeis laminis cum aſſeribus confectum, & marina aqua repletum, in quo multi piſces alebantur. Erant etiam ab utroque navis latere tigna prominentia, modico intervallo diſtantia; ſuper quibus conſtructa lignaria, clibani, culinae, molae, aliaeque plures miniſteriorum officinae. Tum circa navem extrinſecus circumpoſiti erant Atlantes ſex cubitorum, qui & molem ſuperne impoſitam & triglyphum ſuſtinerent, omnes ex iuſto intervallo locati. Tota vero navis convenientibus picturis diligenter erat exornata."

XLIII. Adparatus bellici in Hieronis navi.

„Πύργοι τε ἦσαν ἐν αὐτῇ ὀκτὼ σύμμετροι τὸ μεγέθος τοῖς τῆς νεὼς ὄγκοις· δύο μὲν κατὰ πρύμναν, οἱ δ' ἴσοι κατὰ πρῶραν, οἱ λοιποὶ δὲ κατὰ μέσην ναῦν. τούτων δὲ ἑκάστῳ παρεδέδεντο [1] κεραῖαι δύο, ἐφ' ὧν κατεσκεύαστο φατνώματα, δι' ὧν ἠφίεντο λίθοι πρὸς τοὺς ὑποπλέοντας τῶν πολεμίων. ἐπὶ δὲ τῶν πύργων ἕκαστον ἀνέβαινον τέτταρες μὲν καθωπλισμένοι νεανίσκοι, δύο δὲ τοξόται. πᾶν δὲ τὸ ἐντὸς τῶν πύργων, λίθων καὶ βελῶν πλῆρες ἦν. Τεῖχος δὲ ἐπάλξεις ἔχον καὶ καταστρώματα διὰ νεὼς ἐπὶ κιλλιβάντων κατεσκεύαστο· ἐφ' οὗ λιθοβόλος [2] ἐφειστήκει, τριτάλαντον λίθον ἀπ' αὐτοῦ ἀφιείς, καὶ δωδεκάπηχυ βέλος. τοῦτο δὲ τὸ μηχάνημα κατεσκεύασεν Ἀρχιμήδης. ἑκάτερον δὲ τῶν βελῶν ἔβαλλεν ἐπὶ στάδιον.

1 παρεδέδμηντο corrigit Villebr. παρετέθειντο ſuſpicatus eram, ſed videndum an reliqua ſatis emendata aut integra ſint. 2 Caſaubonus ſic legi volebat, διὰ νεὼς κατεσκεύαστο· ἐφ' ὧν ἐπὶ κιλλιβάντων λιθοβ. *tabulata, quibus impoſita erat catapulta tripedibus fulcris ſuſtentata.*

43. »Erantque in ea turres octo, ea magnitudine quae ipſius navis moli conſentanea eſſet: duae ad puppim, totidem ad proram, quatuor reliquae in media navi. In earum qualibet duo locati erant tollenones, ſuper quibus (*vel*, iuxta quos) erant aperta foramina, [?] quibus ſaxa iniiciebantur in hoſtes ſubtus navigantes. In unamquamque turrim adſcendebant quatuor armati iuvenes, & duo ſagittarii. Turrium pars interior tota lapidibus & telis repleta erat. Erat autem murus ſecundum navem conſtructus, propugnacula habens, & tabulata tripedibus fulcris ſuſtentata: ſuper quo poſita erat catapulta, lapidem eiaculans trium talentorum, & haſtam duodecim cubitorum. Huius machinae auctor Archimedes fuerat: vibrabatque illa utrumque teli genus ad ſtadii longitudinem. Adhaec ſtoreae ex denſis

μετὰ δὲ ταῦτα παρατρήματα [1] ἐκ τρόπων παχέων συγκείμενα διὰ ἀλύσεων χαλκῶν κρεμάμενα. Τριῶν τε ἱστῶν ὑπαρχόντων, ἐξ ἑκάστου κεραῖαι λιθοφόροι ἐξήρτηντο δύο, ἐξ ὧν ἅρπαγές τε καὶ πλίνθοι μολίβου πρὸς τοὺς ἐπιτιθεμένους ἠφίεντο. ἦν δὲ καὶ χάραξ κύκλῳ τῆς νεὼς σιδήρου πρὸς τοὺς ἐπιχειροῦντας ἀναβαίνειν· κόρακές τε σιδηροῖ κύκλῳ τῆς νεὼς, οἳ δι' ὀργάνων ἀφιέμενοι τὰ τῶν ἐναντίων ἐκράτουν σκάφη, καὶ παρέβαλλον εἰς πληγήν. Ἑκατέρῳ δὲ τῶν τοίχων ἑξήκοντα νεανίσκοι πανοπλίας ἔχοντες ἐφειστήκεισαν· καὶ τούτοις ἴσοι περί τε τοὺς ἱστοὺς καὶ τὰς λιθοφόρους κεραίας. ἦσαν δὲ καὶ κατὰ τοὺς ἱστοὺς ἐν τοῖς ἀρχησίοις, οὗτι χαλκοῖς· ἐπὶ μὲν [2] τοῦ πρώτου, τρεῖς ἄνδρες· εἶθ' ἑξῆς καθ' ἕνα λειπόμενοι. τούτοις δ' ἐν πλεκτοῖς γυργάθοις διὰ τροχιλίων εἰς τὰ θωράκια λίθοι παρεβάλλοντο καὶ βέλη διὰ τῶν παίδων. Ἀγ-

Tres mali navis.

Armati in carchesiis.

1 παραρτήματα lego cum Cas. 2 ἐπὶ μὲν οὖν edd.

funibus confectae, aeneis ex catenis suspensae, praependebant. Cum tres malos haberet navis, eorum cuique adaptati erant duo tollenones, e quibus lapides & ferreae manus, & massae plumbeae in adgredientem hostem eiicerentur. Totaque navis vallo ex baculis ferreis praeacutis cincta erat adversus eos qui adscendere conarentur: omnique ex parte parati ferrei corvi; qui, machinarum ope in hostium navigia coniecti, corriperent illa, & ita admoverent ut eorum latus ictibus pateret. Ab utroque latere sexaginta iuvenes stabant toto corpore armati: & totidem circa malos & tollenones lithophoros. Erantque etiam super ipsis malis, in carchesiis, quae aenea fuere: nempe in primo, tres viri; in secundo, duo; in tertio, unus. His autem, in textilibus canistris, trochlearum ope lapides & tela puerorum ministerio intra carchesiorum loriculas depone-

κυραι δὲ ἦσαν ξύλιναι μὲν τέτταρες, σιδηραῖ δ' ὀκτώ. Τῶν δὲ ἱστῶν ὁ μὲν δεύτερος καὶ τρίτος εὑρέθησαν· δυσχερῶς δὲ ὁ πρῶτος εὑρέθη ἐν τοῖς ὄρεσιν τῆς Βρεττίας [1] ὑπὸ συβώτου ἀνδρός· κατήγαγεν δ' αὐτὸν ἐπὶ θάλατταν Φιλέας ὁ Ταυρομενίτης μηχανικός. ἡ δὲ ἀντλία, καίπερ βάθος ὑπερβάλλον ἔχουσα, δι' ἑνὸς ἀνδρὸς ἐξηντλεῖτο διὰ κοχλίου, Ἀρχιμήδους ἐξευρόντος. Cochlea Archimedis.

Ὄνομα δ' ἦν τῇ νηὶ Συρακοσία· [2] ὅτε δ' αὐτὴν ἐξέπεμπεν Ἱέρων, Ἀλεξάνδρειαν [3] αὐτὴν μετωνόμασεν. Ἐφόλκια δ' ἦσαν αὐτῇ, τὸ μὲν πρῶτον κέρκουρος, τρισχίλια τάλαντα δέχεσθαι δυνάμενος· πᾶς δ' ἦν οὗτος ἐπίκωπος. μεθ' ὃν [4] χίλια πεντακόσια βαστάζουσαι ἁλιάδες τε καὶ σκάφαι πλείους. ὄχλος δ' ἦν οὐκ ἐλάττων· [5] μετὰ τοὺς προειρημένους ἄλλοι γε ἐξα-

1 Βρεττανίας vulgo. 2 Συρακουσία edd. 3 Ἀλεξανδρίδα ms. *Ep.* inter lineas. Auctor sic scripsisse videtur, ἐξέπεμπεν Ἱέρων εἰς Ἀλεξάνδρειαν, Ἀλεξανδρίδα αὐτὴν μετωνόμασεν. 4 μεθ' ὧν vulgo. 5 Iungunt vulgo οὐκ ἐλάττων μετὰ τοὺς προειρημ.

bantur. Ancorae vero erant, ligneae quatuor, ferreae vero octo. Iam malorum quidem fecundus & tertius facile erant reperti: sed primus aegre repertus est in Bruttiorum montibus a quodam bubulco; ad mare autem devehendum eum curavit Phileas, mechanicus Tauromenita. Sentina vero, quamvis profundissima, tamen per unum hominem exhauriebatur ope cochleae, cuius inventor Archimedes fuerat. Nomen navi impositum primum erat *Syracusia:* cum vero Alexandriam eam emitteret Hiero, mutato nomine *Alexandrinam* appellavit. Minores naves, quae eam sequebantur, hae erant: primum cercurus, qui tria millia talentorum portare poterat, totusque remis agebatur. Post hunc, talenta mille & quingenta portantes naves piscatoriae scaphaeque permultae. Hominum vero multitudo non minor erat: praeter eos quidem, quos supra dixi, sex-

κόσιοι, παρὰ τὴν πρῶραν ἐπιτηροῦντες τὰ παραγ-
a γελλόμενα. Τῶν δὲ κατὰ ναῦν ἀδικημάτων δικαστή-
ριον καθειστήκει ναύκληρος, κυβερνήτης καὶ πρωρεὺς,
οἵπερ ἐδίκαζον κατὰ τοὺς Συρακουσίων νόμους."

„ Σίτου δὲ ἐνεβάλλοντο εἰς τὴν ναῦν μυριάδας ἑξ- XLIV.
ταρίχων δὲ Σικελικῶν κεράμια μύρια· ἐρεῶν [1] τάλαν- Onus navis Syracuſiae,
τα δισμύρια, καὶ ἕτερα δὲ φορτία δισμύρια. χωρὶς
δὲ τούτων ὁ ἐπισιτισμὸς ἦν τῶν ἐπιπλεόντων. Ὁ δ'
Ἱέρων, ἐπεὶ πάντας τοὺς λιμένας ἤκουε, τοὺς μὲν ὡς
b ἀδύνατοί εἰσι [2] τὴν ναῦν δέχεσθαι, τοὺς δὲ καὶ ἐπι-
κινδύνους ὑπάρχειν, διέγνω δῶρον αὐτὴν ἀποστεῖλαι
Πτολεμαίῳ τῷ βασιλεῖ εἰς Ἀλεξάνδρειαν· καὶ γὰρ Alexandriam miſſae.
ἦν σπάνις σίτου κατὰ τὴν Αἴγυπτον. καὶ οὕτως ἐποίη-
σε· καὶ ἡ ναῦς κατήχθη εἰς τὴν Ἀλεξάνδρειαν, ἔνθα
καὶ ἐνεωλκήθη. Ὁ δ' Ἱέρων καὶ Ἀρχίμηλον τὸν τῶν
ἐπιγραμμάτων ποιητὴν, γράψαντα εἰς τὴν ναῦν ἐπί-

1 χρεῶν, *carnium*, ed. Caſaub. 2 ὡς δυνατοί εἰσι edd. cum ms. *A.* ὡς οὐ δυναταί εἰσι ms. *Ep.*

centi alii in prora ſtabant, exſpectantes mandata. Criminum, quae committerentur in navi, iudices conſtituti erant, nauclerus, gubernator, & prorae praefectus; qui ius dicerent ſecundum Syracuſiorum leges."

44. »Impoſuerunt autem navi, medimnorum frumenti ſexaginta millia; ſalſamentorum Siculorum dolia decem mille; lanae talenta viginti millia, aliorumque onerum totidem: & praeter haec, commeatum navigantium. Sed Hiero cum intellexiſſet, portus omnes vel capere non poſſe hanc navim, vel eſſe periculoſos, conſtituit donum illam mittere Ptolemaeo regi Alexandriam; erat enim in Aegypto frumenti inopia. Et, quod conſtituerat, perfecit: adpulitque navis Alexandriam, ubi etiam ſubducta eſt. Idem Hiero Archimelum, epigrammaticum poëtam, cum Epigramma in illam navem feciſ-

Archimeli epigramma.

γραμμα, χιλίοις πυρῶν μεδίμνοις, οὓς καὶ παρέπεμψεν ἰδίοις δαπανήμασιν εἰς τὸν Πειραιᾶ, ἐτίμησεν. ἔχει δ' οὕτως τὸ ἐπίγραμμα·

Τίς τόδε σέλμα πέλωρον ἐπὶ χθονὸς εἵσατο; ποῖος c
κοίρανος ἀκαμάτοις πείσμασιν ἠγάγετο;
Πῶς δὲ κατὰ δρυόχων ἐπάγη σανίς; ἢ τίνι γόμφοι
τμηθέντες πελέκει τοῦτ' ἔκαμον τὸ κύτος;
ἢ κορυφαῖς Αἴτνας παρισούμενον, ἤ τινι νάσων,
ἃς Αἰγαῖον ὕδωρ Κυκλάδας ἐνδέδεται,
τοίχοις ἀμφοτέρωθεν ἰσοπλατές. Ἦ ῥα Γίγαντες
τοῦτο πρὸς οὐρανίας ἔξεσαν ἀτραπιτούς. d
Ἄστρων γὰρ ψαύει καρχήσια καὶ τριελίκτους
θώρακας μεγάλων [1] ἐντὸς ἔχει νεφέων. [2]
Πείσμασιν ἀγκύρας ἀπερείδεται, οἷσιν Ἀβύδου
Ξέρξης καὶ Σηστοῦ δισσὸν ἔδησε πόρον.

1 μελάνων malim cum Iacobs. 2 ὑφέων corr. Scal.

set, mille tritici medimnis donavit, quos suis sumtibus in Piraeeum devehendos curavit. Est autem Epigramma huiusmodi:

Quis prodigiosum istud aedificium in terra constituit? quis princeps rudentibus nullo labore fatigandis in mare deduxit?
Qua arte quernis super fulcris compacta est carina? quave securi
dolati clavi tantam coagmentarunt molem?
quae vertices Aetnae altitudine aequat; uni vero insularum, quibus Aegaeum aequor Cycladibus implicatum est,
laterum latitudine aequiparat. Sane Gigantes,
ut in coelum sibi viam patefacerent, eam fabricati sunt.
Nam astra tangunt carchesia; & triplicatum
murum vastas intra nubes condit.
Rudentibus ancoras suas firmat, qualibus Abydi
& Sesti diremtum Xerxes colligavit fretum.

Μανύει στιβαρᾶς κατ' ἐπωμίδος ἀρτιχάρακτον
γράμμα, τίς ἐκ χέρσου τάνδ' ἐκύλισσε τρόπιν·
Φατὶ [1] γὰρ, ὡς Ἱέρων Ἱεροκλέος Ἑλλάδι πάσῃ
καὶ νάσοις καρπῶν [2] πίονα δωροφόρον, [3]
Σικελίας σκαπτοῦχος, ὁ Δωρικός. Ἀλλὰ Πόσειδον
σῶζε κατὰ γλαυκῶν σέλμα τόδε ῥοθίων.

Παρέλιπον [4] δ' ἑκὼν ἐγὼ τὴν Ἀντιγόνου ἱερὰν τριήρη, ἣ ἐνίκησε τοὺς Πτολεμαίου στρατηγοὺς περὶ Λεύκολλαν [5] τῆς Κώας, ἔπειτα δὲ καὶ [6] τῷ Ἀπόλλωνι αὐτὴν ἀνέθηκεν· ἥτις οὐδὲ τὸ τρίτον, τάχα δὲ οὐδὲ τὸ τέταρτον εἶχε τῆς Συρακουσίας ἢ Ἀλεξανδρίδος ταύτης νεώς." Antigoni triremis sacra.

Τοσαῦτ' οὖν καὶ περὶ τοῦ τῶν νεῶν καταλόγου, XLV.
οὐκ ἀπὸ Βοιωτῶν ἀρξάμενοι, κατελέξαμεν, ἀλλ' ἀπὸ

1 φασὶ edd. cum ms. *A.* φησὶ ms. *Ep.* 2 καρπὸν edd. 3 δωροφόρων ms. *Ep.* δωροφορῶν Brunck. cum Casaub. 4 Παρέλειπον ms. *A.* 5 Λεύκωλλαν edd. 6 ἐπειδὴ καὶ edd. cum ms. *A.* ἣν δὲ τῷ ms. *Ep.* & omittit dein αὐτήν.

Significat validis in humeris recens insculpta
scriptio, quis e terra carinam hanc provolverit:
dicit enim, Hieronem, Hieroclis filium, universae Graeciae
& insulis (mittere eam) *frugum pinguia dona ferentem,*
Siciliae sceptrum tenentem, Doricum. At tu, Neptune!
serva in glaucis aedificium hoc fluctibus.

Ego vero sciens omitto Antigoni sacram triremem, qua duces Ptolemaei vicit ad Leucollam Coae ditionis, ac deinde Apollini eamdem dicavit; quae triplo, ac fortasse etiam quadruplo minor fuit Syracusia hac aut Alexandrina navi. «

45. Hactenus igitur enumerationem navium sumus persecuti, non a *Boeotis* exorsi, sed a pomparum ce-

Ἐγγυθήκη: *incitega.*

πανηγυρικῶν πομπῶν. Καὶ ἐπεὶ τὸν καλὸν Οὐλπιανὸν οἶδα πάλιν προσβαλοῦντα[1] ἡμῖν, τίς αὕτη ἡ παρὰ τῷ Καλλιξένῳ ἐγγυθήκη; Φαμὲν αὐτῷ, ὅτι καὶ λόγος τις εἰς Λυσίαν ἀναφέρεται τὸν ῥήτορα, Περὶ Ἐγγυθήκης ἐπιγραφόμενος, οὗ ἡ ἀρχή· „Εἰ μὲν δίκαιον ἔλεγεν ἢ μέτριον, ἄνδρες δικασταὶ, Λυσιμένης.“ ἐν ᾧ προελθὼν φησίν· „Οὐκ ἂν ἐσπούδαζον περὶ αὐτῆς τῆς ἐγγυθήκης δικαιολογεῖσθαι, ἢ οὐκ ἔστιν ἀξία τριάκοντα δραχμῶν.“ Ὅτι δὲ χαλκῆ ἦν a ἡ ἐγγυθήκη, ἐξῆς φησί· „Πέρυσιν δὲ ἐπισκευάσαι αὐτὴν βουλόμενος, ἐξέδωκα εἴς τι χαλκεῖον· ἔστι γὰρ συνθετὴ, καὶ Σατύρων ἔχει πρόσωπα καὶ βουκεφάλια. ἄλλο ἔτι μέγεθος τὸ αὐτό. ὁ γὰρ αὐτὸς τεχνίτης πολλὰ σκεύη ταυτὰ καὶ ὅμοια ἐργάζεται.“ Ἐν τούτοις ὁ Λυσίας, εἰπὼν ὅτι καὶ χαλκῆ ἦν ἡ ἐγγυθήκη, σαφῶς παρίστησιν, ὡς καὶ ὁ Καλλίξενος εἴρη-

1 Forſ. προβαλοῦντα.

lebritatibus. Sed quoniam ſcio, optimum virum Ulpianum rurſus adorturum nos, quaerentem quaenam ſit iſta apud Callixenum ἐγγυθήκη; dicimus ei, eſſe etiam orationem quamdam, quae Lyſiae oratori tribuitur, *De Engytheca* inſcriptam; [latine *incitegam* dicunt:] cuius hoc exordium: *Si quid, quod aequum eſſet, aut moderatum, Iudices, dixiſſet Lyſimenes.* Tum in progreſſu orationis ait: *Nec vero diſceptare de hac engytheca laboraſſem, quam non triginta drachmis aeſtimo.* Deinde vero, *aeneam fuiſſe incitegam*, ſignificat, cum ait: *Superiori anno cum refici eam vellem, in aerariam quampiam officinam reficiendam dedi: nec enim nuda & ſimplex eſt, ſed ſatyrorum vultibus & boum capitulis ornata.* [*Erat ibi*] *etiam aliud vas, pari magnitudine: nam idem artifex multa eiusdem modi vaſa & ſimilia fabricatur.* His verbis poſtquam dixit Lyſias aeneam eſſe engythecam, clare docet, quemadmodum & Callixenus

κε, λεβήτων αὐτὰς ὑποθήματα εἶναι. οὕτως γὰρ καὶ Πολέμων ὁ Περιηγητὴς εἶπεν, ἐν τρίτῳ τῶν πρὸς
b Ἀδαῖον καὶ Ἀντίγονον, ἐξηγούμενος διάθεσιν ἐν Φλιοῦντι κατὰ τὴν πολεμάρχειον στοὰν γεγραμμένην ὑπὸ Σίλλακος τοῦ Ῥηγίνου, οὗ μνημονεύουσιν Ἐπίχαρμος καὶ Σιμωνίδης· λέγων οὕτως „ἐγγυθήκη, καὶ ἐπ' αὐτῆς κύπελλον." Ἡγήσανδρος δ' ὁ Δελφὸς, ἐν τῷ ἐπιγραφομένῳ Ὑπομνήματι Ἀνδριάντων καὶ Ἀγαλμάτων, Γλαύκου, φησὶ, τοῦ Χίου τὸ ἐν Δελφοῖς ὑπόστημα, οἷον ἐγγυθήκην τινὰ σιδηρᾶν, ἀνάθημα Ἀλυάττου· οὗ ὁ Ἡρόδοτος μνημονεύει, ὑποκρητηρίδιον αὐτὸ καλῶν. καὶ ὁ Ἡγήσανδρος ταυτὰ
c λέγει. Εἴδομεν δ' αὐτὸ καὶ ἡμεῖς ἀνακείμενον ἐν Δελφοῖς, ὡς ἀληθῶς θέας ἄξιον, διὰ τὰ ἐν αὐτῷ ἐντετορευμένα ζωδάρια, καὶ ἄλλα τινὰ ζωΰφια καὶ φυτάρια . . .[1] ἐπιτίθεσθαι ἐπ' αὐτῷ δυνάμενα, καὶ κρα-

1 Iungunt vulgo καὶ φυτάρια ἐπιτίθεσθαι &c. Sed aut intercidisse h. l. aliquid existimavi, aut turbata certe esse quae sequuntur.

indicaverat, esse *vasa quae lebetibus supponantur*. Nam sic & Polemo Periegetes dicit, tertio libro ad Adaeum & Antigonum, ubi argumentum picturae exponit, quae Phliunte est in Polemarchorum porticu, Sillacis Rhegini opus, cuius & Epicharmus & Simonides meminerunt. Ait enim: *engytheca, & super ea cupellum*. Hegesander vero Delphus, in Commentario qui inscribitur de Statuis & Signis, *Glauci Chii*, ait, *suppositorium*, quod Delphis est, *veluti engythecam quamdam esse ferream, Halyatti donum*: cuius etiam Herodotus meminit, ὑποκρητηρίδιον vocans; (id est, *crateris suppositorium* vel *basin*:) cum quo consentit Hegesander. Vidimus autem illud nos quoque Delphis consecratum, vere dignum spectatu propter caelatas in eo varias animantium figuras, & alias insectorum plantarumque. Possunt autem in eo re-

τῆρας καὶ ἀλλὰ σκεύη. Ἡ δ' ὑπ' Ἀλεξανδρέων καλουμένη ἀγγοθήκη, [1] τρίγωνός ἐστι, κατὰ μέσον κοίλη, δέχεσθαι δυναμένη ἐντιθέμενον κεράμιον. ἔχουσι δὲ ταύτην οἱ μὲν πένητες ξυλίνην, οἱ δὲ πλούσιοι χαλκῆν [2] ἢ ἀργυρᾶν.

XLVI. Reges φιλόδειπνοι. Antiochus Sidetes.

Εἰπόντες οὖν περὶ ἐγγυθήκης, ἑξῆς πάλιν μνησθησόμεθα Φιλοδείπνων βασιλέων. Ὁ γὰρ τῷ προειρημένῳ Ἀντιόχῳ ὁμώνυμος βασιλεὺς, Δημητρίου δ' d υἱὸς, ὡς ἱστορεῖ Ποσειδώνιος, ὑποδοχὰς ποιούμενος καθ' ἡμέραν ὀχλικὰς, χωρὶς τῶν ἀναλισκομένων, σωρεύματα ἑκάστῳ ἀποφέρειν ἐδίδου τῶν ἑστιατόρων ὁλομελῆ [3] κρέα χερσαίων τε καὶ πτηνῶν καὶ θαλαττίων ζώων ἀδιαίρετα ἐσκευασμένα, ἅμαξαν πληρῶσαι δυνάμενα· καὶ μετὰ ταῦτα μελιπήκτων καὶ στε-

Epitomator: ἦν καὶ ὑποχρητηρίδιόν τινες καλοῦσι· δύνανται γὰρ ἐπιτίθεσθαι ἐπ' αὐτὸ καὶ κρατῆρες καὶ ἄλλα σκεύη. 1 ἐγγυθήκη ms. *Ep.* 2 χρυσῆν ms. *Ep.* 3 ὁλομερῆ edd. h. l. cum ms. *A.*

poni & crateres & alia vaſa. Quae vero ab Alexandrinis *angotheca* (ſive *engytheca*) vocatur, triangularis eſt, in medio cava, recipere valens impoſitum vas vinarium. Habent autem illam pauperes ligneam, divites vero aeneam aut argenteam.

46. Poſtquam de engytheca (*ſive* incitega) diximus, deinceps rurſus *Reges* commemorabimus *ſplendidarum Coenarum ſtudioſos*. Igitur eiusdem nominis cum praedicto Antiocho rex, Demetrii filius, ut narrat Poſidonius, magnam hominum turbam quotidie epulis excipiens, praeter ea quae abſumebantur, acervatim convivarum ſingulis auferendas dabat integras carnes animantium terreſtrium, volucrium, & marinorum, iam paratas & intactas, quae vel plauſtrum poſſent implere: & poſt haec mellitorum bellariorum & coronarum ex

φάνων ἐκ σμύρνης καὶ λιβανωτοῦ, σὺν ἀνδρομήκεσι
λημνίσκων πιλήμασι χρυσῶν, [1] πλήθη. Καὶ ἄλλος Antiochus
δ' Ἀντίοχος βασιλεὺς, ἐπιτελῶν τοὺς ἐν Δάφνῃ ἀγῶ- Grypus.
e νας, ἐποιήσατο καὶ αὐτὸς ὑποδοχὰς λαμπράς, ὡς
αὐτός [2] φησι Ποσειδώνιος. τὸ μὲν γὰρ πρῶτον ἀναδό-
σεις ἐποιήσατο κατ' ἄνδρα ὁλομελῶν βρωμάτων· με-
τὰ δὲ καὶ ζώντων χηνῶν, λαγωῶν, καὶ δορκάδων.
ἀνεδίδοντο δὲ καὶ χρυσοῖ στέφανοι τοῖς δειπνοῦσι, καὶ
ἀργυρωμάτων πλῆθος, καὶ θεραπόντων καὶ ἵππων
καὶ καμήλων. καὶ ἔδει ἀναβάντα ἐπὶ τὴν κάμηλον
πιεῖν ἕκαστον, καὶ λαβεῖν τὴν κάμηλον, καὶ τὸν
παρεστῶτα παῖδα. „Καὶ οἱ κατὰ τὴν Συρίαν δὲ Syri vulgo
πάντες, φησὶ, διὰ τὴν τῆς χώρας εὐβοσίαν, ἀπὸ crapulae
f τῆς περὶ τἀναγκαῖα κακοπαθείας συνόδους ἔνεμον dediti.
πλείους, ἵνα εὐωχοῖντο συνεχῶς, τοῖς μὲν γυμνα-
σίοις ὡς βαλανείοις χρώμενοι, ἀλειφόμενοι δὲ ἐλαίῳ
πολυτελεῖ καὶ μύροις· τοῖς δὲ γραμματείοις (οὕτως

1 χρυσοῖς vulgo h. l. 2 Rectius fuerit ὡς ὁ αὐτός.

myrrha & thure multitudinem, cum mitris longitudine hominis ex aureis fasciis. Rursus vero alius Antiochus rex, cum Daphnicos celebraret ludos, ut narrat idem Posidonius, pariter splendidis conviviis excepit hospites. Primum enim viritim integra fercula parata distribuit; deinde vero & vivos anseres, lepores, & dorcadas. Distribuebantur vero convivis aureae etiam coronae, & argenteorum vasorum multitudo, & famulorum, & equorum, & camelorum. Et quemque, ut camelum conscenderat, sic bibere oportebat, & camelum abducere cum adstante puero. »Omninoque Syri omnes, inquit, ob pascuorum ubertatem, ubi necessariis laboribus defuncti sunt, frequentes conventus publice celebrant, quibus continue epulantur, gymnasiis pro balneis utentes, oleo pretioso & unguentis sese inungen-

γὰρ ἐκάλουν τὰ κοινὰ τῶν συνδείπνων) ὡς οἰκητηρίοις ἐνδιαιτώμενοι, καὶ τὸ πλεῖον μέρος τῆς ἡμέρας γαστριζόμενοι ἐν αὐτοῖς οἴνοις καὶ βρώμασιν, ὥστε καὶ προσαποφέρειν πολλά, καὶ καταυλούμενοι πρὸς χελωνίδος [1] πολυκρότου ψόφους, ὥστε τὰς πόλεις ὅλας τοῖς τοιούτοις κελάδοις συνηχεῖσθαι."

XLVII. Athenaei libri de Syriae regibus.

Ἐπαινῶ δέ γε, ὦ ἄνδρες φίλοι, τὸ γενόμενον a παρ' Ἀλεξάνδρῳ τῷ βασιλεῖ τῆς Συρίας συμπόσιον. ὁ δ' Ἀλέξανδρος οὗτος ὢν [2] Ἀντιόχου τοῦ Ἐπιφανοῦς υἱὸς ὑποβληθεὶς, δι' ὃ [3] εἶχον μῖσος πάντες ἄνθρωποι εἰς Δημήτριον· περὶ οὗ ἱστόρησεν ὁ ἑταῖρος ἡμῶν Ἀθήναιος ἐν τοῖς Περὶ τῶν ἐν Συρίᾳ βασιλευσάντων. τὸ οὖν συμπόσιον τοῦτο τοιόνδε τι ἐγένετο. Διογένης ὁ Ἐπικούρειος, ἕξιν ἔχων ἱκανὴν ἐν οἷς μετεχειρίζετο λόγοις, τὸ μὲν γένος ἦν ἐκ Σελευκείας τῆς ἐν Βαβυλῶνι· ἀναδοχῆς δ' ἐτύγχανε παρὰ τοῦ βασιλέως, καί- b

Diogenes Epicureus.

1 πρὸς χελιδόνος vulgo. 2 ἦν corr. Casaub. recte, nisi quid in sequentibus intercidit. 3 διὸ vulgo.

tes, & in *grammateis* (sic enim adpellabant publica coenacula) tamquam domibus suis vitam agentes, in illisque maiorem diei partem vino & epulis & crapulae indulgentes, sic ut multa etiam insuper domum auferant; denique aures oblectantes tumultuoso testudinis strepitu, ita ut tota oppida talibus strepitibus resonent. «

47. Laudo vero equidem, amici, convivium apud Alexandrum Syriae regem celebratum: eum Alexandrum dico, qui Antiochi Epiphanis filius erat suppositicius propter omnium hominum adversus Demetrium odium: de quo exposuit familiaris noster Athenaeus in libris quos *De Syriae Regibus* edidit. Erat autem convivium huiusmodi. *Diogenes Epicureus*, satis in ea doctrina quam amplexus erat versatus, Seleucia oriundus Babylonica, benigne acceptus fuerat a rege, Stoicorum li-

τοι τοῖς ἀπὸ τῆς Στοᾶς λόγοις χαίροντος.[1] ἐπολυώρει οὖν αὐτὸν ὁ Ἀλέξανδρος, καίπερ ὄντα τῷ βίῳ φαῦλον, ἔτι δὲ βλάσφημον καὶ βάσκανον, ἕνεκά τε τοῦ γελοίου μηδὲ τῶν βασιλέων ἀπεχόμενον· καὶ αἰτησαμένῳ αὐτῷ φιλοσοφίας ἀλλοτρίαν αἴτησιν, ὅπως πορφυροῦν τε χιτωνίσκον φορῇ, καὶ χρυσοῦν στέφανον, ἔχοντα πρόσωπον ἀρετῆς κατὰ μέσον, ἧς ἱερεὺς ἠξίου προσαγορεύεσθαι, συνεχώρησε, καὶ τὸν στέφανον προσχαρισάμενος. ἅπερ ὁ Διογένης, ἐρασθείς τινος λυσιῳδοῦ γυναικὸς, ἐχαρίσατο αὐτῇ. Ἀκούσας δ' ὁ Ἀλέξανδρος, καὶ συναγαγὼν φιλοσόφων καὶ ἐπισήμων ἀνδρῶν συμπόσιον, ἐκάλεσε καὶ τὸν Διογένη· καὶ παραγενόμενον ἠξίου κατακλίνεσθαι ἔχοντα τὸν στέφανον καὶ τὴν ἐσθῆτα. ἄκαιρον δ' εἶναι εἰπόντος, νεύσας εἰσαγαγεῖν ἐκέλευσε τὰ ἀκούσματα, ἐν οἷς

1 χαίροντι vulgo.

cet placita magis probante. Hunc igitur in honore habebat Alexander, tametsi & vitam agentem parum honestam, adhaec maledicum & invidum, & risus movendi causa ne regibus quidem parcentem. Qui cum a rege petiisset rem a philosophia quidem satis alienam, ut sibi liceret tunicam gestare purpuream, & auream coronam, quae in medio praeferret Virtutis imaginem, cuius sacerdos ipse volebat adpellari; non modo concessit ei rex, sed & coronam insuper dono dedit. Quas res Diogenes, cum amore teneretur mulieris cuiusdam lysiodae, (*id est*, Bacchanalium cantatricis) dono illi dedit. Quod ubi rex rescivit, philosophorum aliorumque insignium virorum convivium instituit, ad illudque Diogenem quoque vocavit: ab eoque, ut venit, postulavit, ut corona & veste illa ornatus adcumberet. Qui quum dixisset, fore id ab illo tempore locoque alienum; nutu dato rex intromitti cantores iussit: quorum in

καὶ ἡ λυσιῳδὸς εἰσῆλθεν ἐστεφανωμένη τὰν τῆς ἀρετῆς στέφανον, ἐνδῦσα καὶ [1] τὴν πορφυρᾶν ἐσθῆτα. γέλωτος οὖν πολλοῦ καταῤῥαγέντος, ἔμενεν ὁ φιλόσοφος, καὶ τὴν λυσιῳδὸν ἐπαινῶν οὐκ ἐπαύσατο. Τοῦτον τὸν Διογένη ὁ μεταλαβὼν τὴν βασιλείαν Ἀντίοχος, οὐκ ἐνέγκας αὐτοῦ τὴν κακολογίαν, ἀποσφαγῆναι ἐκέλευσεν. ὁ δ' Ἀλέξανδρος πρασηνὴς ἦν ἐν πᾶσι, καὶ φιλολόγος ἐν ταῖς ὁμιλίαις· καὶ οὐχ ὅμοιος Ἀθηνίωνι τῷ Περιπατητικῷ φιλοσόφῳ, τῷ καὶ διατριβῆς προστάντι φιλοσόφου [2] Ἀθήνησί τε καὶ ἐν Μεσσήνῃ, ἔτι δὲ καὶ ἐν Λαρίσσῃ τῆς Θετταλίας· καὶ μετὰ ταῦτα τῆς Ἀθηναίων πόλεως τυραννήσαντι. περὶ οὗ καθ' ἕκαστα [3] ἱστορεῖ Ποσειδώνιος ὁ Ἀπαμεύς. Ἅπερ, εἰ καὶ μακρότερά ἐστιν, ἐκθήσομαι, ἵν' ἐπιμελῶς πάντας ἐξετάζωμεν τοὺς φάσκοντας εἶναι φιλο-

Athenio Peripateticus, tyrannus Athenarum.

1 ἐνδῦσα δὲ καὶ malim. 2 Temere προστάντι φιλοσόφῳ ed. Casaub. 2. & 3. 3 καθ' ἕκαστον edd.

numero intravit etiam lysioda, coronam virtutis in capite gestans, atque etiam purpuream illam vestem induta. Tum multo oborto risu, nihil turbatus philosophus, laudare lysiodam coepit, nec laudandi finem fecit. Huius Diogenis maledicentiam non ferens Antiochus, Alexandri in regno successor, iugulari hominem iussit. Alexander vero adversus omnes mitis ac lenis fuerat, & in congressibus disputare de rebus ad literarum studia pertinentibus amaverat, minime similis ATHENIONI, *philosopho Peripatetico*; qui, postquam scholae quoque philosophicae praefuerat Athenis, & Messenae, atque etiam Lariſſae in Thessalia, postremo *tyrannus* exstitit *civitatis Athenienſium*: de quo adcurate & particulatim omnia scripsit Posidonius Apamensis. Quae ego, quamquam longiora sunt, exponam; quo diligentius cunctos explorare discamus, qui se Philosophos esse

σόφους, καὶ μὴ τοῖς τριβωνίοις καὶ τοῖς ἀκάρτοις πώγωσι πιστεύωμεν. κατὰ γὰρ τὸν Ἀγάθωνα,

Εἰ μὲν φράσω τἀληθὲς, οὐχί σ' εὐφρανῶ·
εἰ δ' εὐφρανῶ τί σ', οὐχὶ τἀληθὲς φράσω.

Ἀλλὰ, φίλη, φασὶν, ἡ ἀλήθεια· ἐκθήσομαι τὰ περὶ τὸν ἄνδρα ὡς ἐγένετο.

XLVIII. Ortus hominis, & prima conditio.

„Ἐν τῇ Ἐρυμνέως τοῦ Περιπατητικοῦ σχολῇ διέτριβέ τις Ἀθηνίων, προσκαρτερῶν τοῖς λόγοις· ὅστις Αἰγυπτίαν ὠνησάμενος θεράπαιναν, ἐπεπλέκετο αὐτῇ. ταύτης οὖν εἴτ' ἐξ αὐτοῦ τεκούσης, εἴτ' ἐξ ἄλλου τινὸς, ὁμώνυμος Ἀθηνίωνι τῷ δεσπότῃ παρετρέφετο. γράμματα δὲ μαθὼν, καὶ πρεσβύτην γενόμενον τὸν δεσπότην μετὰ τῆς μητρὸς ἐχειραγώγει· καὶ ἀποθανόντα κληρονομήσας, παρέγγραφος Ἀθηναίων πολίτης ἐγένετο. γήμας τε παιδισκάριον εὔμορφον, μετὰ

profitentur, neque detritis palliis aut intonsis barbis temere fidem habeamus. Nam quod ait Agathon:

Si vera dicam, gaudio tibi non ero:
si gaudio sum, vera non dicam tibi.

Sed *amica*, ut in proverbio aiunt, *sit veritas:* exponam equidem huius hominis historiam, uti res habet.

48. »In Erymnei Peripatetici schola versabatur quidam Athenio, doctrinae sedulam dans operam. Is postquam Aegyptiam emisset famulam, cum ea consuetudinem habebat. Ex hac igitur, sive ex ipsius complexu, sive ex nescio cuius, natus eiusdem cum Athenione nominis servulus, in eius domo educabatur. Qui quum didicisset literas, & senem iam dominum cum matre manu ducere solitus esset, mortuo illi haeres successit, & adscriptitius civis Atheniensis factus est. Deinde in matrimonium ducta formosa puella, simul cum ea ad

τούτου πρὸς τὸ σοφιστεύειν ὥρμησε, μειράκια σχολαστικὰ θηρεύων. καὶ σοφιστεύσας ἐν Μεσσήνῃ, κἀν a
Λαρίσσῃ τῇ Θετταλικῇ, καὶ πολλὰ ἐργασάμενος
Athenio, legatus Athenienſ. ad Mithrid. χρήματα, ἐπανῆλθεν εις τὰς Ἀθήνας. Καὶ χειροτονηθεὶς ὑπὸ τῶν Ἀθηναίων πρεσβευτὴς, ὅτε εἰς Μιθριδάτην τὰ πράγματα μετέῤῥει, ὑποδραμὼν τὸν βασιλέα, τῶν φίλων εἷς ἐγένετο, μεγίστης τυχὼν προαγωγῆς. Διόπερ μετεώριζε τοὺς Ἀθηναίους δι' ἐπιστολῶν, ὡς τὰ μέγιστα παρὰ τῷ Καππαδόκῃ δυνάμενος, ὥστε μὴ μόνων τῶν ἐπιφερομένων ὀφλημάτων ἀπολυθέντας ἐν ὁμονοίᾳ ζῆν, ἀλλὰ καὶ τὴν δημοκρατίαν ἀνακτησαμένους, καὶ δωρεῶν μεγάλων τυχεῖν b
ἰδίᾳ καὶ δημοσίᾳ. Ταῦτα οἱ Ἀθηναῖοι διεκόμπουν, τὴν Ῥωμαίων ἡγεμονίαν καταλελύσθαι πεπιστευκότες.“

docendas literas ſe contulit, adoleſcentulos venans qui ſcholam ipſius frequentarent. Igitur literarum doctrinam profeſſus cum Meſſenae, tum Lariſſae in Theſſalia, multa comparata pecunia, Athenas rediit. Ibi populi ſuffragiis nominatus Legatus ad Mithridatem, cuius tunc maxime eminebat potentia, ita ſe inſinuavit in regis benevolentiam, ut in amicorum numerum ab eo receptus, ſummo in honore apud eum haberetur. Itaque ad rerum novarum ſpem animos erexit Athenienſium, crebris miſſis epiſtolis; quibus, pro ſumma qua apud Cappadocem ipſe valeret auctoritate, fore pollicebatur, ut non modo mulctis irrogatis liberati in pace & concordia viverent, ſed & reſtitutâ populi poteſtate magna inſuper munera & privatim & publice eſſent nacturi. Quibus promiſſis faſtuoſe gloriabantur Athenienſes, iamiam everſam eſſe Romanorum potentiam ſibi perſuadentes.“

XLIX. Athenas magno cum fastu redit.

„Ἤδη οὖν τῆς Ἀσίας μεταβεβλημένης, ὁ Ἀθηνίων ἐπανῆκεν εἰς τὰς Ἀθήνας· καὶ ὑπὸ χειμῶνος ἐνοχληθεὶς, εἰς τὴν Καρυστίαν κατηνέχθη. τοῦτο μαθόντες οἱ Κεκροπίδαι, ἔπεμψαν ἐπὶ τὴν ἀνακομιδὴν αὐτοῦ ναῦς μακρὰς, καὶ Φορεῖον ἀργυρόπουν. Ἀλλ' εἴσεισιν ἤδη· καὶ σχεδὸν τὸ πλεῖστον μέρος τῆς πόc λεως ἐπὶ τὴν ἐκδοχὴν αὐτοῦ ἐξεκέχυντο· [1] συνέτρεχον δὲ πολλοὶ καὶ ἄλλοι θεαταὶ, τὸ παράδοξον τῆς τύχης θαυμάζοντες, εἰ ὁ παρέγγραφος Ἀθηνίων εἰς Ἀθήνας ἐπ' ἀργυρόποδος κατακομίζεται Φορείου καὶ πορφυρῶν στρωμάτων, ὁ μηδέ ποτε ἐπὶ τοῦ τρίβωνος ἑωρακὼς πορφύραν πρότερον· οὐδενὸς οὐδὲ Ῥωμαίων ἐν τοσαύτῃ φαντασίᾳ καταχλιδῶντος τῆς Ἀττικῆς. συνέτρεχον οὖν πρὸς τὴν θέαν ταύτην, ἄνδρες, γυναῖκες, παῖδες, τὰ κάλλιστα προσδοκῶντες παρὰ Μιθριδάτου· ὁπότε Ἀθηνίων ὁ πένης καὶ τὰς ἐρανικὰς ποιησά-

[1] ἐξεκέχυτο edd. cum ms. *Ep.*

49. »Cum iam Asia omnis ad regem defeciſſet, Athenas reverſus eſt Athenio: ſed tempeſtate iactatus, Caryſtum delatus eſt. Id ubi reſciverunt Cecropidae, mittunt ad eum deducendum naves longas, & lectícam argenteis pedibus fultam. Sed iam ille urbem intrat: & plurima fere civium pars ad eum excipiendum effuſa erat: confluebatque ſimul aliorum multitudo ſpectatorum, inopinatum mirantium fortunae luſum, adſcriptitium Athenionem Athenas intrantem, lectica geſtatum argenteis ornata pedibus, & purpureis ſtragulis ſtrata; eum qui trito pallio veſtitus purpuram numquam antea vidiſſet; quum nullus ne Romanus quidem tanto faſtu Atticae terrae inſultaſſet. Confluebant igitur ad id ſpectaculum viri, mulieres, pueri, laetiſſima quaeque a Mithridate exſpectantes: interea dum Athenio, quondam inops, & operâ quaeſtuariâ ludimagiſter, re-

μενος ἀκροάσεις, διὰ τὸν βασιλέα σιληπορδῶν διὰ d
τῆς χώρας καὶ πόλεως πομπεύει. Συνήντησαν δ' αὐ-
τῷ καὶ οἱ περὶ τὸν Διόνυσον τεχνῖται, τὸν ἄγγελον
τοῦ νέου Διονύσου καλοῦντες ἐπὶ τὴν κοινὴν ἑστίαν καὶ
τὰς περὶ ταύτην εὐχάς τε καὶ σπονδάς. ὁ δὲ πρότε-
ρον ἐκ μισθωτῆς οἰκίας ἐξιὼν, εἰς τὴν Δι . . . οἰκίαν, [1]
τοῦ τότε πλουτοῦντος ἀνθρώπου ταῖς ἐκ Δήλου προσό-
δοις, εἰσενέχθη κεκοσμημένην στρωμναῖς τε καὶ γρα-
φαῖς καὶ ἀνδριᾶσι [2] καὶ ἀργυρωμάτων ἐκθέσει. ἀφ'
ἧς ἐξῄει χλαμύδα λαμπρὰν ἐκσύρων, καὶ περικείμε-
νος δακτύλιον χρυσίου, ἐγγεγλυμένην ἔχοντα τὴν Μι- e
θριδάτου εἰκόνα· προεπόμπευον δ' αὐτοῦ καὶ ἐφείποντο
θεράποντες πολλοί. ἐν δὲ τῷ τεμένει τῶν τεχνιτῶν
θυσίαι τε ἐπετελοῦντο ἐπὶ τῇ Ἀθηνίωνος παρουσίᾳ,
καὶ μετὰ κήρυκος προαναφωνήσεως σπονδαί. Καὶ τῇ
ὑστεραίᾳ πολλοὶ μὲν ἐπὶ τὴν οἰκίαν ἐλθόντες ἀνέμενον

1 εἰς τὴν διευσοικίαν vulgo. 2 Vulgo ἀνδράσι.

gis favore nixus per regionem & urbem cum inſolenti laſcivia pompam ducit. Obviam ei proceſſerant etiam artifices Bacchici (ſcenici,) nuncium *novi Bacchi* ad communem focum, & preces libationesque ibi peragendas vocantes. Et qui olim ex aedibus mercede conductis egreſſus erat, nunc in Di . . . domum, hominis Deli reditibus omnium ditiſſimi, deductus eſt, ſtragulis, picturis, ſtatuis, & argenteorum vaſorum expoſitione ſplendentem: e qua exibat nitentem chlamydem trahens, & aureum annulum geſtans, cui Mithridatis inſculpta effigies erat: & comitabatur eum ſequebaturque famulorum multitudo. In delubro vero (ſcenicorum) artificum ſacrificia peragebantur, & libationes praeconis voce proclamatae, adventus cauſſa Athenionis. Et poſtero die hominum multitudo ad aedes conveniebant, egreſſum eius exſpectantes: & re-

αὐτοῦ τὴν πρόοδον. [1] πλήρης δ' ἦν καὶ ὁ Κεραμεικὸς ἀστῶν καὶ ξένων, καὶ αὐτόκλητος εἰς τὴν ἐκκλησίαν τῶν ὄχλων συνδρομή. ὁ δὲ μόλις προῆλθε, δορυφορούf μενος ὑπὸ τῶν εὐδοκιμεῖν παρὰ τῷ δήμῳ θελόντων, ἑκάστου σπεύδοντος κἂν προσάψασθαι τῆς ἐσθῆτος."

L. Athenienis oratio ad populum.

„Ἀναβὰς οὖν ἐπὶ τὸ βῆμα τὸ πρὸ τῆς Ἀττάλου στοᾶς ᾠκοδομημένον τοῖς Ῥωμαίων στρατηγοῖς, στὰς ἐπὶ τούτου, καὶ περιβλέψας κυκληδὸν τὸ πλῆθος, ἔπειτα ἀναβλέψας· „Ἄνδρες Ἀθηναῖοι, ἔφη, τὰ πράγματά με βιάζεται, καὶ τὸ τῆς πατρίδος συμφέρον, ἀπαγγέλλειν ἃ οἶδα. τὸ δὲ μέγεθος τῶν μελλόντων λέγεσθαι, διὰ τὸ παράδοξον τῆς περιστάσεως, ἐμποδίζει με." Ἀθρόως δ' ἐπιβοησάντων αὐτῷ τῶν πεa ριεστώτων θαῤῥεῖν καὶ λέγειν· „Λέγω τοίνυν, ἔφη, τὰ μηδέποτε ἐλπισθέντα, μηδὲ ἐν ὀνείρῳ φαντασθέν-

1 πρόσοδον edd. cum ms. *A.*

pletus erat Ceramicus civibus & peregrinis; eratque ſpontaneus, nemine indicente, ad concionem concurſus. Ille vero ad extremum egreſſus eſt, ſtipatus ab iis qui populi favorem captabant: & magni faciebat quisque, ſi vel veſtimenta hominis contrectare poſſet."

50. »Iam poſtquam tribunal conſcendiſſet, quod ante Attali porticum praetoribus Romanis fuerat exſtructum; in eo ſtans, primum in orbem circumtulit oculos in praeſentem multitudinem; deinde ſurſum ſpectans, ſic exorſus eſt: *Res ipſa me cogit, Athenienſes, & patriae utilitas, ut quae comperta habeo, ea enunciem. Sed eorum, quae dicenda ſunt, magnitudo, cum prorſus incredibilis ſit haec rerum converſio, me retinet.* Tum vero una voce cunctis qui circumſtabant, *Fidenter proloqueretur*, clamantibus, in hunc modum perrexit. *Dicam igitur*, inquit, *quae praeter omnium acciderunt opinionem, quaeve nemo ne per ſomnium quidem ſibi*

τα. Βασιλεὺς Μιθριδάτης κρατεῖ μὲν Βιθυνίας καὶ τῆς ἄνω Καππαδοκίας· κρατεῖ δὲ τῆς συνεχοῦς Ἀσίας ἁπάσης ἄχρι Παμφυλίας καὶ Κιλικίας. καὶ βασιλεῖς μὲν αὐτὸν [1] Ἀρμενίων καὶ Περσῶν δορυφοροῦσι· δυναστεύει δὲ [2] τῶν περὶ τὴν Μαιῶτιν καὶ τὸν ὅλον Πόντον κατῳκισμένων ἐθνῶν ἐν περιμέτρῳ τρισμυρίων [3] σταδίων. Ῥωμαίων δὲ στρατηγὸς μὲν Παμφυλίας, Κόϊντος Ὄππιος, [4] παραδοθεὶς ἀκολουθεῖ δέσμιος. Μάνιος [5] δὲ Ἀκύλλιος, ὁ ὑπατευκὼς, ὁ τὸν ἀπὸ Σι- b κελίας καταγαγὼν θρίαμβον, συνδέτην [6] ἔχων ἀλύσει μακρᾷ Βαστάρνην πεντάπηχυν πεζὸς ὑπὸ ἱππέως ἕλκεται. τῶν δ' ἄλλων Ῥωμαίων οἱ μὲν θεῶν ἀγάλμασι προσπεπτώκασιν· [7] οἱ δὲ λοιποὶ μεταμφιεσάμενοι τετράγωνα ἱμάτια, τὰς ἐξ ἀρχῆς πατρίδας πάλιν ὀνομάζουσι. Πᾶσα δὲ πόλις ταῖς ὑπὲρ ἄνθρωπον τιμαῖς ὑπαντῶσα, κατακαλεῖται τὸν θεὸν βασιλέα·

1 αὐτῷ edd. 2 δυνάσται δὲ vulgo. 3 μυρίων legit Epitomator. 4 ὁ Ἵππιος edd. vett. cum ms. *A*. ὁ Ὄππιος ed. Caſ. 5 Μάλιος ms. *A*. Μάλλιος ms. *Ep*. Μάνλιος edd. 6 σύνδετον videtur oportuiſſe. 7 Forſ. προσπεπτωκότες πεπτώκασιν, *procumbentes ceciderunt.*

fingere potuerat. Rex Mithridates Bithyniam obtinet & ſuperiorem Cappadociam: obtinetque continentem omnem Aſiam, ad Pamphyliam usque & Ciliciam. Armeniorum reges Perſarumque pro cuſtodibus corporis habet: dominaturque populis omnibus qui circa Maeotim totumque Pontum in tricies mille ſtadiorum circuitu habitant. Romanus vero Pamphyliae praetor, Quintus Oppius, traditus vinctusque ſequitur eum. Manius Aquillius, vir conſularis, is qui de Sicilia triumphum egit, pedes ab equite trahitur Baſtarna, quinque cubitorum homine, longa catena cum illo colligatus. Caeterorum Romanorum civium alii ad Deorum ſimulacra procubuerunt; reliqui, ſumta denuo quadrata veſte, priorem quisque patriam rurſus fatentur. Cunctae autem civitates auguſtiore honore quam pro mortalium ſorte regem pro-

χρησμοὶ δὲ πάντοθεν τὸ κράτος τῆς οἰκουμένης Θε-
c σπιωδοῦσι. Διὸ καὶ πρὸς τὴν Θράκην καὶ τὴν Μα-
κεδονίαν μεγάλα πέμπεται στρατόπεδα· καὶ τὰ τῆς
Εὐρώπης ἅπαντα μέρη ἀθρόα εἰς αὐτὸν μεταβέβλη-
ται. πάρεισι γὰρ πρὸς αὐτὸν πρέσβεις, οὐ μόνον ἐκ
τῶν Ἰταλικῶν ἐθνῶν, ἀλλὰ καὶ παρὰ Καρχηδονίων,
συμμαχεῖν ἀξιοῦντες ἐπὶ τὴν τῆς Ῥώμης ἀναίρεσιν."

LI.

Populum adv. Romanos concitat Athenio.

Μικρὸν δ' ἐπισχὼν ἐπὶ τούτοις, καὶ ἐάσας τοὺς
πολλοὺς συλλαλῆσαι περὶ τῶν παραδόξως προηγγελ-
μένων, τρίψας τὸ μέτωπον· „Τί οὖν, εἶπε, συμβου-
λεύω; Μὴ ἀνέχεσθαι τῆς ἀναρχίας, ἣν ἡ Ῥωμαίων
d σύγκλητος ἐπισχεθῆναι πεποίηκεν, ἕως αὐτὴ δοκιμά-
σῃ περὶ τοῦ πῶς ὑμᾶς πολιτεύεσθαι δεῖ. Καὶ μὴ
περιίδωμεν τὰ ἱερὰ κεκλεισμένα, αὐχμῶντα δὲ τὰ
γυμνάσια, τὸ θέατρον ἀνεκκλησίαστον, ἄφωνα δὲ
τὰ δικαστήρια, καὶ τὴν θεῶν χρησμοῖς καθωσιωμέ-

sequentes, Deum illum invocant: & oracula undique imperium orbis eidem vaticinantur. Igitur numerosi exercitus adversus Thraciam Macedoniamque ab eo mittuntur: & omnes Europae partes certatim ad eiusdem partes transierunt. Sunt enim apud eum legati, non modo ab Italicis populis missi, verum etiam a Carthaginiensibus, ad societatem armorum eum invitantes in Romanorum exitium.

51. His dictis, nonnihil interquievit, spatiumque dedit multitudini de rebus praeter opinionem expositis inter se differendi. Tum frontem perfricans, resumto sermone: *Quid ergo vobis consulam?* inquit. *Nempe, ne diutius feratis hunc rerum statum, quo sine certo imperio respublica est: qui status ut duraret effecit Romanus senatus, donec ipse statuisset, quanam reipublicae forma uteremini! Nec vero diutius patiamur clausa templa, squalentia gymnasia, theatrum desertum, muta tribunalia, ademtum populo Pnycem Deorum*

νην Πνύκα ἀφῃρημένην τοῦ δήμου. μὴ περιΐδωμεν δὲ, ἄνδρες Ἀθηναῖοι, τὴν ἱερὰν τοῦ Ἰάκχου φωνὴν κατασεσιγασμένην, καὶ τὸ σεμνὸν ἀνάκτορον τοῖν θεοῖν κεκλειμένον,[1] καὶ τῶν φιλοσόφων τὰς διατριβὰς ἀφώνους." Πολλῶν οὖν καὶ ἄλλων τοιούτων λεχθέντων ὑπὸ τοῦ οἰκότριβος, συλλαλήσαντες αὐτοῖς οἱ ὄχλοι, e καὶ συνδραμόντες εἰς τὸ θέατρον, εἵλοντο τὸν Ἀθηνίωνα στρατηγὸν ἐπὶ τῶν ὅπλων. Καὶ παρελθὼν ὁ Περιπατητικὸς εἰς τὴν ὀρχήστραν, ἶσα βαίνων Πυθοκλεῖ, εὐχαρίστησε τε τοῖς Ἀθηναίοις, καὶ ἔφη, διότι[2] „Νῦν ὑμεῖς ἑαυτῶν στρατηγεῖτε, προέστηκα δ' ἐγώ.[3] καὶ ἂν συνεπισχύσητε, τοσοῦτον δυνήσομαι, ὅσον κοινῇ πάντες ὑμεῖς." Ταῦτ' εἰπὼν, συγκατέστησεν ἑαυτῷ τοὺς ἄλλους ἄρχοντας, ὧν ἠβούλετο ὑποβαλὼν[4] τὰ ὀνόματα.

Praetor creatus Athenienſium;

LII.

Καὶ μετ' οὐ πολλὰς ἡμέρας, τύραννον αὐτὸν f

1 κεκλεισμένον edd. cum ms. *Ep.* 2 Ignorat διότι Epit. 3 Vulgo προέστηκα λέγων. 4 ὑποβάλλων ed. Caſ.

oraculis conſecratam! Ne patiamur amplius, Athenienſes, ad ſilentium redactam ſanctam Iacchi vocem, & clauſam Caſtorum auguſtam aedem, & mutas ſcholas philoſophorum! Haec & id genus alia cum vernula iſte dixiſſet, multitudo tumultuarie collatis inter ſe ſermonibus in theatrum concurrit, & Praetorem ad bellum gerendum Athenionem nominant. Et progreſſus in orcheſtram Peripateticus noſter, *Pythocleo quodam inceſſu*, gratias egit Athenienſibus, his verbis concludens orationem: *Nunc vos ipſi duces eſtis veſtrûm: ego vero praeſum. Quem ſi veſtris viribus vos adiuveritis, tantumdem ego potero quantum vos ſimul omnes.* Haec locutus, alios ſibi magiſtratus cooptavit, propoſitis eorum quos voluerat nominibus.

52. Et paucis poſt diebus tyrannidem occupans phi-

ἀναδείξας ὁ Φιλόσοφος, καὶ [1] τὸ τῶν Πυθαγορικῶν ἀναδείξας δόγμα περὶ τῆς ἐπιβουλῆς, καὶ τί ἠβούλετο αὐτοῖς ἡ Φιλοσοφία, ἣν ὁ καλὸς Πυθαγόρας εἰσηγήσατο, καθάπερ ἱστόρησε Θεόπομπος ἐν ὀγδόῃ Φιλιππικῶν, καὶ [2] Ἕρμιππος ὁ Καλλιμάχειος· [3] εὐθέως καὶ οὗτος τοὺς μὲν εὐφρονοῦντας τῶν πολιτῶν (παρὰ τὰ Ἀριστοτέλους καὶ Θεοφράστου δόγματα· ὡς ἀληθῆ εἶναι τὴν παροιμίαν τὴν λέγουσαν, Μὴ παιδὶ μάχαιραν,) ἐκποδὼν εὐθὺς ἐποιήσατο, φύλακας δ' ἐπὶ τὰς πύλας κατέστησεν· ὡς νύκτωρ πολλοὺς τῶν Ἀθηναίων, εὐλαβουμένους τὸ μέλλον, διὰ τῶν τειχῶν αὐτοὺς καθιμήσαντας φεύγειν. καὶ ὁ Ἀθηνίων ἱππέας ἐπαποστείλας, οὓς μὲν ἐφόνευσεν, οὓς δὲ καὶ δεδεμένους κατήγαγεν, δορυφόρους ἔχων πολλοὺς τῶν Θρακτικῶν καλουμένων. συνάγων δὲ καὶ Tyrannidem occupat Athenio.

1 Deest καὶ ed. Cas. Plura desunt editt. vett. 2 Perperam ἀλλ' Ἕρμ. edd. 3 Καλλιμάχιος ms. *A*.

losophus, & Pythagoricorum decreta de insidiis quam vim habeant ostendens, & quorsum tetenderit illis Philosophia ea, quam praeclarus introduxerat Pythagoras; quemadmodum Theopompus docuit octavo libro Rerum Philippicarum, & Hermippus Callimachi discipulus; continuo hic quoque, quicumque bene animati erant ex civibus (contra Aristotelis & Theophrasti praecepta; ex quo veritatem agnoscas proverbii, *Ne gladium puero!*) recta e medio sustulit, custodes vero ad portas locavit. Quo factum, ut Athenienſium multi, imminens metuentes periculum, noctu per muros loris sese demittentes profugerent: quos Athenio missis equitibus persecutus, partim occidit, partim vinctos retraxit: multos enim habebat satellites ex eorum genere, qui *cataphracti* (id est, undique armati) adpellantur. Nonnumquam etiam convocatis concionibus,

ἐκκλησίας πολλάκις, τὰ Ῥωμαίων Φρονεῖν προσεποιεῖτο· καὶ πολλοῖς αἰτίας ἐπιφέρων, ὡς διαπεμπομένοις πρὸς τοὺς Φυγάδας καὶ νεωτερίζουσιν, ἐφόνευεν [1] αὐτούς· καὶ τὰς πύλας, τριάκοντα καταστήσας ἐφ' ἑκάστης, οὔτ' εἰσιέναι τὸν βουλόμενον, οὔτ' ἐξιέναι εἴα. Ἀνελάμβανε δὲ καὶ τὰς οὐσίας πολλῶν, καὶ τοσαῦτα χρήματα συνήθροισεν, ὡς καὶ Φρέατα πληρῶσαι πλείονα. ἐξαπέστειλε δὲ καὶ ἐπὶ τὴν χώραν ὥσπερ ὀδοιδόκους τῶν ἀποχωρούντων, οἵτινες αὐτοὺς ἀνῆγον ὡς αὐτόν· καὶ ἀκρίτους ἀπώλλυε, προσβασανίσας [2] καὶ στρεβλώσας. πολλοῖς δὲ καὶ προδοσίας δίκας ἐπῆγεν, ὡς τοῖς Φυγάσι περὶ καθόδου συνεργοῦσιν· ὧν οἱ μὲν διὰ τὸν φόβον πρὸ τῆς κρίσεως ἔφευγον, οἱ δ' ἐν τοῖς δικαστηρίοις κατεδικάζοντο, αὐτοῦ τὰς ψήφους Φέροντος. Ἐνειργάσατο δ' ἐν τῇ πόλει καὶ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἔνδειαν, b c

1 ἐφόνευσεν ed. Baf. & Caf. 2 Forf. προβασανίσας.

ſimulabat ſtudium partium Romanarum: [quo cognoſceret aliorum voluntatem?] multosque, crimine impacto quod ad profugos miſſitarent, novisque rebus ſtuderent, morte adficiebat: &, ad quamque portam triginta locatis ſatellitibus, neminem intrare portas aut egredi patiebatur. Multorum vero etiam facultates rapiebat, & tantam pecuniae collegit vim, ut plures etiam puteos impleret. Emittebat quoque in circumiectam regionem obſeſſores viarum, & profugientium exploratores, qui eos ad ipſum retraherent: quos, indicta cauſſa, inter tormenta & cruciatus necabat. Multos etiam proditionis crimine in iudicium poſtulavit, quod exſulibus reditum procurare ſtuderent: quorum alii timore ante iudicium profugerunt, alii in iudiciali foro, ipſo ſuffragia rogante, condemnati ſunt. Rerum etiam ad vitam neceſſariarum in urbe inopiam invexit, vile hor-

κριθίδια καὶ πυροὺς ὀλίγους διαμετρῶν. ἐξέπεμπε δὲ καὶ ἐπὶ τῆς χώρας ὁπλίτας, τοὺς θηρεύσοντας εἴ τις τῶν ἀνακεχωρηκότων ἐντός ἐστι τῶν ὅρων, ἢ τῶν Ἀθη-
d ναίων τις εἰς τὴν ὑπερόριον ἀποδημεῖ· καὶ τὸν ληφθέντα ἀπετυμπάνιζεν, ὧν ἐνίους καὶ προκατανάλισκε ταῖς βασάνοις. ἐκήρυσσέν τε, δύνοντος [1] ἡλίου πάντας οἰκουρεῖν, καὶ [2] μετὰ λυχνοφόρου μηδένα φοιτᾶν.

LIII. Apellicon, ab Athenione Delum missus:

Καὶ οὐ μόνον τὰ τῶν πολιτῶν διήρπαζεν, ἀλλ' ἤδη καὶ τὰ τῶν ξένων, ἐκτείνας τὰς χεῖρας καὶ ἐπὶ τὰ εἰς Δῆλον τοῦ θεοῦ χρήματα. ἐκπέμψας γοῦν εἰς τὴν νῆσον Ἀπελλικῶντα, τὸν Τήϊον, πολίτην δὲ Ἀθη-
e ναίων γενόμενον, ποικιλώτατόν τινα καὶ ἀψίκορον ζήσαντα βίον. ὁτὲ μὲν γὰρ ἐφιλοσόφει, καὶ τὰ Περιπατητικὰ καὶ τὴν Ἀριστοτέλους βιβλιοθήκην καὶ ἄλ-

1. Forſ. δύναντος. 2. An καὶ μηδὲ μετὰ λυχνοφόρου?

deum & paululum tritici diſtribuens. Mittebat etiam in agros milites, perveſtigaturos ſi quis vel eorum, qui profugiſſent, intra fines reperiretur, aut ſi quis Athenienſium extra fines proficiſceretur: & qui deprehenſus eſſet, is fuſtibus caeſus ſecuri percutiebatur, ac nonnulli etiam ante in ipſis tormentis vitam finiebant. Denique per praeconem edicebat, ut ſub ſolis occaſum quisque domi ſe teneret, & nemo cum lucerna [*ſive*, ne cum lucerna quidem] foras egrederetur.

53. Nec vero civium ſolum fortunas diripiebat, verum etiam peregrinorum; theſauris quoque Delii Dei manum iniiciens. Miſit quippe in illam inſulam APELLICONTEM, Teium genere, ſed in civium numerum Athenienſium receptum; hominem qui vitam inconſtantiſſimam & novi ſemper aliquid ſectantem agebat. Fuit enim tempus cum philoſopharetur, & Peripatetica omnia & Ariſtotelis bibliothecam aliasque multas coëme-

λας συνηγόραζε συχνάς· ἦν γὰρ πολυχρήματος. τὰς τ' ἐκ τοῦ Μητρῴου τῶν παλαιῶν αὐτόγραφα ψηφίσματα ὑφαιρούμενος ἐκτᾶτο, καὶ ἐκ τῶν ἄλλων πόλεων εἴ τι παλαιὸν εἴη καὶ ἀπόθετον. ἐφ' οἷς φωραθεὶς ἐν ταῖς Ἀθήναις ἐκινδύνευσεν ἂν, εἰ μὴ ἔφυγεν. καὶ μετ' οὐ πολὺ πάλιν κατῆλθε, θεραπεύσας πολλούς· καὶ συναπεγράφετο τῷ Ἀθηνίωνι, ὡς ἂν ἀπὸ τῆς αὐτῆς δὴ αἱρέσεως [1] ὄντι. Ἀθηνίων δ', ἐπιλαβόμενος [2] τῶν δογμάτων τῶν τοῦ Περιπάτου, χοίνικα ἀριθῶν εἰς τέσσαρας ἡμέρας διεμέτρει τοῖς ἀνοήτοις Ἀθηναίοις, ἀλεκτορίδων τροφὴν, καὶ οὐκ ἀνθρώπων αὐτοῖς διδούς. Ἀπελλικῶν δὲ μετὰ δυνάμεως ἐξορμήσας εἰς Δῆλον, καὶ πανηγυρικῶς μᾶλλον ἢ στρατιωτικῶς ἀναστρεφόμενος, καὶ προφυλακὴν ἀμελεστέραν πρὸς τὴν Δῆλον μερίσας, μάλιστα δὲ τὰ ἐξόπι-

1 διαιρέσεως mss. 2 ἐπιλαθόμενος interpretatus sum.

ret: erat enim a pecunia abunde instructus. Tum vero & ex Magnae Matris templo autographa veterum plebiscita & senatusconsulta surrepta, & ex aliis civitatibus, quidquid priscum & rarum ac reconditum esset, corraserat. Quo in furto deprehensus Athenis, capitis adiisset periculum, ni fuga evasisset. Sed non multo post, officiis & obsequiis demeritus multos, Athenas rediit; ibique consiliis coeptisque suffragatus est Athenionis, ob sectae societatem. At Athenio, Lycei praecepta oblitus, choenicem hordei in quatuor dies dimetiebatur stolidis Athenienſibus, gallinarum eis dans pabulum, non alimentum hominum. Apellicon vero, postquam cum exercitu Delum traiecit, tamquam ludos & festa celebrans magis, quam ut belli dux, ibi agebat: stationibus adversus urbem negligentius collocatis; ea maxime insulae parte, quae a tergo erat, prorsus sine

σθεν τῆς νήσου ἐάσας ἀφύλακτα, καὶ οὐδὲ χάρακα βαλλόμενος, ἐκοιμᾶτο. τοῦτο δὲ ἐπιγνοὺς ὁ Ὀρόβιος, repellitur ab Orbio, praetore Romano.
a στρατηγὸς Ῥωμαίων, καὶ φυλάσσων τὴν Δῆλον, φυλάξας ἀσέληνον νύκτα, καὶ ἐκβιβάσας τοὺς ἑαυτοῦ στρατιώτας, κοιμωμένους καὶ μεθύουσιν ἐπιπεσὼν, κατέκοψε τοὺς Ἀθηναίους καὶ τοὺς μετ' αὐτῶν συστρατευομένους, ὡς βοσκήματα, ἑξακοσίους τὸν ἀριθμόν· ἐζώγρησε δὲ καὶ περὶ τετρακοσίους. καὶ ὁ καλὸς στρατηγὸς Ἀπελλικῶν ἔλαθε φυγὼν ἐκ Δήλου. πολλοὺς δὲ καὶ συμφυγόντας κατιδὼν ὁ Ὀρόβιος εἰς ἐπαύλεις, συγκατέφλεξεν αὐταῖς οἰκίαις, καὶ πάντα αὐτῶν τὰ πολιορκητικὰ ὄργανα σὺν τῇ
b Ἑλεπόλει, ἣν εἰς Δῆλον ἐλθὼν κατεσκεύακει. Στήσας οὖν τρόπαιον ἐπὶ τῶν τόπων ὁ Ὀρόβιος καὶ βωμὸν, ἐπέγραψε·

Τούσδε θανόντας ἔχει ξείνους τάφος, οἱ περὶ Δῆλον

custodia relicta; ne castris quidem vallo munitis, secure dormiebat. Quo cognito, *Orbius* praetor Romanorum, [*Orobium* scriptor Graecus vocat] qui Delum urbem praesidio tenebat, observata nocte illuni, eductis suis militibus dormientes ebriosque adortus, pecudum more Athenienses & qui cum illis arma sociaverant trucidavit, sexcentos numero; ad quadringentos vero vivos cepit. Praeclarus dux Apellico clam fugâ ex insula se eripuit. Orbius vero, quum multos in villas confugisse intellexisset, simul cum aedificiis eos cremavit: cunctasque machinas ad oppugnandam urbem paratas, cum helepoli quam Delum profectus Apellico construxerat, igne absumsit. Igitur erecto eisdem in locis tropaeo & ara, hos versiculos Orbius arae inscripsit:

Defunctos hoc sepulcrum habet, qui Deli

μαρνάμενοι, ψυχὰς ὤλεσαν ἐν πελάγει·
τὴν ἱερὰν ὅτε νῆσον Ἀθηναῖοι κεραΐζον,
κοινὸν Ἄρη βασιλεῖ Καππαδόκων θέμενοι.

LIV. Lysias Epicureus, Tarsi tyrannus.

Καὶ Ταρσοῦ δὲ Ἐπικούρειος φιλόσοφος ἐτυράννησε, Λυσίας ὄνομα. ὃς ὑπὸ τῆς πατρίδος στεφανηφόρος αἱρεθεὶς, τοῦτ' ἔστιν ἱερεὺς Ἡρακλέους, οὐκ ἀπετίθετο τὴν ἀρχὴν, ἀλλ' ἐξ ἱματίου τύραννος ἦν· πορφυροῦν μὲν μεσόλευκον [1] χιτῶνα ἐνδεδυκὼς, χλαμύδα δὲ ἐφεστρίδα περιβεβλημένος πολυτελῆ, καὶ ὑποδούμενος λευκὰς Λακωνικὰς, στέφανον δάφνης χρυσῆς ἐστεμμένος· καὶ διανέμων τὰ τῶν πλουσίων τοῖς πένησι, πολλοὺς φονεύων τῶν οὐ διδόντων. c

LV. Democharis dictum de Socratis militia.

Τοιοῦτοί εἰσιν οἱ ἀπὸ φιλοσοφίας στρατηγοί. περὶ ὧν Δημοχάρης [2] ἔλεγεν· „ὥσπερ ἐκ θύμβρας οὐδεὶς ἂν δύναιτο κατασκευάσαι λόγχην, οὐδ' ἐκ

1 μέσον λευκὸν ms. *A*. 2 Vulgo Δημοχάρης ἢ Κράτης.

pugnantes, vitam ad mare amiſerunt:
ſanctam quum inſulam Athenienſes vaſtarent,
Marte cum Cappadocum rege communicato.

54. Habuit etiam *Tarſus* tyrannum, Epicureum philoſophum, cui LYSIAS nomen. Qui cum a civibus ſuis *ſtephanophorus* eſſet creatus, id eſt, Herculis ſacerdos, magiſtratum illum numquam depoſuit; ſed, ut poſuit pallium, ſic tyrannidem arripuit: tunicam indutus purpuream albo diſtinctam, circumiecta ſuperne pretioſa chlamyde, crepidis candidis Laconicis calceatus, lauream ex auro coronam in capite geſtans: & divitum bona pauperibus diſtribuens; multis, qui nihil ultro contuliſſent, occiſis.

55. Similis ratio eſt eorum, qui ex philoſophis belli duces evadunt. De quibus Democharis dixit: *Sicut ex thymbra lanceam nemo facere potuerit, ſic nec ex Socrate mi-*

Σωκράτους στρατιώτην ἄμεμπτον." Ὁ γὰρ Πλάτων [1] φησὶ, τρεῖς στρατείας στρατεύσασθαι Σωκράτη· τὴν μὲν εἰς Ποτίδαιαν, τὴν δὲ εἰς Ἀμφίπολιν, τὴν δὲ εἰς Βοιωτοὺς, ὅτε καὶ συνέβη τὴν ἐπὶ Δηλίῳ μάχην γενέσθαι. μηδενὸς δὲ τοῦθ' ἱστορηκότος, αὐτὸς, καὶ ἀριστείων, φησὶν, αὐτὸν τετυχηκέναι, πάντων Ἀθηναίων φυγόντων, πολλῶν δὲ καὶ ἀπολλυμένων. Πάντα δὲ ταῦτα ἐψευδολόγηται. Ἡ μὲν γὰρ ἐπὶ Ἀμφίπολιν στρατεία γέγονεν ἐπὶ Ἀλκαίου ἄρχοντος, Κλέωνος ἡγουμένου, ἐξ ἐπιλέκτων ἀνδρῶν, ὡς φησὶ Θουκυδίδης. τούτων οὖν τῶν ἐπιλέκτων ἀνάγκη εἶναι καὶ Σωκράτην, ᾧ πλὴν τρίβωνος καὶ βακτηρίας οὐδὲν ἦν. τίς οὖν εἶπεν ἱστοριογράφος ἢ ποιητής; ἢ ποῦ Θουκυδίδης τὸν Σωκράτην παρενέχρωστε τὸν Πλάτωνος στρατιώτην; τί γὰρ ἀσπίδι ξύνθημα καὶ βακτηρία; Πότε δὲ καὶ εἰς Ποτίδαιαν ἐστρατεύσατο, ὡς ἐν

Falsa tradit Plato de militia Socratis.

1 Ὁ μὲν γὰρ Πλάτων malebam.

litem in quo nihil reprehendi possit. Nam PLATO quidem, ter militasse Socratem, ait; primum ad Potidaeam, iterum ad Amphipolin, tertio adversus Boeotos, quo tempore pugna ad Delium pugnata est. Et, quod a nemine memoriae est proditum, unus ille ait, praecipuae virtutis praemium eidem esse delatum, cum omnes Athenienses fuga se proriperent, multique etiam perirent. At omnia haec ementita sunt, & errorum plena. Nam expeditio adversus Amphipolin susceptа est archonte Athenis Alcaeo, Cleone duce, *cum selectis viris*, ut ait Thucydides. Horum igitur *selectorum* in numero oportet fuisse Socratem; cui praeter tritum pallium & baculum nihil erat. Quis ergo id dixit vel historicus vel poëta? aut ubi tandem Thucydides vel obiter tetigit Socratem, militem Platonicum? quae enim clypeo communio cum baculo? Iam ad Potidaeam quando militavit Socrates,

τῷ Χαρμίδῃ εἴρηκεν ὁ Πλάτων, φάσκων αὐτὸν καὶ τῶν ἀριστείων τότε Ἀλκιβιάδῃ παραχωρῆσαι; τοῦτο οὔτε Θουκυδίδου, ἀλλ' οὔτ' Ἰσοκράτους εἰρηκότος ἐν τῷ Περὶ τοῦ Ζεύγους. ποίας δὲ καὶ μάχης γενομένης ἔλαβε τὰ ἀριστεῖα Σωκράτης; καὶ τί πράξας ἐπιφανὲς καὶ διάσημον; καθόλου μάχης μηδεμιᾶς συμπεσούσης, ὡς ἱστόρηκε Θουκυδίδης. Οὐκ ἀρκεσθεὶς δὲ ταύτῃ τῇ τερατολογίᾳ ὁ Πλάτων, ἐπάγει καὶ τὴν ἐπὶ Δηλίῳ γενομένην, μᾶλλον δὲ πεπλασμένην, ἀνδραγαθίαν. εἰ γὰρ καὶ τὸ Δήλιον ἥρηκε [1] Σωκράτης, ὡς ἱστορεῖ Ἡρόδικος ὁ Κρατήτιος [2] ἐν τοῖς Πρὸς τὸν Φιλοσωκράτην, ἅμα τοῖς πολλοῖς ἀσχημόνως ἂν ἔφευγε, Παγώνδου δύο τέλη περιπέμψαντος τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον. τότε γὰρ οἱ μὲν πρὸς τὸ Δήλιον τῶν Ἀθηναίων ἔφυγον, οἱ δ' ἐπὶ θάλατταν, ἄλλοι δὲ ἐπὶ Ὠρωπὸν, οἱ δ' εἰς Πάρνηθα [3]

1 εἴρηκε ed. Ven. Baſ. & Caſ. 1. ἥρηκε ms. *A*. Nondum ſatis emendatus locus videtur. 2 Vulgo Κρατήττιος. Alibi Κρατήτειος. 3 οἱ δὲ Πάρνηθα edd. cum ms. *A*.

ut ait Plato in Charmide, addens etiam, virtutis praemio ceſſiſſe eum tunc Alcibiadi? Sane id nec Thucydides dicit, & ne Iſocrates quidem in Oratione de Bigis. Quanam vero pugnatâ pugnâ, virtutis praemium conſecutus eſt Socrates? quave re praeclare aut egregie geſta? cum nulla omnino pugna inciderit, ut docet Thucydides. At horum prodigiorum narratione non contentus Plato, adiicit etiam ad Delium praeſtitam, fictam rectius dixeris, fortitudinem. Etiamſi enim Delium Socrates cepiſſet, ut ait Herodicus Crateteus in libris ad Philoſocratem, ſimul cum caeteris turpem fugam arrepturus erat, cum Pagondas duas equitum alas ex improviſo circa collem circummiſiſſet. Tunc enim Athenienſium alii Delium profugerunt, alii ad mare, alii Oropum,

τὸ ὄρος· Βοιωτοὶ δ' ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππεῖς, οἵ τε ἑαυτῶν καὶ Λοκρῶν. τοιούτου οὖν κυδοιμοῦ καὶ φόβου καταλαβόντος τοὺς Ἀθηναίους, μόνος Σωκράτης, βρενθυόμενος, καὶ τῷ ὀφθαλμῷ παραβάλλων, εἱστήκει ἀναστέλλων τὸ Βοιωτῶν καὶ Λοκρῶν ἱππικόν; καὶ ταύτης τῆς ἀνδρείας αὐτοῦ οὐ Θουκυδίδης μέμνηται, οὐκ ἄλλος οὐδεὶς ποιητής. [1] Πῶς δὲ καὶ τῶν ἀριστείων Ἀλκιβιάδῃ παραχωρεῖ, [2] τῷ μηδ' b ὅλως κεκοινωνηκότι ταύτης τῆς στρατείας; Ἐν δὲ τῷ Κρίτωνι ὁ τῇ Μνημοσύνῃ Φίλος Πλάτων, οὐδὲ ποιήσασθαί ποτε ἀποδημίαν τὸν Σωκράτη ἔξω τῆς εἰς Ἰσθμὸν πορείας εἴρηκε. Καὶ Ἀντισθένης δ' ὁ Σωκρατικὸς περὶ τῶν ἀριστείων τὰ αὐτὰ τῷ Πλάτωνι ἱστορεῖ. οὐκ ἔστιν δ' ἔτυμος ὁ λόγος οὗτος. χαρίζεται γὰρ καὶ ὁ κύων οὗτος πολλὰ τῷ Σωκράτει· ὅθεν οὐδὲ ἑτέ-

Antisthenes canis, Socrati blanditur.

1 Forſ. οὐκ ἄλλος οὐδεὶς, οὐδὲ ἱστοριογράφος, οὐδὲ ποιητής.
2 παρεχώρει edd.

alii ad Parnethem montem: Boeoti vero inſequentes caedebant, maxime equites, tam ipſorum, quam Locrorum. Tali igitur tumultu & pavore conſternatis Athenienſibus, ſolus Socrates (ſi Diis placet) ſuperbiens & oculos in hoſtem detorquens ſubſtitit, & Boeotorum Locrorumque equitatum repreſſit! Et tantae huius viri virtutis non Thucydides meminerit, non aliorum (hiſtoricorum aut) poëtarum ullus. At quo pacto cedit praemio virtutis Alcibiadi, qui ne particeps quidem omnino fuit illius expeditionis? Sed in Critone ſuo Mnemoſynae amicus Plato, *ne umquam quidem peregre abiiſſe Socratem*, ait, *praeterquam cum ad Iſthmum ſe contulit.* Iam & ANTISTHENES quidem Socraticus de virtutis praemio eadem, quae Plato, tradit. Sed minime vera ea fabula eſt. Nam & canis hic multis in rebus gratificatur Socrati: quare neutri illorum habenda fides

ρῳ αὐτῶν δεῖ πιστεύειν, σκοπὸν ἔχοντας Θουκυδίδην. ὁ γὰρ Ἀντισθένης καὶ προσεπάγει τῇ ψευδογραφίᾳ, λέγων οὕτως· „Ἡμεῖς δὲ ἀκούομεν καὶν τῇ πρὸς Βοιω- c τοὺς μάχῃ [1] τὰ ἀριστεῖά σε λαβεῖν. — Εὐφήμει, ὦ ξένε· Ἀλκιβιάδου τὸ γέρας, οὐκ ἐμόν. — Σοῦ γε δόντος, ὡς ἡμεῖς ἀκούομεν.“ — Ὁ δὲ Πλάτωνος Σωκράτης εἰς Ποτίδαιαν λέγει παρεῖναι, καὶ τῶν ἀριστείων Ἀλκιβιάδῃ παρακεχωρηκέναι. προτερεῖ δὲ κατὰ πάντας τοὺς ἱστορικοὺς τῆς ἐπὶ Δήλιον στρατείας ἡ περὶ Ποτίδαιαν, ἧς Φορμίων ἐστρατήγει.

LVI.

Notantur Xenophontis errores chronologici.

Πάντ' οὖν ψεύδονται οἱ φιλόσοφοι, καὶ πολλὰ παρὰ τοὺς χρόνους γράφοντες οὐκ αἰσθάνονται. καθάπερ οὐδ' ὁ καλὸς Ξενοφῶν· ὃς ἐν τῷ Συμποσίῳ ὑπο- d τίθεται Καλλίαν τὸν Ἱππονίκου, Αὐτολύκου τοῦ Λύκωνος ἐρῶντα, καὶ νενικηκότος αὐτοῦ παγκράτιον,

1 μάχῃ deeſt edd. πρὸς Ποτιδαιάτας legendum cenſuit Caſ.

eſt; ſed Thucydides reſpiciendus. Antiſthenes enim auget etiam fabuloſam narrationem, ſic ſcribens: *Nos vero accepimus, etiam in Boeotia virtutis praemium te eſſe conſecutum. — Bona verba quaeſo! hoſpes: Alcibiadis id decus fuit, non meum. — Nempe te illi concedente, ut quidem nos accepimus.* — Platonis vero Socrates dicit, *expeditioni adverſus Potidaeam ſe interfuiſſe, & virtutis praemio ceſſiſſe Alcibiadi.* At, conſentientibus hiſtoricis omnibus, prius ſuſcepta eſt ad Potidaeam expeditio Phormione duce, quam iſta ad Delium.

56. Omnia igitur falſa tradunt iſti philoſophi: & multa ſe praeter temporum rationem ordinemque ſcribere non animadvertunt. Quod & pulcro XENOPHONTI accidit: qui ſuo in Convivio Calliam, Hipponici filium, amantem ſtatuit Autolycum Lyconis; & occaſione victoriae, quam Autolycus Pancratio obtinuiſſet, epu-

ἑστίασιν ποιούμενον, καὶ σὺν τοῖς ἄλλοις δαιτυμόσι παρόντα αὐτὸν, [1] τὸν ἴσως μηδὲ γεννηθέντα, ἢ περὶ τὴν παιδικὴν ἡλικίαν ὑπάρχοντα. ἔστι δὲ οὗτος ὁ καιρὸς καθ' ὃν Ἀριστίων ἄρχων ἦν. ἐπὶ τούτου γὰρ Εὔπολις τὸν Αὐτόλυκον διδάξας διὰ Δημοστράτου χλευάζει τὴν νίκην τοῦ Αὐτολύκου. Πάλιν ὁ Ξενοφῶν ποιεῖ τὸν Σωκράτην λέγοντα ἐν τῷ Συμποσίῳ ταυτί· „Καί τοι Παυσανίας γε, ὁ Ἀγάθωνος τοῦ ποιητοῦ ἐραστὴς, ἀπολογούμενος ὑπὲρ τῶν ἀκρασίᾳ συγκαλινδουμένων, εἴρηκεν, ὡς καὶ στράτευμα ἐλκιμώτατον ἂν γένοιτο ἐκ παιδικῶν [2] καὶ ἐραστῶν. τούτους γὰρ ἂν ἔφη οἴεσθαι μάλιστα ἂν [3] αἰδεῖσθαι ἀλλήλους ἀπολιπεῖν· θαυμαστὰ λέγων, εἴγε οἱ ψόγου τε ἀφροντιστεῖν καὶ ἀναισχυντεῖν πρὸς ἀλλήλους ἐθιζόμενοι, οὗτοι μάλιστα αἰσχύνονται αἰσχρόν τι ποιεῖν." "Ὅτι μὲν οὖν

e

1 Abeſt αὐτὸν vulgo. Alii ipſum τὸν ex αὐτὸν vel ἑαυτὸν decurtatum ſtatuunt. 2 Melius παιδικῶν τε καὶ apud Xenoph. 3 Abeſt alterum ἂν apud Xenoph.

lum inſtituentem: fingitque epulo ei cum caeteris convivis interfuiſſe ſe ipſum; qui fortaſſe nondum in lucem editus eo tempore, aut aetate certe parvulus erat. Fuit autem id tempus, cum ſummum Athenis magiſtratum Ariſtion teneret: nam hoc archonte Eupolis Autolycum fabulam docens per Demoſtratum ridet Autolyci victoriam. Rurſus Xenophon inducit Socratem in Convivio haec verbotenus dicentem: *Quamquam Pauſanias quidem, Agathonis poëtae amator, eorum cauſſam defendens qui in intemperantia ſeſe volutant, dixit, exercitum quoque fore fortiſſimum, qui eſſet ex amaſiis & amatoribus collectus. Hos enim, ſe exiſtimare ait, maxime verituros ſeſe mutuo deſerere. Mire ſane dictum: qui reprehenſiones nihili faciant, & qui inter ſe nulla uti verecundia conſueſſent, hos maxime verituros ne quid turpe committant.* Nihil vero horum dixiſſe

τούτων οὐδὲν εἴρηκε Παυσανίας, ἔξεστι μαθεῖν ἐκ τοῦ f
Πλάτωνος Συμποσίου. Παυσανίου γὰρ οὐκ οἶδα σύγγραμμα· οὐδ' εἰσῆκται παρ' ἄλλῳ λαλῶν οὗτος περὶ χρήσεως ἐραστῶν καὶ παιδικῶν, ἢ παρὰ Πλάτωνι. Πλὴν εἴτε κατέψευσται τοῦτο Ξενοφῶν, εἴτ' ἄλλως γεγραμμένῳ τῷ Πλάτωνος ἐνέτυχε Συμποσίῳ, παρείσθω· τὸ δὲ κατὰ τοὺς χρόνους ἀστόχημα λεκτέον. Ἀριστίων, ἐφ' οὗ τὸ συμπόσιον ὑπόκειται συνηγμένον, [1] πρὸ τεσσάρων ἐτῶν Εὐφήμου πρότερος ἦρξεν. καθ' ὃν Πλάτων τὰ Ἀγάθωνος νικητήρια γέγρα- a
φεν, ἐν οἷς Παυσανίας τὰ περὶ τῶν ἐρωτικῶν διεξέρχεται. Θαυμαστὸν οὖν καὶ τερατῶδες, εἰ τὰ μήπω ῥηθέντα, μετὰ δὲ τέτταρα ἔτη ἐπιχειρηθέντα παρ' Ἀγάθωνι, Σωκράτης παρὰ Καλλίᾳ δειπνῶν εὐθύνει οὐ δεόντως ῥηθέντα.

1 Perperam ἀνηγμένον edd.

Pauſaniam, ex Platonis Sympoſio diſcere licet. Pauſaniae enim nullum, quod ſciam, ſcriptum exſtat: neque ab alio quoquam, praeter Platonem, inductus ille eſt verba faciens de amantium & amaſiorum conſuetudine. Caeterum, utrum ſuo ex ingenio haec finxerit Xenophon, an Sympoſium Platonis aliter ſcriptum atque vulgo exſtat ob oculos habuerit, in medio relinquamus: ſed errorem in temporum ratione admiſſum notemus. Ariſtion, quo archonte celebratum ſtatuitur id convivium, quatuor annis ante Euphemum magiſtratum geſſit, ſub quo celebratum eſt in honorem victoriae ab Agathone reportatae convivium a Platone deſcriptum, in quo Pauſanias de rebus amatoriis diſſerit. Mirum igitur ac prodigioſum, quod, quae nondum dicta fuere, quae quarto demum poſt anno apud Agathonem dicere aliquis adgreſſus eſt, eadem Socrates, apud Calliam coenans, ut parum recte dicta reprehenderit.

LVII.

Nugatur Plato in Sympoſio.

Ὅλως δὲ λῆρός ἐστι τῷ Πλάτωνι τὸ Συμπόσιον. ὅτε γὰρ Ἀγάθων ἐνίκα, Πλάτων ἦν δεκατεσσάρων ἐτῶν. ὁ μὲν γὰρ ἐπὶ ἄρχοντος Εὐφήμου στεφανοῦται Ληναίοις· Πλάτων δὲ γεννᾶται ἐπὶ Ἀπολλοδώρου τοῦ b μετ' Εὐθύδημον ἄρξαντος· δύο δὲ καὶ ὀγδοήκοντα βιώσας ἔτη, μετήλλαξεν ἐπὶ Θεοφίλου τοῦ μετὰ Καλλίμαχον, ὃς ἐστιν ὀγδοηκοστὸς καὶ δεύτερος. ἀπὸ δὲ Ἀπολλοδώρου καὶ τῆς Πλάτωνος γενέσεως, τεσσαρεσκαιδέκατος ἐστὶν ἄρχων Εὔφημος, ἐφ' οὗ τὰ ἐπινίκια Ἀγάθωνος ἑστιῶνται. καὶ αὐτὸς δὲ ὁ Πλάτων δηλοῖ τὴν συνουσίαν ταύτην πρὸ πολλοῦ γεγονέναι, λέγων οὕτως ἐν τῷ Συμποσίῳ· * [1] „εἰ νεωστὶ ἡγῇ τὴν συνουσίαν γεγονέναι, ὥστε κἀμὲ παραγενέσθαι; c — Ἐγὼ γάρ· ἔφη. — Πόθεν, ἦν δ' ἐγὼ, ὦ Γλαύκων; [2] οὐκ οἶσθ' ὅτι πολλῶν ἐτῶν Ἀγάθων οὐκ ἐπιδε-

1 Adiici initio debebant alia nonnulla ex Platone verba. 2 Lú-

57. Omnino vero nugatur ſuo in Convivio PLATO. Nam, quo tempore vicit Agathon, quatuordecim annorum puer Plato erat. Coronatus enim ille eſt Lenaeis archonte Euphemo: natus vero Plato eſt magiſtratum obtinente Apollodoro, qui Euthydemo ſucceſſit: vitâ autem ad octuageſimum ſecundum annum productâ, obiit ſub Theophilo, qui Callimacho ſucceſſit, & octuageſimus ſecundus (ab Apollodoro) archon numeratur. Ab Apollodoro vero & a Platonis nativitate, quartus decimus archon Euphemus eſt, ſub quo Agathonis victoria epulo celebratur. Quin & ipſe declarat Plato, longo ante tempore celebratum id convivium eſſe, ſic ſcribens in Sympoſio: [*Nihil certi ille, quod tibi diceret, habebat;*] *ſi tu putas, adeo nuper congreſſum illum fuiſſe habitum, ut ego quoque intereſſe potuiſſem. — Ego vero, inquit, ita putabam. — Quî poſſet, inquam, o Glauco? An neſcis, multis iam annis in urbe non adfuiſſe Agathonem?* Tum in

δήμηκε;" [1] — Καὶ προελθὼν, φησίν· „Ἀλλ' εἰπέ μοι, πότ' ἐγένετο ἡ συνουσία αὕτη; — Κἀγὼ εἶπον, ὅτι παίδων ἔτι ὄντων ἡμῶν, ὅτε τῇ τραγῳδίᾳ ἐνίκησεν ὁ Ἀγάθων." Ὅτι δὲ πολλὰ ὁ Πλάτων παρὰ τοὺς χρόνους ἁμαρτάνει, δῆλόν ἐστιν ἐκ πολλῶν. κατὰ γὰρ τὸν εἰπόντα ποιητὴν „ὅττι κεν ἐπ' ἀκαιρίμαν γλῶτταν ἔλθῃ" τοῦτο μὴ διακρίνας γράφει. οὐ γὰρ ἀγράφως τι ἔλεγεν, ἀλλὰ πάνυ ἐσκεμμένως. [2]

LVIII.

In Gorgia inconsiderate scripta nonnulla.

Ὡς ἐν τῷ Γοργίᾳ γράφων, φησίν· „Ἄθλιος d ἄρα οὗτος ὁ Ἀρχέλαός ἐστι κατὰ τὸν σὸν λόγον. — Εἴπερ γε, ὦ φίλε, ἄδικος." Εἶτα ῥητῶς εἰπὼν, ὡς κατέχοντος τὴν Μακεδόνων ἀρχὴν Ἀρχελάου, προβὰς γράφει τάδε· „καὶ Περικλέα τοῦτον νεωστὶ τετελευτηκότα." Εἰ δὲ νεωστὶ τετελεύτηκε Περικλῆς, Ἀρ-

ϰων absque ὦ ed. Caſ. ὦ Λύϰων ed. Ven. cum ms. *A*. 1 ἐνθάδε οὐϰ ἐπιδυήμηϰε ed. Baſ. & Caſ. ex Plat. 2 ἀλλ' οὐ πάνυ ἐσϰεμμένως ſuſpicatus eram, idque in verſione expreſſi.

ſermonis progreſſu ſcribit: *At dic mihi, quando habitus eſt hic congreſſus? — Et ego dixi, cum adhuc pueri nos eſſemus, quo tempore tragoediâ vicit Agathon.* Multis autem modis errare Platonem in temporum ratione, pluribus argumentis conſtat. Nam, quod poëta ait, *quidquid importunam ſubit linguam*, id nullo iudicio ille ſcribit. Nec enim dicere conſueverat quidquam, quin ſcripſerit; ſed ea ſcribit quae non ſatis meditatus eſt.

58. Sic parum conſiderate ſcripta ſunt, quae in Gorgia ait his verbis: *Miſer igitur eſt hic Archelaus ex tua ratione? — Utique, o amice; ſiquidem iniuſtus.* — Deinde, poſtquam diſertis verbis de *Archelao* ita eſt locutus, tamquam *Macedoniae regnum tenente*, in orationis progreſſu haec ſcribit verba: *& Periclem hunc nuper mortuum.* At, ſi nuper mortuus eſt Pericles, nondum regnum

χέλαος οὔπω κύριός ἐστι τῆς ἀρχῆς· εἰ δ' οὗτος βασιλεύει, πρὸ πολλοῦ πάνυ χρόνου ἀπέθανε Περικλῆς. Περδίκκας τοίνυν πρὸ Ἀρχελάου βασιλεύει, ὡς μὲν ὁ Ἀκάνθιός φησι Νικομήδης, ἔτη μα'· Θεόπομπος δὲ φησι λε'· Ἀναξιμένης μ'· Ἱερώνυμος κη'· Μαρσύας δὲ καὶ Φιλόχορος κγ'. τούτων οὖν διαφόρως ἱστορουμένων, λάβωμεν τὸν ἐλάχιστον ἀριθμὸν, τὰ κγ' ἔτη. Περικλῆς δ' ἀποθνήσκει κατὰ τὸ τρίτον ἔτος τοῦ Πελοποννησιακοῦ πολέμου, ἄρχοντος Ἐπαμείνονος,[1] ἐφ' οὗ τελευτᾷ [Ἀλέξανδρος, καὶ τὴν βασιλείαν Περδίκκας διαδέχεται· ὃς ἐβασίλευεν ἕως Καλλίου ἄρχοντος, ἐφ' οὗ τελευτᾷ][2] Περδίκκας, καὶ τὴν βασιλείαν Ἀρχέλαος διαδέχεται. πῶς οὖν νεωστὶ κατὰ Πλάτωνα τελευτᾷ Περικλῆς; Ἐν δὲ τῷ αὐτῷ Γοργίᾳ ὁ Πλάτων τὸν Σωκράτη ποιεῖ λέγοντα· „Καὶ

1 ἄρχοντος Ἐπαμίνωνος ms. *Ep.* Ἐπαμύνωνος ἄρχοντος legi volebat Casaub. ἐπ' Ἀμείνωνος ἄρχοντος corrigunt alii viri docti. Forf. ἐπ' ἀρχ. Ἐπαμ. scripserat auctor. 2 Quae uncis inclusa sunt desunt vulgo, ex Casauboni emendatione a nobis adiecta.

obtinuit Archelaus: sin regnum hic obtinet, iam multo ante tempore mortuus erat Pericles. Quippe ante Archelaum regnat Perdiccas, annos, ut quidem Nicomedes Acanthius ait, XLI: Theopompus vero ait, XXXV: Anaximenes, XL: Hieronymus, XXVIII: Marsyas vero & Philochorus, XXIII. Haec igitur quum diverse tradantur, sumamus minimum numerum, annos XXIII. Pericles vero mortuus est tertio anno belli Peloponnesiaci, archonte Epaminone, sub quo obiit [Alexander, eique in regno successit Perdiccas: qui regnavit usque ad Calliam archontem, sub quo obiit] Perdiccas, cui successit Archelaus. Quo igitur pacto, *nuper mortuum esse Periclem*, dicere Plato potuit? In eodem Gorgia Socratem haec dicentem Plato inducit: *Et superiore*

πέρυσι βουλεύειν λαχὼν, ἐπειδὴ ἡ φυλὴ ἐπρυτάνευε, f
καὶ ἔδει με ἐπιψηφίζειν, γέλωτα παρεῖχον, καὶ οὐκ
ἠδυνάμην ἐπιψηφίσαι." Τοῦτο ὁ Σωκράτης [1] οὐ κα-
τὰ ἀδυναμίαν ἐποίησεν, ἀλλὰ μᾶλλον [2] κατὰ ἀν-
δραγαθίαν· οὐ γὰρ ἠβούλετο λύειν δημοκρατίας νό-
μους. παρίστησι δὲ τοῦτο σαφῶς ὁ Ξενοφῶν ἐν πρώ-
τῳ Ἑλληνικῶν, ἐκτιθεὶς οὕτως· „Τῶν δὲ πρυτάνεών
τινων [3] οὐ φασκόντων προθήσειν τὴν διαψήφισιν παρὰ
τοὺς νόμους, αὖθις Καλλίξεινος [4] ἀναβὰς κατηγορεῖ a
αὐτῶν. οἱ δὲ ἐβόων καλεῖν τοὺς οὐ φάσκοντας. οἱ δὲ
πρυτάνεις φοβηθέντες, ὡμολόγουν ἅπαντες προθήσειν,
πλὴν Σωκράτους τοῦ Σωφρονίσκου. οὗτος δὲ οὐκ ἔφη,
ἀλλὰ κατὰ τοὺς νόμους πάντα ποιήσειν." Οὗτός
ἐστιν ὁ διαψηφισμὸς ὁ γενόμενος κατὰ τῶν περὶ Ἐρα-
σινίδην στρατηγῶν, ὅτι τοὺς ἐν Ἀργινούσαις ἐν τῇ ναυ-

1 Τοῦτο δ' ὁ Σωκρ. malim. 2 Vulgo οὐ μᾶλλον κατὰ ἀνδραγ. omiſſis quatuor verbis. 3 Abeſt τινῶν apud Xenoph. 4 Καλλίξενος apud Xenoph.

anno in ſenatum cooptatus, cum praeſideret mea tribus, & ego ſuffragia deberem rogare; riſum praebui, & rogare ſuffragia non potui. At non, quod *non potuerit*, fecerat illud Socrates: ſed quod nollet leges reipublicae labefactare. Perſpicue hoc docet Xenophon primo libro Graecae Hiſtoriae, ubi rem ſic exponit: *Cum vero Prytanes nonnulli ſe permiſſuros negarent ut praeter legem in ſuffragia iretur; rurſus adſcendens Callixenus, eos accuſabat. Tum clamare populus, ut ad cauſſam dicendam vocarentur qui recuſarent. Et prytanes omnes, metu perculſi, permiſſuros ſe dicebant, ut ſuffragia ferrentur, praeter unum Socratem Sophroniſci filium: qui aliud quidquam facturum ſe negabat, niſi quod eſſet legibus conſentaneum.* Hoc eſt illud iudicium, quod de Eraſinide duce copiarum eiusque collegis habitum eſt, eo quod cives, qui in proelio navali ad Ar-

μαχίᾳ ἀπολομένους οὐκ ἀνείλοντο. ἐγένετο δὲ ἡ ναυμαχία ἐπὶ ἄρχοντος Καλλίου, τῆς Περικλέους τελευτῆς ὕστερον ἔτεσιν εἴκοσι καὶ τέτταρσιν.

LIX. Platonis errores in Protagora.

b Ἀλλὰ μὴν καὶ ὁ ἐν τῷ Πρωταγόρᾳ διάλογος, μετὰ τὴν Ἱππονίκου τελευτὴν γενόμενος, [1] παρειληφότος ἤδη τὴν οὐσίαν Καλλίου, τοῦ Πρωταγόρου [μέμνηται] [2] παραγεγονότος τὸ δεύτερον οὐ πολλαῖς πρότερον ἡμέραις. ὁ δ' Ἱππόνικος ἐπὶ μὲν Εὐθυδήμου ἄρχοντος στρατηγῶν παρατέτακται μετὰ Νικίου πρὸς Ταναγραίους καὶ τοὺς παραβοηθοῦντας Βοιωτῶν, καὶ τῇ μάχῃ νενίκηκε. τέθνηκε δὲ πρὸ τῆς ἐπ' Ἀλκαίου διδασκαλίας τῶν Εὐπόλιδος Κολάκων οὐ πολλῷ χρόc νῳ κατὰ τὸ εἰκός. πρόσφατον γάρ τινα τοῦ Καλλίου τὴν παράληψιν τῆς οὐσίας ἐμφαίνει τὸ δρᾶμα. ἐν οὖν τούτῳ τῷ δράματι Εὔπολις τὸν Πρωταγόραν ὡς ἐπι-

1 In edd. sic legitur: Ἀλλὰ μὴν καὶ ἐν τῷ Πρωταγόρᾳ διαλόγῳ - - - γενομένῳ. 2 Verbum ex Casauboni coniectura a nobis adiectum. Videntur vero plura quaedam verba intercidisse.

ginusas perierant, sepultura non honoraſſent. Commiſſum autem illud proelium est archonte Callia, quarto & vicesimo anno post Periclis mortem.

59. Sed &, quae in *Protagora* Platonis continetur disputatio, post Hipponici obitum instituta, cum iam patris haereditatem adiisset Callias, [statuit ea] Protagoram iterum Athenas adveniſſe paucis ante diebus. Hipponicus vero archonte Euthydemo exercitui cum Nicia praefectus, acie decertavit cum Tanagraeis & qui auxilio eis venerant Boeotiis, proelioque eos vicerat: mortuus est autem haud multo ante (ut videtur) quam Adulatores fabulam docuit Eupolis archonte Alcaeo: declarat enim ea fabula, nuper admodum bonorum suorum poſſeſſionem adiisse Calliam. Iam vero in eadem fabula Protagoram ut Athenis verſantem in-

δημοῦντα εἰσάγει· Ἀμειψίας δ' ἐν τῷ Κόννῳ,[1] δύο πρότερον ἔτεσιν διδαχθέντι, οὐ καταριθμεῖ αὐτὸν ἐν τῷ τῶν Φροντιστῶν χορῷ. δῆλον οὖν, ὡς μεταξὺ τούτων τῶν χρόνων παραγέγονεν. ὁ δὲ Πλάτων καὶ τὸν Ἠλεῖον Ἱππίαν συμπαρόντα ποιεῖ ἐν τῷ Πρωταγόρᾳ μετά τινων ἰδίων πολιτῶν· οὓς οὐκ εἰκὸς ἐν Ἀθήναις ἀσφαλῶς διατρίβειν, πρὸ τοῦ τὰς ἐνιαυσίας ἐπὶ Ἰσάρχου d ἐλαφηβολιῶνος συντελεσθῆναι σπονδάς. Ὁ δὲ τὸν διάλογον ὑφίσταται γινόμενον [οὐ][2] περὶ τοὺς καιροὺς τούτους, καθ' οὓς αἱ σπονδαὶ[3] προσφάτως ἐγεγόνεσαν· [ἀλλὰ πολὺ ὕστερον.] λέγει γοῦν· „εἰ γὰρ εἶεν ἄνθρωποι ἄγριοι, οἵους πέρυσι Φερεκράτης ὁ ποιητὴς ἐδίδαξεν ἐπὶ Ληναίῳ.“[4] ἐδιδάχθησαν δὲ οἱ Ἄγριοι ἐπ' Ἀριστίωνος ἄρχοντος, ἀφ' οὗ ἐστιν ἄρχων Ἀστύφιλος, πέμπτος ὢν ἀπὸ Ἰσάρχου, καθ' ὃν αἱ σπονδαὶ ἐγένοντο. Ἴσαρχος γὰρ, εἶτ' Ἀμεινίας, μεθ' ὃν

1 Κοινῷ vulgo. 2 Vocula ex Caſauboni emend. adiecta. Sic & mox iſta, ἀλλὰ πολὺ ὕστερον. 3 Deſunt voces αἱ σπονδαὶ edd. 4 ἐπὶ Λήναια vulgo.

ducit Eupolis: Ameipſias vero in Conno fabula, biennio prius in ſcenam producta, Protagoram in Sophiſtarum choro non recenſet. Liquet igitur, intra illa tempora eum adveniſſe. Plato vero in Protagora Hippiam quoque Eleum cum nonnullis e ſuis popularibus praeſentem facit: quos non eſt veriſimile tuto Athenis verſari potuiſſe ante annuas inducias, archonte Iſarcho menſe Elaphebolione concluſas. At ille diſputationem iſtam habitam ſtatuit, non nuper pactis induciis, ſed multo poſt. Dicit enim: *ſi eſſent homines agreſtes & feri, quales anno ſuperiore Pherecrates in ſcenam produxit.* Producti autem in ſcenam ſunt Agreſtes (*vel*, Feri) archonte Ariſtione, cui in magiſtratu ſucceſſit Aſtyphilus, qui eſt quintus ab Iſarcho, ſub quo pactae inducciae ſunt. Eſt enim Archontum ſucceſſio haec: Iſarchus;

e Ἀλκαῖος, εἶτ' Ἀριστίων, εἶτ' Ἀστύφιλος. Παρὰ τὴν ἱστορίαν οὖν ὁ Πλάτων ἐν τῷ διαλόγῳ εἰς τὰς Ἀθήνας παράγει πολεμίους ὄντας τοὺς περὶ τὸν Ἱππίαν, μὴ τῆς ἐκεχειρίας αὐτῆς [1] μενούσης.

LX. Oraculum de Socrate editum.

Καὶ ἄλλοις δ' ὁ Πλάτων φησί· „Χαιρεφῶντα ἐρωτῆσαι τὴν Πυθίαν, εἴ τις εἴη Σωκράτους σοφώτερος; καὶ τὴν ἀνελεῖν, μηδένα." Καὶ τούτοις δὲ μὴ συμφωνῶν [2] Ξενοφῶν, τί φησί; [3] „Χαιρεφῶντος γάρ ποτε ἐπερωτήσαντος ἐν Δελφοῖς ὑπὲρ ἐμοῦ, ἀνεῖλεν ὁ Ἀπόλλων πολλῶν [4] παρόντων, μηδένα εἶναι ἀνθρώπων f ἐμοῦ μήτε δικαιότερον, μήτε σωφρονέστερον." Πῶς οὖν εὔλογον ἢ πιθανὸν, Σωκράτη, τὸν ὁμολογοῦντα μηδὲν ἐπίστασθαι, σοφώτατον ἁπάντων ὑπὸ τοῦ πάντα ἐπισταμένου θεοῦ ἀναῤῥηθῆναι; εἰ γὰρ τοῦτό ἐστι σοφία, τὸ μηδὲν εἰδέναι· τὸ πάντα εἰδέναι, φαυλότης ἂν εἴη.

1 αὐτοῖς suspicor legendum. 2 ξυμφωνῶν edd. 3 Vulgo Ξενοφῶντι φησί. Ubi Ξενοφῶντι ὅς φησι corrigebat Cas. 4 πολλῶν deest vulgo.

dein Aminias; post hunc Alcaeus; tum Aristion; inde Astyphilus. Igitur praeter historiae fidem Plato in illo dialogo Hippiam eiusque sodales in urbem introducit, quo tempore hostes erant, non durantibus induciis.

60. Alibi idem Plato ait, *quaesivisse Chaerephontem ex Pythia, an esset Socrate quispiam sapientior? Illamque respondisse, Neminem.* In quo rursus ab eo dissentiens Xenophon, quid ait? *Chaerephonti enim de me olim sciscitanti Delphis respondit Apollo, praesentibus multis, Neminem esse hominem me vel iustiorem vel moderatiorem.* Quomodo igitur rationi consentaneum aut probabile fuerit, Socratem, qui *se nihil scire* professus est, ab illo Deo, cui cognita sunt omnia, *omnium sapientissimum* fuisse pronunciatum. Nam si haec sapientia est, nihil scire; stultitia & pravitas fuerit, scire omnia. Quid vero opus erat Chae-

τίς δ' ἦν χρεία τῷ Χαιρεφῶντι παρενοχλεῖν τὸν θεὸν, περὶ Σωκράτους πυνθανόμενον; αὐτὸς γὰρ ἦν ἀξιόπιστος ὑπὲρ αὐτοῦ λέγων, ὡς οὐκ ἔστι σοφός. βλαξ γάρ τις ἦν τοιαῦτ' ἐρωτῶν τὸν θεὸν, ὡς ἂν εἰ καὶ a τοιαῦτά τινα, τῶν Ἀττικῶν ἐρίων εἰ [1] ἄλλ' ἔστι μαλακώτερα; ἢ τῶν ἐν Βάκτροις καὶ Μήδων [2] εἰ εἰσί τινες δυνατώτεροι; ἢ εἰ Σωκράτους ἐστί τις σιμότερος; [3] Τοὺς γὰρ τὰ τοιαῦτα πυνθανομένους, εὐστόχως ἐπιῤῥαπίζει ὁ θεός· ὡς καὶ τὸν πυθόμενον (εἴ τ' Αἴσωπός ἐστιν ὁ λογοποιὸς, εἴ τ' ἄλλος τις·) [4]

Πῶς ἂν πλουτήσαιμι, Διὸς καὶ Λητοῦς υἱέ;
χλευάζων, ἀπεκρίνατο·
Εἰ τὸ μέσον κτήσαιο Κορίνθου καὶ Σικυῶνος.

LXI. Ἀλλὰ μὴν οὐδὲν, [5] ὧν ὁ Πλάτων εἴρηκε περὶ Σωκράτους, τῶν κωμικῶν τις εἴρηκεν· οὔθ' ὅτι μαίας b

1 Abeſt vulgo εἰ cum hîc, tum deinde ante εἰσί τινες. 2 Μήδοις ms. *Ep.* 3 σιμώτερος ms. *A.* & *Ep.* 4 ἤτοι Αἴσωπος - - ἢ ἄλλος τις edd. cum ms. *A.* 5 οὐδ' ὧν iidem libri.

rephonti ut moleſtiam crearet Deo, de Socrate ex eo quaerens? Ipſi Socrati habenda fides erat, de ſe dicenti, non eſſe ſe ſapientem. Stolidi quidem hominis fuerit, talia ex Deo ſciſcitari: haud ſecus ac ſi quis ves huiusmodi quaereret: *ſit-ne Atticâ lanâ mollior alia?* aut, *Bactrianis aut Medis ſint-ne quidam potentiores?* aut, *ſit-ne quisquam magis ſimus quam Socrates?* Nam qui talia ſciſcitantur, eos perapte obiurgat Deus: veluti eum, (ſive is Aeſopus fuit, qui fabulas ſcripſit, ſive quis alius) qui quaeſiverat:

Quo pacto dives fiam? Iovis & Latonae fili!

irridens ille reſpondit:

Si, quod inter Corinthum eſt & Sicyonem, adquiſiveris.

61. Sed, quae de Socrate dicit Plato, ea ne Comicorum quidem quisquam dixit: nec, quod obſtetricis ferocis

βλοσυρᾶς υἱὸς ἦν· οὔθ' ὅτι Ξανθίππη χαλεπὴ ἦν γυνή, ἥτις καὶ νιπτῆρας αὐτοῦ κατέχει τῆς κεφαλῆς· οὔθ' ὡς Ἀλκιβιάδης συνεκοιμήθη ὑπὸ τὴν αὐτὴν γενόμενος χλαῖναν. καί τοι ἀναγκαῖον ἦν τοῦτο ἐκκωδωνισθῆναι ὑπὸ Ἀριστοφάνους τοῦ καὶ ἐν τῷ συμποσίῳ κατὰ Πλάτωνα· οὐ γὰρ ἂν ἐσίγησε τοῦτ' Ἀριστοφάνης, ὡς τοὺς νέους διαφθείροντος. Ἀσπασία μέν τοι, ἡ σοφὴ τοῦ Σωκράτους διδάσκαλος τῶν ῥητορικῶν λόγων, ἐν τοῖς Φερομένοις ὡς αὐτῆς ἔπεσιν, ἅπερ Ἡρόδικος ὁ Κρατήτιος παρέθετο, φησὶν οὕτως· c

Σώκρατες, οὐκ ἔλαθές με πόθῳ δηχθεὶς φρένα τὴν σὴν
παιδὸς Δεινομάχης καὶ Κλεινίου. ἀλλ' ὑπάκουσον,
εἰ βούλει σοι ἔχειν εὖ παιδικά· μηδ' ἀπιθήσῃς
ἀγγέλῳ, ἀλλὰ πιθοῦ· καί σοι πολὺ βέλτιον
ἔσται.

De Socrate Alcibiadem amante,

carmen Aſpaſiae.

fuerit filius; nec, quod Xanthippe aſpera fuerit mulier, quae in illius caput effunderet malluvium: nec, quod Alcibiades cum eo cubuerit, eâdem laenâ opertus. Atqui fieri non poteſt, quin magno cum ſtrepitu in publicum iactaturus hoc fuiſſet Ariſtophanes, quem convivio etiam interfuiſſe ſtatuit Plato: nec enim ſilentio praeteriturus hoc Ariſtophanes erat, quo probaret, iuvenum corruptorem fuiſſe Socratem. Aſpaſia quidem, ſapiens illa Socratis in eloquentiae praeceptis magiſtra, in verſibus qui illius eſſe feruntur, quos Herodicus Cratetius citavit, ſic ait:

ASP. *Socrates, non me lates, uri animum tuum deſiderio filii Dinomaches & Cliniae. Sed aurem mihi praebe, ſi vis bene tibi ſuccedere pueri amorem: nec ſis inobediens monenti, ſed obſequere: ſic multo tibi melius erit.*

Κἀγὼ ὅπως ἤκουσα, χαρᾶς ὑπὸ σῶμα λιπαίνω
ἱδρῶτι, βλεφάρων δὲ γάος πέσεν οὐκ ἀβελήτως. d
Στέλλου, πλησάμενος θυμὸν Μούσης κατόχοιο,
ἣ τόνδ' αἱρήσεις ᾠδῶν δεινοῖσι πόθοισιν. [1]
Ἀμφοῖν γὰρ φιλίας ἦδ' ἀρχή· τῇδε καθέξεις
αὐτὸν, προσβάλλων ἀκοαῖς ὀπτήρια θυμοῦ.

Κυνηγεῖ οὖν ὁ καλὸς Σωκράτης, ἐρωτοδιδάσκαλον ἔχων τὴν Μιλησίαν· ἀλλ' οὐκ αὐτὸς θηρεύεται, ὡς ὁ Πλάτων ἔφη, λινοστατούμενος ὑπὸ Ἀλκιβιάδου. καὶ μὴν οὐ διαλείπει γε κλαίων, [2] ὡς ἂν οἶμαι, δυσημερῶν. ἰδοῦσα γὰρ αὐτὸν ἐν οἵῳ ἦν καταστήματι Ἀ- e σπασία, φησίν·

Τίπτε δεδάκρυσαι, φίλε Σώκρατες; ἦ σ' ἀνακινεῖ
στέρνοις ἐνναίων σκηπτὸς πόθος ὄμμασι θραυσθεὶς
παιδὸς ἀνικήτου; τὸν ἐγὼ τιθασόν σοι ὑπέστην

1 Mendose membr. *A.* ἦ τονδερήσεις ωσι δεινη πόθοισι. 2 δακρύων edd. καλλίων membr.

SOC. *Et ego, ut audivi, prae gaudio corpus rigavi sudore, & palpebris me non invito lacryma cecidit.*

ASP. *Cohibe te, ac reple tuum animum Musâ captrice, quâ illum capias carminum vehementi desiderio. Utrique enim amicitiae hoc initium: hac illum tenebis, auribus amasii admovens dona, quibus illius in te animum remunereris.*

Venatur igitur Alcibiadem praeclarus Socrates, magistrâ artis amandi utens Milesiâ; non ille venatur Socratem, ut ait Platò, & laqueos ei tendit. Nec vero desinit plorare; quippe parum felix, puto, in suo amore. Nam videns Aspasia quo habitu vultuque esset, dicit illi:

Quid lacrymaris? care Socrates! An te commovet pectori inhabitans amor, veluti fulmen, ex oculis vibratus pueri invicti; quem ego tibi cicurem pollicita sum

ποιῆσαι.

De eodem amore verba Platonis.

f Ὅτι δὲ ὄντως ἦρα τοῦ Ἀλκιβιάδου, δῆλον ποιεῖ Πλάτων ἐν τῷ Πρωταγόρᾳ, καίτοι μικρὸν ἀπολείποντος τῶν τριάκοντα ἐτῶν. λέγει δ' οὕτως· „Πόθεν, ὦ Σώκρατες, φαίνῃ; ἢ [1] δηλαδὴ ἀπὸ κυνηγεσίου τοῦ περὶ τὴν Ἀλκιβιάδου ὥραν; καὶ μήν μοι καὶ πρώην ἰδόντι καλὸς ἐφαίνετο ὁ ἀνὴρ ἔτι· ἀνὴρ μέντοι, ὦ Σώκρατες, ὥς γε ἐν ἡμῖν αὐτοῖς εἰρῆσθαι, καὶ πώγωνος ἤδη a ὑποπιμπλάμενος. — Εἶτα τί δὴ τοῦτο; σὺ [2] μέντοι Ὁμήρου ἐπαινέτης εἶ, ὃς ἔφη χαριεστάτην ἥβην εἶναι τοῦ ὑπηνήτου, ἣν νῦν Ἀλκιβιάδης αὐτὸς ἔχει."

LXII.

Aeſchinis Socratici Dialogi.

Πεφύκασι δ' οἱ πλεῖστοι τῶν φιλοσόφων, τῶν κωμικῶν κακήγοροι μᾶλλον εἶναι. εἴ γε καὶ Αἰσχίνης ὁ Σωκρατικὸς, ἐν μὲν τῷ Τηλαύγει, Κριτόβουλον τὸν Κρίτωνος ἐπ' ἀμαθίᾳ καὶ ῥυπαρότητι βίου κωμῳδεῖ· τὸν δὲ Τηλαύγην αὐτὸν, ἱματίου μὲν φο-

1 Forſan ἦ. Pro φαίνῃ eſt φαίνει in ms. *A*. 2 οὐ σὺ μέντοι apud Plat.

me redditurum.

Quod autem revera Socrates amaverit Alcibiadem, quamvis parum a trigeſimo aetatis anno abeſſet, clare oſtendit Plato in Protagora, ubi ſic ſcribit: *Unde, o Socrates, ades? Nempe a venatione formae Alcibiadis. Atqui & mihi, cum nuper eum viderem, formoſus etiamnunc vir eſſe viſus erat: ſed tamen vir, o Socrates; quod inter nos dictum ſit,* [alii, *qui poſſit inter nos ipſos cenſeri,*] *& barba iam oppletus. — At quid hoc refert? Tu tamen Homeri admirator es, qui dixit, gratiae pleniſſimam eſſe pubertatem adoleſcentuli nuper puberis; qua aetate nunc eſt Alcibiades.*

62. Sunt autem plerique Philoſophi maledicentiores, quam Comici. Nam & AESCHINES *Socraticus*, in Telauge, Critobulum Critonis filium, tamquam indoctum & ſordide viventem, perſtringit: ipſum vero Telaugem,

ρήσεως καθ' ἡμέραν ἡμιωβόλιον κναφεῖ τελοῦντα μισθὸν, κωδίῳ [1] δὲ ἐζωσμένον, καὶ τὰ ὑποδήματα σπαρτίοις ἐνημμένον [2] σαπροῖς· καὶ τὸν Λυσίαν δὲ, [3] τὸν ῥήτορα, οὐ μετρίως διαγελᾷ. Ἐν δὲ τῇ Ἀσπασίᾳ, Ἱππόνικον μὲν τὸν Καλλίου κοάλεμον προσαγορεύει· τὰς δὲ ἐκ τῆς Ἰωνίας γυναῖκας συλλήβδην, μοιχάδας καὶ κερδαλέας. Ὁ δὲ Καλλίας αὐτοῦ περιέχει τὴν τοῦ Καλλίου πρὸς τὸν πατέρα διαφορὰν, καὶ τὴν Προδίκου καὶ Ἀναξαγόρου τῶν σοφιστῶν διαμώκησιν. λέγει γὰρ, ὡς ὁ μὲν Πρόδικος Θηραμένην μαθητὴν ἀπετέλεσεν· ὁ δ' ἕτερος Φιλόξενον τὸν Ἐρύξιδος, καὶ Ἀριφράδην τὸν ἀδελφὸν Ἀριγνώτου τοῦ κιθαρῳδοῦ· θέλων ἀπὸ τῆς τῶν δηλωθέντων μοχθηρίας καὶ περὶ τὰ φαῦλα [σπουδῆς, καὶ] [4] λιχνείας, ἐμφανίσαι τὴν τῶν παιδευσάντων διδασκαλίαν. Ἐν δὲ τῷ Ἀξιόχῳ, πικρῶς Ἀλκιβιάδου κατατρέχει, ὡς

1 κωμῳδίᾳ ms. *A*, κωδίᾳ edd. 2 ἐννημένον edd. 3 καὶ τελέσαντα vulgo, ubi καὶ Τελέσαντα corr. Casaub. 4 Duo verba ex Casaub. coniect. adiecta.

ut pallium gestantem commodato sumtum a fullone, cui diurnum pretium dimidii oboli solveret; tum ut villosa pelle praecinctum, & calceos putri sparto subligantem: atque etiam Lysiam oratorem haud mediocriter irridet. In Aspasia vero, Hipponicum Calliae filium, bardum ac stolidum adpellat; & Ionicas mulieres universas adulteras dicit & quaestum captantes. Eiusdem dialogus Callias inscriptus, simultatem Calliae cum patre continet, & irrisiones Prodici & Anaxagorae sophistarum. Dicit enim, ex alterius disciplina prodiisse Theramenem, ex alterius Philoxenum, Eryxidis filium, & Ariphradem, fratrem Arignoti citharoedi: volens scilicet ex eorum, quos nominavit, improbitate, & flagitiosa libidine, & ingluvie, praeceptorum disciplinam declarare. In Axiocho vero, Alci-

οἰνόφλυγος, καὶ περὶ τὰς ἀλλοτρίας γυναῖκας σπουδάζοντος.

LXIII. Antisthenis Dialogi.

Ἀντισθένης δ' ἐν θατέρῳ τῶν Κύρων κακολογῶν Ἀλκιβιάδην, [1] καὶ παράνομον εἶναι λέγει [2] καὶ εἰς γυναῖκας καὶ εἰς τὴν ἄλλην δίαιταν. συνεῖναι γάρ φησιν αὐτὸν καὶ μητρὶ καὶ θυγατρὶ καὶ ἀδελφῇ, ὡς τοὺς Πέρσας. [3] Ὁ δὲ Πολιτικὸς αὐτοῦ διάλογος
d ἁπάντων καταδρομὴν περιέχει τῶν Ἀθήνησι δημαγωγῶν. ὁ δ' Ἀρχέλαος, Γοργίου τοῦ ῥήτορος· ἡ δ' Ἀσπασία, τῶν Περικλέους υἱῶν Ξανθίππου καὶ Παράλου διαβολήν. τούτων γὰρ τὸν μέν, Ἀρχεστράτου φησὶν εἶναι συμβιώτην, τοῦ παραπλήσια ταῖς ἐπὶ τῶν μιαρῶν [4] οἰκημάτων ἐργαζομένου· τὸν δ', Εὐφήμου συνήθη καὶ γνώριμον, τοῦ φορτικὰ σκώπτοντος καὶ ψυχρὰ τοὺς συναντῶντας. καὶ Πλάτωνα δὲ μετ-

1 τὸν αὐτὸν Ἀλκιβιάδην Epit. 2 λέγων edd. cum ms. *A*. 3 ὡς Πέρσας iidem libri. 4 μικρῶν editt. vett. cum ms. *A*.

biadem acerbe traducit, ut vinosum & alienarum uxorum pudicitiae insidiatorem.

63. ANTISTHENES vero, in altero Cyro, eumdem Alcibiadem maledictis prosequens, esse legum violatorem ait, cum quod ad mulieres spectat, tum quod ad reliquam vitae rationem: habere enim, ait, cum matre, cum filia, & cum sorore, Persarum more, stupri consuetudinem. Politicus autem qui inscribitur eiusdem dialogus, invectivam continet in omnes, qui rempublicam Athenienſium administrabant. Archelaus eiusdem, Gorgiam oratorem calumniis discindit; Aspasia, Periclis filios, Xanthippum & Paralum: quorum alterum ait esse Archestrati sodalem eius, qui velut in lupanari scortum se prostitueret; alterum vero, familiarem ac necessarium Euphemi, qui obvios quosque odiosis ac frigidis dicteriis incessere consuesset. Idem, post-

ονομάσας Σάθωνα ἀσύρως [1] καὶ Φορτικῶς, τὸν ταύτην ἔχοντα τὴν ἐπιγραφὴν διάλογον ἐξέδωκε κατ' αὐτοῦ. Τούτοις γὰρ τοῖς ἀνδράσιν οὐδεὶς ἀγαθὸς σύμ- e
Socratem unice mirantur philosophi.
βουλος εἶναι δοκεῖ, οὐ στρατηγὸς νόμιμος, [2] οὐ σοφιστὴς ἀξιόλογος, οὐ ποιητὴς ὠφέλιμος, οὐ δῆμος εὐλόγιστος· ἀλλὰ Σωκράτης, ὁ μετὰ τῶν Ἀσπασίας αὐλητρίδων ἐπὶ τῶν ἐργαστηρίων συνδιατρίβων, καὶ Πίστωνι [3] τῷ θωρακοποιῷ διαλεγόμενος, καὶ Θεοδότην διδάσκων τὴν ἑταίραν, ὡς δεῖ τοὺς ἐραστὰς ἀπολαύειν, [4] ὡς Ξενοφῶν παρίστησιν ἐν δευτέρῳ [5] Ἀπομνημονευμάτων. τοιαῦτα γὰρ ποιεῖ αὐτὸν παραγγέλματα τῇ Θεοδότῃ λέγοντα, ἃ οὔτε Νικὼ ἡ Σα- f
μία, ἢ Καλλιστράτη ἡ Λεσβία, ἢ Φιλαινὶς ἡ Λευκαδία, ἀλλ' οὐδὲ ὁ Ἀθηναῖος Πυθόνικος, συνεωρά-

1 ἀχύρως edd. ἀσυρῶς malebam. 2 οὐ στρατηγὸς οὐ μῖμος edd. cum ms. *Ep.* οὐ στρατηγὸς ὁ μῖμος ms. *A.* 3 Πιστία apud Xenoph. 4 An ἀπολαβεῖν, aut ἀναλαβεῖν? an τῶν ἀραστῶν ἀπολαύειν? 5 ἐν τρίτῳ oportebat.

quam Platonem detorto nomine *Sathonem* adpellasset, spurco & odioso vocabulo; dialogum contra eum edidit, cui eamdem inscriptionem fecit. Scilicet, hos viros si audias, nullus est bonus consiliarius, non belli dux iustus ac probus, non sophista existimatione dignus, non poëta utilis, non populus qui recta ratione utatur: nemo est, [in quem istae laudes cadant,] nisi Socrates; is qui cum Aspasiae tibicinis in lupanaribus conversatur, & cum Pistone thoracum fabricatore disputat, & Theodotam meretricem docet quo pacto oporteat amatoribus uti, quemadmodum Xenophon narrat secundo [*immo*, tertio] Memorabilium libro. Talia enim illum facit praecepta Theodotae tradentem, qualia nec Nico Samia, nec Callistrata Lesbia, nec Philaenis Leucadia, nec Pythonicus Athenienſis, amoris

καsι πόθων θέλγητρα· οὗτοι γὰρ περὶ ταῦτα ἠσχόληντο περιττῶς. Ἐπιλείποι δ' ἄν με πᾶς χρόνος, [1] εἰ ἐκτίθεσθαι βουληθείην τὰς σεμνὰς τῶν φιλοσόφων μέμψεις. κατὰ γὰρ αὐτὸν δὴ τὸν Πλάτωνα, ἐπιῤῥεῖ δή ὅχλος μοι τοιούτων Γοργόνων καὶ Πηγάσων
a καὶ ἄλλων ἀμηχάνων πλήθει τε καὶ ἀτοπίᾳ τερατολογιῶν τινων φύσεως. [2] διόπερ κατασιωπήσομαι.

LXIV.

Τοσαῦτα τοῦ Μασουρίου εἰπόντος, καὶ ὑπὸ πάντων θαυμασθέντος διὰ σοφίαν, ὁ Οὐλπιανὸς, σιωπῆς γενομένης, ἔφη· Δοκεῖτέ μοι, ἄνδρες δαιτυμόνες, σφοδροῖς κατηντλῆσθαι λόγοις παρὰ προσδοκίαν, βεβαπτισθαί τε τῷ ἀκράτῳ.

Ἀνὴρ γὰρ ἕλκων οἶνον, ὡς ὕδωρ ἵππος,
Σκυθιστὶ φωνεῖ, οὐδὲ κόππα [3] γινώσκων·
κεῖται δ' ἄναυδος, ἐν πίθῳ κολυμβήσας·

1 ὁ χρόνος Epit. absque πᾶς, pro quo malles deinde πάσας τὰς σεμν. 2 τερατολόγων τινῶν φύσεων corr. Casaub. 3 κάππα ms. *Epit.*

incitamenta cognita habuere: qui tamen plurimum in his rebus operae posuerant. Sed me tempus, quamvis longum, destitueret, si nobiles istas philosophorum reprehensiones exponere cunctas vellem. Nam, ut ipsius Platonis verbo utar, *nova* mihi semper *adfluit turba* talium Gorgonum & Pegasorum aliorumque monstrorum, cum numero tum absurditate prodigiosorum. Quare finem faciam dicendi.

64. Haec cum disputasset Masurius, cunctis sapientiam eius admirantibus, Ulpianus silentio facto dixit: Videmini mihi, Convivae, & vehementibus his sermonibus praeter exspectationem obruti, & mero simul mersi.

Vir enim vinum hauriens, sicut equus aquam,
Scythice loquitur, & ne Koppa quidem cognoscit:
iacet vero mutus, in dolio mersus;

κάθυπνος, ὡς μήκωνα Φάρμακον [1] πίνων. b
Φησὶν ὁ Βυζάντιος Παρμένων. ἢ ἀπολελίθωσθε ὑπὸ
Gorgon, Catoblepon, Libyae fera; τῶν προειρημένων Γοργόνων; Περὶ ὧν, ὡς [2] ὄντως γε-
γόνασί τινα ζῶα ἀπολιθώσεως ἀνθρώποις αἴτια,
ἱστορεῖ Ἀλέξανδρος ὁ Μύνδιος, ἐν δευτέρῳ Κτηνῶν Ἱ-
στορίας, οὕτως; „Τὴν Γοργόνα τὸ ζῶον καλοῦσιν οἱ
ἐν Λιβύῃ Νομάδες, ὅπου καὶ γίνεται, κάτω βλέ-
πον. [3] Ἔστι δὲ, ὡς οἱ μὲν πλεῖστοι λέγουσιν, ἐκ
τῆς δορᾶς σημειούμενοι, προβάτῳ ἀγρίῳ ὅμοιον· ὡς
δ' ἔνιοί φασι, μόσχῳ. ἔχειν δὲ λέγουσιν αὐτὸ τοιαύ-
την ἀναπνοὴν, ὥστε πάντα τὸν ἐντυχόντα τῷ ζώῳ c
διαφθείρειν. φέρειν δὲ χαίτην [4] ἀπὸ τοῦ μετώπου καθει-
obtutu suo necans homines. μένην [5] ἐπὶ τοὺς ὀφθαλμούς, ἣν ὁπόταν μόγις διασει-
σαμένη διὰ τὴν βαρύτητα ἐμβλέψῃ, κτείνει τὸν ὑπ'
αὐτῆς θεωρηθέντα, οὐ τῷ πνεύματι, ἀλλὰ τῇ γ.γ-

1 φαρμάκων ed. Ven. Baſ. & Caſ. 1. cum mss̄tis. 2 Deeſt ὡς ms. 3 κατάβλεπτον ms. *Ep.* 4 Forſ. φέρειν δὲ καὶ χαίτην. 5 καθημένην edd.

ſomno oppreſſus, tamquam papaver medicamentum biberit. ut ait Parmeno Byzantius. Aut in ſaxa-ne obriguiſtis *Gorgonum* adſpectu, quas Maſurius nominavit? Quas eſſe revera animantes quasdam, quarum obtutu homines in lapides convertantur, narrat Alexander Myndius, libro ſecundo Hiſtoriae Pecudum, his verbis: » Gorgona animal Nomades in Libya, ubi etiam naſcitur, *Catoblepon* adpellant, id eſt, *deorſum ſpectans.* Eſt autem, ut quidem plerique aiunt, ex pelle iudicium facientes, ovi agreſti ſimile; ut alii, vitulo. Habere autem illud dicunt talem halitum, quo, quisquis occurrat, eum interimat. Habere vero etiam dicunt iubam a fronte demiſſam in oculos, qua aegre ob gravitatem discuſſâ ac dimotâ, quemcumque intueatur, eum adſpectu ſuo necet mortuumque ſternat; non halitu, ſed vi quadam

νομένη ἀπὸ τῶν ὀμμάτων Φύσεως Φορᾷ, καὶ νεκρὸν ποιεῖ. Ἐγνώσθη δὲ οὕτως. τῶν μετὰ Μαρίου τινὲς ἐπὶ Ἰογόρθαν στρατευσαμένων, ἰδόντες τὴν Γοργόνα, δόξαντές τε διὰ τὸ κάτω νενευκέναι, βραδέως τε κινεῖσθαι, ἄγριον εἶναι πρόβατον, ὥρμησαν ἐπ' αὐτὸ, ὡς d κατεργασόμενοι οἷς εἶχον ξίφεσι. τὸ δὲ, πτοηθὲν, διασεισάμενόν τε τὴν τοῖς ὄμμασιν ἐπικειμένην χαίτην, παραχρῆμα ἐποίησε τοὺς ὁρμήσαντας ἐπ' αὐτὸ νεκρούς. πάλιν δὲ καὶ πάλιν τὸ αὐτὸ ποιησάντων ἑτέρων καὶ νεκρῶν γενηθέντων, ἀεὶ τῶν προσφερομένων ἀπολλυμένων, ἱστορήσαντές τινες παρὰ τῶν ἐπιχωρίων τὴν τοῦ ζώου Φύσιν, μακρόθεν ἐνεδρεύσαντες αὐτὸ ἱππεῖς τινες [1] Νομάδες, Μαρίου κελεύσαντος, κατηκόντισαν, ἦκόν τε φέροντες πρὸς τὸν στρατηγὸν τὸ θηρίον." Τοῦ- e το μὲν οὖν ὡς ἦν ἄρα τοιοῦτο, ἡ δορὰ, ἥ τε Μαρίου

1 Abeſſe malim τινες.

quae ex ipſis oculis eius evibretur. Cognitum autem eſt id animal hoc modo. Nonnulli ex eis qui cum Mario adverſus Iugurtham militabant, cum Gorgonem vidiſſent, &, quod caput in terram deiectum haberet, & lente moveretur, ovem eſſe ſylveſtrem exiſtimaſſent, impetum in animal fecerunt, ſperantes gladiis ſuis ſe illud interfecturos. At illud territum, cum capitis vehementi motu discuſſiſſet iubam oculis incumbentem, e veſtigio hos, qui in illud irruebant, mortuos proſtravit. Quumque iterum iterumque alii idem feciſſent, idemque fatum eſſent experti, interemtis ſemper qui cominus illud erant adgreſſi; poſtquam ab indigenis naturam animalis cognoviſſent nonnulli, equites Numidae iuſſu Marii eminus inſidiati ſunt, & iaculis illud confoderunt; redeuntesque ad imperatorem detulerunt.« Et hoc quidem ita ſe habere, pellis ipſa & Mariana

στρατεία μηνύει. Ἐκεῖνο μέντοι τὸ λεγόμενον ὑπὸ τοῦ ἱστοριογράφου [1] οὐκ ἔτι πιστὸν, ὡς εἰσί τινες κατὰ τὴν Λιβύην ὀπισθονόμοι καλούμενοι βοῦς, διὰ τὸ μὴ ἔμπροσθεν αὐτοὺς πορευομένους νέμεσθαι, ἀλλ' εἰς τοὐπίσω ὑποχωροῦντας τοῦτο ποιεῖν· εἶναι γὰρ αὐτοῖς ἐμπόδιον πρὸς τὴν τοῦ κατὰ Φύσιν νομὴν τὰ κέρατα οὐκ ἄνω ἀνακεκυφότα, καθάπερ τὰ τῶν λοιπῶν ζώων, ἀλλὰ κάτω νενευκότα, καὶ ἐπισκοτοῦντα τοῖς ὄμμασι. τοῦτο γὰρ ἄπιστόν ἐστιν, οὐδενὸς ἑτέρου ἐπιμαρτυροῦντος ἱστορικοῦ.

Opisthonomi boves.

LXV.

Ταῦτα τοῦ Οὐλπιανοῦ εἰπόντος, ἐπιμαρτυρῶν ὁ f Λαρήνσιος, καὶ συγκατατιθέμενος τῷ λόγῳ ἔφη, τὸν Μάριον τῶν ζώων τούτων δορὰς εἰς τὴν Ῥώμην ἀναπεπομφέναι, ἃς μηδένα εἰκάσαι δεδυνῆσθαι τίνος εἰσὶ, διὰ τὸ παράδοξον τῆς ὄψεως· ἀνατεθεῖσθαί τε [2] τὰς δορὰς ταύτας ἐν τῷ τοῦ Ἡρακλέους ἱερῷ, ἐν ᾧ

Gorgonum pelles Romae conſecratae.

1 Forſ. ὑπὸ τοῦ αὐτοῦ ἱστορ. 2 ἀνατεθ. δὲ edd.

expeditio teſtatum faciunt. Iſtud vero, quod ab eodem ſcriptore narratur, fidem non meretur: eſſe in Libya boves, qui *opiſthonomi* adpellentur, eo quod, cum paſcuntur, non antrorſum progrediantur, ſed deorſum recedant: impedimento enim, quo minus naturali modo paſci poſſint, eſſe illis cornua non ſurſum vergentia, ſicut aliis animantibus, ſed deorſum ſpectantia, & oculorum uſum intercludentia. Hoc quippe non eſt credibile, quum nullus alius hiſtoricus eam rem atteſtetur.

65. Quae cum dixiſſet Maſurius, adſenſus eſt Larenſius, confirmavitque ſermonem eius, dicens, pelles horum animalium Romam a Mario miſſas eſſe; quas cuiusnam eſſent animantis, coniectari neminem potuiſſe, propter inſolitam ſpeciem: dedicatasque eſſe eas pelles in Herculis templo, in quo triumphum agentes

οἱ τοὺς θριάμβους κατάγοντες στρατηγοὶ ἑστιῶσι τοὺς πολίτας, καθάπερ πολλοὶ τῶν ἡμεδαπῶν ποιηταὶ καὶ
a συγγραφεῖς εἰρήκασιν. Ὑμεῖς οὖν, ὦ γραμματικοὶ, κατὰ τὸν Βαβυλώνιον Ἡρόδικον, μηδὲν τῶν τοιούτων ἱστοροῦντες, Grammatici monosyllabi.

Φεύγετ', Ἀριστάρχειοι, ἐπ' εὐρέα νῶτα θαλάττης
Ἑλλάδα, τῆς ξουθῆς δειλότεροι κεμάδος.
γωνιοβόμβυκες, μονοσύλλαβοι, οἵσι μέμηλε
τὸ σφὶν, καὶ σφῶϊν,[1] καὶ τὸ μὶν, ἠδὲ τὸ νίν.
Τοῦθ' ὑμῖν εἴη, δυσπέμφελοι·[2] Ἡροδίκῳ δὲ
Ἑλλὰς ἀεὶ μίμνοι, καὶ θεόπαις Βαβυλών.

Κατὰ γὰρ τὸν κωμῳδιοποιὸν Ἀναξανδρίδην,

b — — Ἡδονὴν ἔχει,
ὅταν τις εὕρῃ καινὸν ἐνθύμημά τι,

1 καὶ τὸ σφῷν Brunck. cum Pierſ. 2 In ms. *Ep.* inter lineas ſcribitur δυσπέμφελον, id eſt, *Vobis habeatis difficiles iſtas nugas!*

imperatores epulum civibus exhibent; quemadmodum multi etiam ex noſtratibus poëtis & proſaicis ſcriptoribus dixerunt. Vos igitur Grammatici, qui nihil horum noſſe curatis, ut ait Babylonius Herodicus:

Fugite, Ariſtarchei, per lata aequoris terga
e Graecia, fulvis pavidiores rupicapris:
in angulis abditi vermes; monoſyllabi, quibus curae ſunt
σφὶν & σφῶϊν, & μὶν vocula, & νίν.
Haec vobis habeatis, difficiles homines! Herodico vero
Graecia ſemper maneat, & Deorum filia Babylon!

Nam, quod ait comicus Anaxandrides:

— — *Volupe eſt, novum*
ſi quis repertum primus exterebraverit,

δηλοῦν ἅπασιν. οἱ δέ γ' αὐτοῖσιν [1] σοφοὶ,
πρῶτον μὲν οὐκ ἔχουσι τῆς τέχνης κριτήν·
εἶτα φθονοῦνται. χρὴ γὰρ εἰς ὄχλον φέρειν
ἅπανθ', ὅσ' ἄν τις καινότητ' ἔχειν δοκῇ.

Ἐπὶ τούτοις τοῖς λόγοις ἀναχωροῦντες οἱ πολλοὶ λελῃθότως, διέλυσαν τὴν συνουσίαν.

1 αὐτοῖσιν Grot. Praecedens γε particula deeſt msstis.

aperire cunctis. Namque hi qui ſapiunt ſibi
ſolis, nullum artis iudicem inveniunt ſuae:
deinde invidentur. Tradere in vulgus decet,
novitatis quidquid venere commendabile eſt.

Peractis his ſermonibus, plerique clanculum ſe recipientes, coetum deſeruerunt.

ΑΘΗΝΑΙΟΥ
ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

p. 221 a

Ἐπειδὴ ἀπαιτεῖς, συνεχῶς ἀπαντῶν, ἑταῖρε Τιμόκρατες, τὰ παρὰ τοῖς δειπνοσοφισταῖς λεγόμενα, καινά τινα νομίζων ἡμᾶς εὑρίσκειν, ὑπομνήσομέν σε τὰ παρ' Ἀντιφάνει λεγόμενα, ἐν Ποιήσει, τόνδε τὸν τρόπον. I.

Tragoediae & Comoediae collatio.

Μακάριόν ἐστιν ἡ τραγῳδία
ποίημα κατὰ πάντ'. εἴ γε πρῶτον οἱ λόγοι

ATHENAEI
DEIPNOSOPHISTARUM

LIBER SEXTUS.

QUANDOQUIDEM, mi Timocrates, assidue nos adiens requiris Deipnosophistarum disputationes, nova quaedam existimans a nobis inveniri; in memoriam primum tibi revocabimus quae Antiphanes dixit in fabula cui Poësis titulus, his verbis:

Scilicet Tragoedia
felix poëma est. Nam principio, cognitum

ὑπὸ τῶν θεατῶν εἰσιν ἐγνωρισμένοι,
πρὶν καί τιν' εἰπεῖν· ὡς ὑπομνῆσαι μόνον
δεῖ τὸν ποιητήν. Οἰδίπουν γὰρ ἄν γε φῶ, [1] 5 b
τὰ δ' ἄλλα πάντ' ἴσασιν· ὁ πατὴρ Λάϊος,
μήτηρ Ἰοκάστη, θυγατέρες παῖδες τίνες·
τί πείσεθ' οὗτος, τί πεποίηκεν. ἂν πάλιν
εἴπῃ τις Ἀλκμαίωνα, καὶ τὰ παιδία
πάντ' εὐθὺς εἴρηκεν, ὅτι [2] μανεὶς ἀπέκτονε 10
τὴν μητέρ', ἀγανακτῶν δ' Ἄδραστος εὐθέως
ἥξει, πάλιν τ' ἄπεισι. — — —
Ἐπειθ', ὅταν [3] μηδὲν δύνωντ' εἰπεῖν ἔτι,
κομιδῇ δ' ἀπειρήκασιν ἐν τοῖς δράμασιν, c
αἴρουσιν ὥσπερ δάκτυλον τὴν μηχανὴν, 15
καὶ τοῖς θεωμένοισιν ἀποχρῶντως ἔχει.
Ἡμῖν δὲ ταῦτ' οὐκ ἔστιν. ἀλλὰ πάντα δεῖ a

1 γὰρ φῶ mss. absque ἄν γε. 2 εἰρηχ' ὅτι corrigunt viri docti. 3 Membr. continuo tenore sic: ἥξει πάλιν τ' ἄπεισι θ' ὅταν &c. Pro quo sic edebatur, ἥξει πάλιν τί πείσεθ' ὅταν &c. Grotius vero uno versu:

ἥξει. ὅτε δὲ μηδὲν δύναντ' εἰπεῖν ἔτι.

argumentum omne ſpectatori eſt, antequam verbum hiscat aliquis: nomen tantum dicere poëtae ſatis eſt. Oedipum praeſcripſero, iam reliqua per ſe norunt: pater eſt Laius, Iocaſta mater: tum qui nati & filiae, quid fecit, quid patietur. Si promiſerit Alcmaeona alius, ipſi dicent pueruli: hic ille eſt qui interfecit matrem inſaniens; indignabundus veniet Adraſtus ſtatim. Tum vero, ubi nil ultra quod dicant habent, & iam propemodum deplorata eſt fabula; tam facile, quam digitulum, tollunt machinam: atque id ſatis eſſe credit ſpectantum favor. At nobis iſta non licent: ſed omnia

εὑρεῖν, ὀνόματα καινὰ, [1] τὰ διωκημένα
πρότερον, τὰ νῦν παρόντα, τὴν καταστροφὴν,
τὴν ἐσβολήν. ἂν ἔν τι τούτων παραλίπῃ,
Χρέμης τις ἢ Φείδων τις ἐκσυρίττεται·
Πηλεῖ δὲ ταῦτ' ἔξεστι καὶ Τεύκρῳ ποιεῖν.

Διφίλος δ' ἐν Ἑλενηφορούσιν [2]

Ὦ τόνδ' ἐποπτεύουσα καὶ κεκτημένη
Βραυρῶνος ἱεροῦ θεοφιλέστατον τόπον,
b. Λητοῦς Διός τε τοξόδαμνε παρθένε,
ὡς οἱ τραγῳδοί φασιν, οἷς ἐξουσία
ἔστι λέγειν ἅπαντα καὶ ποιεῖν μόνοις.

II. Tragoediae utilitas.

Τιμοκλῆς δ' ὁ κωμῳδιοποιὸς, κατὰ πολλὰ χρήσιμην εἶναι λέγων τῷ βίῳ τὴν τραγῳδίαν, φησὶν ἐν Διονυσιαζούσαις·

Ὦ τὰν, ἄκουσον ἤν τι [3] σοι μέλλω [4] λέγειν.

1. κἄπειτα inferunt edd. cum msstis. — 2 Ἑλεωνηφορούσιν edd. Ἑλαιωνηφ. ms. 3 εἴ τι malebam. 4 δοκῶ apud Stob.

ſunt invenienda; nomina in primis nova, res ante geſtae, res praeſentes, exitus, initia. Ex illis ſi qua pars defecerit; exſibilatur Phidon, ſive ille eſt Chremes. Illa alia facere Peleo & Teucro licet.

Diphilus vero in Helenophoris:

O quae regens haec numine inſpectas tuo amica divis ſacra Brauronis loca, arcidoma virgo, nata Latonae ac Iovis; Tragici ut loquuntur, magna libertas quibus conceſſa fari ac facere quod libitum eſt modo.

2. Timocles vero comicus, *multis modis utilem eſſe vitae hominum Tragoediam* ait in Mulieribus Bacchi feſtum celebrantibus; cuius haec ſunt verba:

Adverte, ſodes, numquid ex uſu loquar.

Ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει,
καὶ πολλὰ λυπῆρ' ὁ βίος ἐν ἑαυτῷ φέρει.
παραψυχὰς οὖν Φροντίδων ἀνεύρατο
ταύτας. Ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν, 5 c
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
μεθ' ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
Τοὺς γὰρ τραγῳδοὺς πρῶτον, εἰ βούλει, σκόπει,
ὡς ὠφελοῦσι πάντας. ὁ μὲν ὢν γὰρ [1] πένης,
πτωχότερον αὐτοῦ καταμαθὼν τὸν Τήλεφον 10
γενόμενον, ἤδη τὴν πενίαν ῥᾷον φέρει.
ὁ νοσῶν δὲ μανικῶς, [2] Ἀλκμαίων' ἐσκέψατο.
ὀφθαλμιᾷ τις; εἰσὶ Φινεῖδαι τυφλοί.
τέθνηκέ τῳ παῖς; ἡ Νιόβη κεκούφικε. d
χωλός τις ἐστί; τὸν Φιλοκτήτην ὁρᾷ. 15
γέρων τις ἀτυχεῖ; κατέμαθεν τὸν Οἰνέα.

1 ὁ μὲν γὰρ ὢν edd. ὢν μὲν γὰρ Stob. absque artic. 2 Placet ὁ νοσῶν τι μανικὸν, quod eſt apud Stob.

Miſerum ſuapte natura animal eſt homo;
& vita, quanta quanta eſt, ſcatet incommodis.
Lenimenta ideo curis & ſolatium
ſibi ipſa reperit: namque mens proprii mali
oblita, alienis dum ſe mulcet miſeriis;
doctrinam pariter cum voluptate imbibit.
Primum Tragoedos, ſi placet, conſidera,
quam pulcra dent documenta. Nam, qui pauper eſt,
ubi pauperiorem ſe cognovit Telephum,
ibi paupertatem fert ſuam patientius.
Lymphatur aliquis; Alcmaeonem conſpicit:
oculis laborans, caecos Phinidas videt:
natum effert alius; Niobe lugentem levat:
dolet hic ſe claudum; ſed Philoctetem videt:
miſer in ſenecta eſt; intuetur Oenea.

Ἅπαντα γὰρ τὰ μείζον' ἢ πέπονθέ τις
ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος,
τὰς αὐτὸς αὐτοῦ συμφορὰς ῥᾷον φέρει. 1

III.

Reddere, non Dare. Accipere, non Recipere.

Καὶ ἡμεῖς οὖν, ὦ Τιμόκρατες, ἀποδίδομέν σοι τὰ τῶν δειπνοσοφιστῶν λείψανα, καὶ οὐ δίδομεν, ὡς ὁ Κοθωκίδης φησὶ ῥήτωρ, Δημοσθένην χλευάζων· ὃς, Φιλίππου Ἀθηναίοις Ἁλόνησον 2 δι-
e δόντος, συνεβούλευε „μὴ λαμβάνειν εἰ δίδωσιν, ἀλλὰ μὴ ἀποδίδωσιν.“ Ὅπερ Ἀντιφάνης ἐν Νεόττιδι παιδιὰν θέμενος, ἐρεσχελεῖ 3 τόνδε τὸν τρόπον·

Ὁ δεσπότης δὲ πάντα τὰ παρὰ τοῦ πατρὸς
ἀπέλαβεν, ὥσπερ ἔλαβεν. ἠγάπησεν ἂν
τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης.

Ἀλεξις δ' ἐν Στρατιώτῃ·

Α. Ἀπόλαβε. 4 Β. Τουτὶ δ' ἔστι τί; Α. Ὃν παρ' ὑμῶν ἐγὼ

1 ἧττον στένει apud Stob. 2 Ἁλόννησον edd. 3 ἐρεσχιλεῖ ms. *A*. 4 Ἀπέλαβες edd.

Ita quisque, dum eveniſſe maiores ſuis
olim aliis calamitates ſecum cogitat,
animo aequiore fert fortunae iniurias.

3. Nos igitur, mi Timocrates, *reddimus* tibi Deipnoſophiſtarum reliquias, *non damus*, ut Cothocides orator (Aeſchines) ait, ridens Demoſthenem; qui, quum Philippus Athenienſibus Haloneſum obtuliſſet, ſuaſit civibus, *ne acciperent ſi daret, non redderet.* Quod dictum Antiphanes, in Neottide, (*ſive*, Iuvencula) per iocum ſic ludificatur:

Herus meus omnia patris bona
ἀπελάβε, ſicut ἔλαβε. Gaudenti animo
hoc verbum adoptaturus erat Demoſthenes.

Alexis vero, in Milite:

A. *Recipe.* B. *At quid hoc eſt?* A. *Quem a vobis ego*

παιδάριον ἔλαβον, ἀποφέρων ἥκω πάλιν.

Β. Πῶς; οὐκ ἀρέσκει σοι τρέφειν; Α. Οὐκ ἔστι γὰρ f
ἡμέτερον. Β. Οὐδ' ἡμέτερον. Α. Ἀλλ' ἐδώκατε
ὑμεῖς ἐμοὶ τοῦτ'. Β. Οὐ δεδώκαμεν. Α. Τί δέ;
Β. Ἀπεδώκαμεν. [1] Α. Τὸ μὴ προσῆκον ἐμοὶ λα-
βεῖν.

Καὶ ἐν Ἀδελφοῖς·

Α. Ἐγὼ δέδωκα γάρ τι ταύταις; εἰπέ μοι.
Β. Οὐκ, ἀλλ' ἀπέδωκας, [2] ἐνέχυρον δήπου [3] λα-
βών.

Ἀναξίλας δὲ, ἐν Εὐανδρείᾳ· a

Α. Καὶ τὰς παλ . . . . , μὰ τὴν γῆν, [4] μὴ σύ γε
δῷς, ἀλλ' ἀπόδος. Β. Καὶ δὴ φέρουσ' ἐξέρχομαι.

Τιμοκλῆς δ' ἐν Ἥρωσιν·

Α. Οὐκοῦν κελεύεις νῦν με τὰ πάντα [5] μᾶλλον ἢ

1 ἀποδεδώκαμεν vulgo. 2 ἀποδέδωκας vulgo. 3 ἐνέχυρόν που edd. 4 παλαίστρας σοι μὰ τὴν γῆν vulgo. παλευτρίας μὰ τὴν Γῆν legit Dalech. vertens, *Illices mihi per Cererem ne dederis.* παλάθας ἐμοὶ μὰ Γῆν corr. Caſaub. id eſt, *ficorum maſſas mihi.* Si verum eſt παλάθας, malim dein μὰ τὴν, absque Γῆν. 5 κέλευε νῦν τὰ πάντα edd.

puerulum accepi, eum vobis reſtituo.

B. *Qui ſic? non tibi placet eum alere?* A. *Non: nec enim noſter eſt.* B. *Nec noſter.* A. *At dediſtis vos mihi hunc.* B. *Non dedimus.* A. *Quid ergo?*

B. *Reddidimus.* A. *Quem ad me non pertinebat accipere.*

Et in Fratribus:

A. *Ego-ne dedi aliquid iſtis mulieribus? dic ſodes.*

B. *Non: ſed reddidiſti, nempe quod pignus acceperas.*

Anaxilas vero, in Euandria:

A. *Et iſtas - - , per Terram, non tu mihi da, ſed redde.* B. *Ecce egredior, illas adferens.*

Timocles vero, in Heroibus:

A. *Igitur iubes nunc me omnia potius, quam*

τὰ προσόντα [1] φράζειν. πάνυ γε δράσω τοῦτό σοι.
Β. Καὶ πρῶτα μέν σοι παύσεται Δημοσθένης
ὀργιζόμενος. Α. Ὁποῖος; [2] Β. Ὁ Βριάρεως,
ὁ τοὺς καταπέλτας τάς τε λόγχας ἐσθίων·
b μισῶν λόγους ἄνθρωπος· οὐδὲ πώποτε
ἀντίθετον εἰπὼν οὐδέν, ἀλλ' Ἄρη βλέπων.

Κατὰ τοὺς οὖν προειρημένους ποιητὰς, καὶ αὐτοὶ τὰ ἑπόμενα τοῖς προειρημένοις ἀποδιδόντες, καὶ οὐ διδόντες, τὰ ἀκόλουθα λέξομεν.

IV. Mensae inferuntur Pisces.

Ἐπεισῆλθον οὖν ἡμῖν παῖδες, πλῆθος ὅσον ἰχθύων φέροντες θαλασσίων λιμναίων τε ἐπὶ πινάκων ἀργυρῶν, ὡς θαυμάσαι μετὰ τοῦ πλούτου καὶ τὴν πολυτέλειαν. μονοιουχὶ γὰρ καὶ τὰς Νηρηίδας ὀψωνήκει. καί τις τῶν παρασίτων καὶ κολάκων ἔφη, τὸν
c Ποσειδῶ πέμπειν τῷ Νεπτουνίῳ ἡμῶν τοὺς ἰχθῦς·

1 τὰ περιόντα interpretatus est Dalecampius. 2 ὁποῖος ὁ Βριαρ. edd. absque distinctione.

quae ad rem pertinent, loqui. Utique id faciam tibi.
B. Et primum quidem tibi ceſſabit Demoſthenes
iraſci. A. Quis? B. Briareus ille,
qui catapultas haſtasque devorat:
odio habens orationis artes: qui nullum
antitheton umquam dixit; nonniſi Martem ſpectans.

Igitur, ſecundum praedictos poëtas, etiam nos tibi, quae ante dictis conſequentia ſunt, *reddentes*, non *dantes*, deinceps exponemus.

4. Ingreſſi igitur nobis ſunt pueri, ingentem ferentes piſcium multitudinem, cum marinorum, tum ex lacubus, in lancibus argenteis; ut praeter divitias magnificentiam etiam miraremur: nam propemodum dixiſſes, ipſas Nereidas pro obſonio fuiſſe a convivatore adſcitas. Dicebatque unus e paraſitis & adulatoribus, Neptunum Neptunio noſtro mittere piſces: non per eos

οὐ διὰ τῶν ἐν τῇ Ῥώμῃ ἴσον ἴσῳ τὸν ἰχθῦν πωλούντων· ἀλλὰ τοὺς μὲν ἐξ Ἀντίου κεκομίσθαι, ἑτέρους δ' ἐκ Ταρακίνων, καὶ τῶν καταντικρὺ νήσων Ποντίων· ἄλλους δ' ἐκ Πύργων· πόλις δ' αὕτη Τυρρηνική. Οἱ γὰρ ἐν τῇ Ῥώμῃ ἰχθυοπῶλαι οὐκ ὀλίγον [1] ἀποδέουσι τῶν κατὰ τὴν Ἀττικήν ποτε κωμῳδηθέντων. περὶ ὧν Ἀντιφάνης μὲν ἐν Νεανίσκοις φησίν·

Piscarii Gorgonibus similes.

Ἐγὼ τέως μὲν ᾠόμην [2] τὰς Γοργόνας
εἶναί τι λογοποίημα· πρὸς ἀγορὰν δ' ὅταν
ἔλθω, πεπίστευκ' εὐθύς. ἐμβλέπων γὰρ ἂν [3] d
τοῖς ἰχθυοπώλαις, λίθινος εὐθὺς γίνομαι·
ὥστ' ἐξ ἀνάγκης ἔστ' ἀποστραφέντι μοι
λαλεῖν πρὸς αὐτούς. ἐὰν ἴδω γὰρ ἡλίκου
ἰχθῦν ὅσου τιμῶσι, πήγνυμαι σαφῶς.

V.

Ἄμφις δ' ἐν Πλάνῳ·

1 οὐ δ' ὀλίγον malebam. 2 ᾤμην vulgo. 3 Vulgo ἐμβλέπων γὰρ αὐ-τοῖς, diremta voce, & in duos versus distributa.

qui Romae aequali argenti pondere piscem quemque vendunt: sed esse alios Antio advectos, alios ex Terracina & oppositis Pontiis insulis, alios ex Pyrgis, Etruriae oppido. Nam Romae piscarii nihil quidquam differunt ab Atticis illis, qui olim a comicis poëtis in scena traducti sunt. De quibus Antiphanes in Adolescentibus ait:

Ego antehac, si quis nominaret Gorgonas,
figmentum esse arbitrabar: at, postquam in forum
adveni, actutum credidi. Piscarios
nam simul inspexi, factus sum ipse saxeus.
Adeoque ego illos, ni prius vultum avertero,
affari nequeo: nam, si inspiciam quantulum
quanti indicent pisciculum, lapidescam illico.

5. Amphis vero in Plano: (*id est*, Circulatore, *vel* Impostore:)

Πρὸς τοὺς στρατηγοὺς ῥᾷόν ἐστι μυρίαις
μοίραις προσελθόντ' ἀξιωθῆναι λόγου,
λαβεῖν τ' ἀπόκρισιν, ἄν τι [1] ἐπερωτᾷ τις, ἢ
πρὸς τοὺς καταράτους ἰχθυοπώλας ἐν ἀγορᾷ.
Οὓς ἐὰν ἐπερωτήσῃ τις, ἢ λαβών τι τῶν
παρακειμένων ἔκυψεν ὥσπερ Τήλεφος
πρῶτον σιωπῇ· (καὶ δικαίως τοῦτό γε·
ἅπαντες ἀνδροφόνοι γὰρ εἰσιν ἐνὶ λόγῳ·)
ὡσεὶ προσέχων [2] οὐδέν, οὐδ' ἀκηκοὼς,
ἔκρουσε πόλυπόν τιν'· ὁ δ' ἐπρήσθη, κ' οὐ λαλῶν [3]
ὅλα ῥήματ', [4] ἀλλὰ συλλαβὴν ἀφελὼν, τάρων [5]
βολῶν [6] γένοιτ' ἄν· ἡ δὲ κέστρ' ὀκτὼ βολῶν. [7]
Τοιαῦτ' ἀκοῦσαι δεῖ τὸν ὀψωνοῦντά τι.

Piscarii, hominum insolentissimi.

Ἀλεξις, Ἀπεγλαυκωμένῳ·
Τοὺς μὲν στρατηγοὺς τὰς ὀφρῦς ἐπὰν ἴδω

1 ἂν ἐπερ. vulgo, absque τι. 2 In membr. est sola δ lit. absque ὁ. In ed. Cas. προσέχων· ὁ δ' οὐδ. 3 καί τ' οὐ λαβὼν edd. 4 ὅλα τὰ ῥήματα ms. *A*. 5 τεττάρων ms. *A*. 6 ὀβολῶν vulgo. 7 ὀκτ' ὀβολῶν edd.

Ad imperatorem adiens, mille partibus
facilius ingressum sermonemque impetres;
quin & responsum accipias, si quid quaerites;
quam apud exsecrandos piscivendulos fori.
Nam si quis quaerat quidquam, aut ex prostantibus
emere quod cupiat tollens, tamquam Telephus
stat capite prono tacitus; (& merito quidem,
namque uno verbo homicidae sunt omne id genus:)
tum ille, tamquam surdus, aut aliud agens,
polypum concussat; alius irascens, nihil
eloquitur nisi quod syllaba curtet: »tuor
»*bolis emtum erit hoc; at sudis haec octo bolis.«*
Obsonaturus haec talia audire cogitur.

Alexis, in Apeglaucomeno: (*vel*, Caerulato:)
Praetores equidem cum supercilium altius

ἀνεσπακότας, δεινὸν μὲν ἡγοῦμαι ποιεῖν·
οὐ πάνυ τι θαυμάζω δε, προτετιμημένους
ὑπὸ τῆς πόλεως μείζω τι [1] τῶν ἄλλων φρονεῖν.
Τοὺς δ' ἰχθυοπώλας, τοὺς κάκιστ' ἀπολουμένους,
ἐπὰν [2] ἴδω κάτω βλέποντας, τὰς δ' ὀφρῦς
ἔχοντας ἐπάνω τῆς κορυφῆς, ἀποπνίγομαι.
ἐάν τ' ἐρωτήσῃς, [3] πόσου τοὺς κεστρέας
πωλεῖς δύ' ὄντας; δέκ' ὀβολῶν, φησί. — Βαρύ·
ὀκτὼ λάβοις ἄν; — Εἴπερ ὠνεῖ [4] τὸν ἕτερον. — a
Ὦ τὰν, λάβε, καὶ μὴ παῖζε. — Τόσου δεῖ. πα-
ράτρεχε. — [5]
Ταῦτ' οὐχὶ πικρότερ' ἐστὶν αὐτῆς τῆς χολῆς;

VI.

Astutia & nequitia piscariorum.

Δίφιλος, Πολυπράγμονι.

Ὡιμην ἐγὼ τοὺς ἰχθυοπώλας τὸ πρότερον
εἶναι πονηροὺς τοὺς Ἀθήνησι μόνους.

1 τι abest edd. vett. & ms. 2 Quidni ἐπεὶ ἂν ἴδω, aut ἐπάν γ' ἴδω? 3 ἐρωτήσαις edd. cum ms. *A*. 4 ὠνῇ edd. 5 Vulgo καὶ μὴ παῖζε τοὺς οὐ δεῖ παράτρεχε. Valckenarius corrigebat, καὶ μὴ παῖζέ γ' οὓς οὐ δεῖ. Τρέχε.

tollentes video, inique facere existimo:
non valde interea miror, auctis honoribus
a civitate si altos sumunt spiritus.
At perditos illos videns Piscarios,
superciliis sublatis usque ad verticem
proterve desuper spectantes, emorior.
Si quaeras: Istos quanti, dic, mugiles duos?
Decem obolis, inquit. — Ah! grave est; octo arbitror
accipies. — Sane, si duorum emis alterum. —
Accipe; ne lude! — Haud minoris erunt. Abi! —
Haec nonne superant fellis amaritudinem?

6. Diphilus, in Curioso:

Ego arbitrabar antidhac, piscarios
sceleστos esse tantum Athenis Atticis:

τόδε δ', [1] ὡς ἔοικε, τὸ γένος, ὥσπερ θηρίον,
ἐπίβουλόν ἐστι τῇ φύσει, καὶ παντα χοῦ.
Ἐνταῦθα γοῦν ἔστιν τις ὑπερηκοντικῶς,
κόμην τρέφων μὲν, πρῶτον ἱερὰν τοῦ θεοῦ,
b ὡς φησίν· οὐ διὰ τοῦτό γ'· ἀλλ' ἐστιγμένος,
πρὸ τοῦ μετώπου παραπέτασμ' αὐτὴν ἔχει.
οὗτος ἀποκρίνετ', ἂν ἐρωτήσῃς, πόσου
ὁ λάβραξ; δέκ' ὀβολῶν. οὐχὶ προσθεὶς ὁποδαπῶν. [2]
ἔπειτα δ', [3] ἂν τ' ἀργύριον αὐτῷ καταβάλῃς,
ἐπράξατ' Αἰγιναῖον. ἂν δ' αὐτὸν δέῃ
κέρματ' ἀποδοῦναι, προσαπέδωκεν Ἀττικάς.
κατ' ἀμφότερα δὲ τὴν καταλλαγὴν ἔχει.
c Ξέναρχος, Πορφύρᾳ·
Οἱ μὲν [4] ποιηταὶ (φησὶ) λῆρός εἰσιν. οὐδὲ ἓν
καινὸν γὰρ εὑρίσκουσιν· ἀλλὰ μεταφέρει

1 Vulgo nude τὸ δ' ὡς ἔοικε. 2 προσθεὶς σοι ποταπῶν edd. cum ms. *Epit.* προσθήσοι ποδαπῶν ms. *A.* 3 Ἐπειτά γ' ἂν τ' ἀργ. edd. Ἐπειτ' ἄν τ' ἀργ. mss. 4 Οἱ δὲ edd.

ſed, nunc ut video, genus hoc, tamquam animal ferum,
ſuâ naturâ ubivis inſidias facit.
Heic vero eſt unus longe anteſtans omnibus:
comam promittens tamquam ſacratam Deo:
obtentus is, non cauſſa eſt: nam frontem notis
compunctus, obtegumentum ſibi ſumſit comam.
Tum ſi quis quaerat, Hic lupus quanti? Decem,
reſpondet, obolis; non addens cuiatibus.
Si deinde argentum numeres, Aeginaeticum
perſolvi ſibi vult: contra, ſi ipſum oporteat
tibi reddere aesculi aliquid, reddat Atticum.
Utraque a parte ſic compendium facit.

Xenarchus, in Purpura:

Poëtae (inquit) *nugae ſunt merae. Nam dicitur*
iam nihil ab illis quod non ſit dictum prius:

ἕκαστος αὐτῶν ταῦτ' ἄνω τε καὶ κάτω.
Τῶν δ' ἰχθυοπωλῶν Φιλοσοφώτερον γένος
οὐκ ἔστιν οὐδὲν, οὐδὲ μᾶλλον ἀνόσιον.
ἐπεὶ γὰρ αὐτοῖς οὐκ ἔτ' ἐστ' ἐξουσία
ῥαίνειν, ἀπείρηται δὲ τοῦτο τῷ νόμῳ·
εἶθ' εἷς [1] θεοῖσιν ἐχθρὸς ἄνθρωπος, πάνυ
ξηραινομένους ὡς εἶδε [2] τοὺς ἰχθῦς, μάχην
ἐποίησ' ἐν αὐτοῖς [3] ἐξεπίτηδες εὖ πάνυ.
ἦσαν δὲ πληγαί· καιρίαν δ' εἰληφέναι
δόξας, καταπίπτει, καὶ λιποψυχεῖν δοκῶν,
ἔκειτο νεκρὸς οἷα [4] μετὰ τῶν ἰχθύων.
βοᾷ τις [5] ὕδωρ. ὁ δ' εὐθὺς ἐξάρας πρόχουν
τῶν ὁμοτέχνων τις, τοῦ μὲν ἀκαρῆ [6] παντελῶς
κατέχει, κατὰ δὲ τῶν ἰχθύων ἀπαξάπαν. [7]

1 εἴ τις edd. θεοῖς τις ἐχθρ. absque εἰ ms. *Epit.* εἶτ' εἰς ms. *A.* 2 εἰσεῖδε edd. invitis mss. 3 ἐποίησεν αὐτοῖς vulgo. ἐποίησεν αὐτῷ Grot. 4 Desunt verba νεκρὸς οἷα msstis. 5 βοᾷ δέ τις mss. 6 ἀχαρεῖ ms. *Ep.* 7 ἅπαξ ἐπάνω vulgo. Grotius versum sic constituit: κατέχει, κατὰ τῶν δ' ἰχθύων ἐπάνω ἅπαξ.

sed, alii quae invenerunt, sumunt mutuo.
At piscium profecto venditoribus
sollertior gens nulla est, aut sceleratior.
Nam quia pisces illis non amplius licet
rigare, quippe lata lege prohibiti;
inde unus ex eis nequissimus homo,
peraridos suos pisces intelligens,
pugnam de industria cum aliis conserit,
plagaeque dantur: ipse, quasi letaliter
ictus linquatur animo, sic collabitur,
iacetque pisces propter semimortuus.
Aquam! clamat aliquis: tum artis particeps
aquale sumit; ipsum perfunctorie
irrorat; pisces toti ut permadeant facit:

εἴποις γ' ἂν [1] αὐτοὺς ἀρτίως ἡλωκέναι.

VII. Piscium infelix genus.

Ὅτι δὲ καὶ νεκροὺς πωλοῦσι τοὺς ἰχθῦς, καὶ σεσηπότας, ἐπισημαίνεται ὁ Ἀντιφάνης, ἐν Μοιχοῖς, διὰ τούτων·

e Οὐκ ἔστιν οὐδὲν θηρίον τῶν ἰχθύων
ἀτυχέστερον. τὸ γὰρ [2] μὴ ἀποχρῆν ἀποθανεῖν
αὐτοῖς ἁλοῦσιν, εἶτα κατεδηδεσμένοις
εὐθὺς ταφῆναι. παραδοθέντες ἄθλιοι
τοῖς ἰχθυοπώλαις τοῖς κακῶς ἀπολουμένοις, 5
σήπονθ', ἕωλοι κείμενοι δύ' ἡμέρας
ἢ τρεῖς. μόλις δέ γ' ἄν ποτ' [3] ὠνητὴν τυφλὸν
λάβωσιν, ἔδωκαν τῶν νεκρῶν ἀναίρεσιν
τούτῳ. κομίσας ὁ δ' ἐξέβαλλεν οἴκαδε, [4]
τὴν πεῖραν ἐν τῇ ῥινὶ τῆς ὀδμῆς λαβών. 10

f Ἐν δὲ Φιλοθηβαίῳ φησίν·

1 εἴποις τ' ἂν edd. cum ms. *A*. 2 τῷ γὰρ vulgo. 3 μόλις δ' ἄν ποτ' mss. 4 ἐξέβαλεν οἴκαδε vulgo. ἐξέβαλ' εὐθὺς οἴκαδε vel οἰκόθεν corr. Casaub. ἐξέβαλλεν οἰκόθεν Grot.

fuisse captos ipsa hac hora diceres.

7. Vendi autem ab eisdem etiam mortuos pisces atque putres, significat Antiphanes, in Adulteris, his verbis:

Nullum animal usquam pisces infortunio
exsuperat. Neque enim satis est, captos emori,
ut mox humanis in visceribus conditi
sepulcrum inveniant. Sed dati piscariis,
quam nationem pessime Dî perduint,
iacent putrescentes per duos, per tres dies.
Et si fors tandem caecum emtorem invenerint,
ei tollendi mortuos fit copia.
At, qui foro hos extulerat, mox eliminat
domo, simul atrox perculit nares odor.

In Philothebano vero dicit:

Οὐ δεινόν ἐστι, προσφάτους μὲν ἂν τύχῃ
πωλῶν τις ἰχθῦς, συναγαγόντα [1] τὰς ὀφρῦς
τοῦτον, σκυθρωπάζοντά θ', ἡμῖν προσλαλεῖν·
ἐὰν σαπροὺς δὲ, κομιδῇ παίζειν καὶ γελᾶν.
τοὐναντίον γὰρ πᾶν ἔδει τούτους ποιεῖν·
τὸν μὲν γελᾶν, τὸν δ' ἕτερον οἰμώζειν μακρά.

Ὅτι δὲ καὶ παμπόλλου πιπράσκουσιν, Ἄλεξις ἐν Πυλαίαις φησίν·

Νὴ τὴν Ἀθηνᾶν, ἀλλ' ἐγὼ τεθαύμακα a
τοὺς ἰχθυοπώλας, πῶς ποτ' οὐχὶ πλούσιοι
ἅπαντές εἰσι, λαμβάνοντες βασιλικοὺς
φόρους. οὐχὶ μόνον ἀποδεκατεύουσι γὰρ [2]
τὰς οὐσίας ἐν ταῖς πόλεσι καθήμενοι,
ὅλας δ' ἀφαιροῦνται καθ' ἑκάστην ἡμέραν.

VIII. Καὶν τῷ Λέβητι δὲ, φησὶν ὁ αὐτὸς ποιητής·

1 συνάγοντα vulgo. 2 Vulgo μονονουχὶ δεκατεύουσι γάρ. Ubi ἡμῶν μονονουχὶ δεκατ. γὰρ corr. Caſaub.

Quam non ferendum eſt: piſces ſi quis venditat
recentes, hunc reducta fronte in verticem
advorſum nos tueri torvum ac tetricum;
qui putres vendat, hunc ridere ac ludere?
Nam plane verum fuerat, e contrario
& hunc plorare, & illum ridere affatim.

Ingenti autem admodum pretio vendere ſolitos eſſe, Alexis ſic oſtendit, in Pylaeis:

Mihi medius fidius ſaepe admirari libet,
quî fiat ut non omnes piſcivenduli
ſummis praeniteant opibus, cum tam regia
tributa accipiant: nam ſedentes publice
decumare noſtros cenſus non ſatis habent,
ſed totos illos hauriunt quotidie.

8. Tum in Lebete dicit idem poëta:

Οὐ γέγονε κρείττων νομοθέτης τοῦ πλουσίου
Ἀριστονίκου. τίθεται [1] γὰρ νυνὶ νόμον·
τῶν ἰχθυοπωλῶν ὅστις ἂν πωλῶν γε, [2] τὸν
b ἰχθῦν ὑποτιμήσας, [3] ἀποδῶτ' ἐλάττονος
ἧς εἶπε τιμῆς, εἰς τὸ δεσμωτήριον
εὐθὺς ἀπάγεσθαι τοῦτον. ἵνα δεδοικότες
τῆς ἀξίας ἀγαπῶσιν, ἢ τῆς ἑσπέρας [4]
σαπροὺς ἅπαντας [5] ἀποφέρωσιν οἴκαδε.
Κἀνταῦθα καὶ γραῦς καὶ γέρων καὶ παιδίον
πεμφθεὶς [6] ἅπαντες ἀγοράσουσι [7] κατὰ τρόπον.

Ariſtonici leges piſcariis latae.

Καὶ προελθὼν δὲ φησίν·

Οὐ γέγονε μετὰ Σόλωνα κρείττων οὐδὲ εἷς
Ἀριστονίκου νομοθέτης. τά τ' ἄλλα γὰρ
c νενομοθέτηκε πολλὰ καὶ παντοῖα δὲ, [8]
νυνί τε καινὸν εἰσφέρει νόμον τινὰ

1 τίθησι vulgo. 2 Deeſt γε msstis. 3 Forſ. ἐπιτιμήσας, *qui carius indicaverit.* 4 εἶτ' ἐς ἑσπέραν ms. *Ep.* 5 ἅπαντες vulgo. 6 πεμφεῖς ed. Baſ. & Caſ. 7 ἀγοράσωσι ms. *Ep.* 8 δὴ Grot.

Nemo umquam melior iuris auctor divite
Ariſtonico. Namque is hanc legem tulit:
Si quisquam faciens quaeſtum e re piſcaria
piſcem indicaſſet, & minoris traderet
eum indicato, collo obtorto in vincula
abduceretur; ut eius exempli metu
addicere aequo vellent pretio, aut veſpere
cunctos referrent piſces putentes domum.
Nunc ergo anus, ſenecio, ſeu miſſus puer,
aeque bene omnes, quidquid collibitum eſt, ement.

Idem deinde ait:

Ariſtonico poſt Solonis tempora
nemo legum auctor exſtitit prudentior.
Nam leges multas atque multiplices tulit;
& nunc rogationem ſcivit auream:

χρυσοῦν· τὸ μὴ πωλεῖν ἔτι καθημένους
τοὺς ἰχθυοπώλας, διὰ τέλους δ' ἑστηκότας.
εἶτ' εἰς νέωτά φησι γράψειν, κρεμαμένους·
καὶ θᾶττον ἀποπέμψουσι [1] τοὺς ὠνουμένους,
ἀπὸ μηχανῆς πωλοῦντες, ὥσπερ οἱ θεοί.

IX. Hominum quinam flagitiosissimi.

Ἐμφανίζει δ' αὐτῶν καὶ τὸ σκαιὸν, ἔτι δὲ μισάνθρωπον, Ἀντιφάνης ἐν Μισοπονήρῳ, πρὸς τοὺς ἐν τῷ βίῳ κακίστους τὴν σύγκρισιν αὐτῶν ποιούμενος, διὰ τούτων· d

Εἶτ' οὐ σοφοὶ δῆτ' εἰσὶν οἱ Σκύθαι σφόδρα;
οἳ γενομένοισιν εὐθέως τοῖς παιδίοις
διδόασιν [2] ἵππων καὶ βοῶν πίνειν γάλα·
οὐχὶ, μὰ Δία, τιτθὰς εἰσάγουσι βασκάνους,
καὶ παιδαγωγοὺς αὖθις, ὧν μεῖζον [κακὸν
οὐκ ἔστιν οὐδέν, μετά] γε μαίας, νὴ Δία. [3]

1 ἀποπέμπουσι edd. cum ms. *A*. 2 διαδιδόασιν vulgo. διδοῦσιν corrigit Iacobs. 3 Pro duobus est unus vulgo versus, in medio mutilus: καὶ παιδαγωγοὺς αὖθις ὧν μείζω γε * μαίας νὴ Δία.

Ne desidentes in foro piscarii
obsonia vendant, totum sed stantes diem:
idem ut pendentes faciant, anno proximo
scripturus: homines quo a se absolvant celerius,
gerentes rem de machina, exemplo Deûm.

9. Eorumdem importunitatem & inhumanitatem Antiphanes etiam declarat, conferens eos cum iis qui sunt ex omnibus hominibus pessimi; ubi sic ait:

Nonne ergo praeter caeteros sapiunt Scythae?
qui liberis de matre adhuc rubentibus
immulgent lactis bovilli & equini copiam:
neque illis addunt aut nutrices maleficas,
aut paedagogos; maius quibus haud est malum
reperire, si obstetrices prius exceperis;

αὗται δ' ὑπερβάλλουσι· μετά γε, νὴ Δία,
τοὺς μητραγυρτοῦντας. πολύ τοι γὰρ αὖ γέ-
νος [1]
e μιαρώτατον τοῦτ' ἐστίν· [2] εἰ μὴ, νὴ Δία,
τοὺς ἰχθυοπώλας τίς γε βούλεται λέγειν·
μετὰ τούς γε, νὴ Δία, τραπεζίτας. [3] ἔθνος
τούτου γὰρ οὐδὲν ἐστιν ἐξωλέστερον.

Οὐκ ἀπιθάνως δὲ καὶ Δίφιλος, ἐν Ἐμπόρῳ, [4] περὶ τοῦ παμπόλλου πιπράσκεσθαι τοὺς ἰχθῦς λέγει ὧδε· X. Piſcariorum avaritia.

Οὐ πώποτ' ἰχθῦς οἶδα τιμιωτέρους
ἰδών. Πόσειδον· εἰ δεκάτην ἐλάμβανες [5]
αὐτῶν ἀπὸ τῆς τιμῆς ἑκάστης ἡμέρας,
πολὺ τῶν θεῶν ἂν ἦσθα πλουσιώτερος.
f Ὅμως δὲ τούτων εἴ με [6] προσγελάσειέ τις, 5

1 Verſum iſtum vulgo monſtroſe ſic ſcribunt: τοὺς μετραπατῶντας (μητρ. ms. *A.*) τούς τ' ἀγυρτοῦντας· πολὺ γὰρ: tum vocem γένος ad ſeq. verſ. referunt. πολὺ γὰρ αὖ γένος dedere mssti. 2 Perperam τῶν τ' ἐστὶν edd. 3 Vulgo μετά γε τοὺς τραπ. abſque νὴ Δία. 4 Vulgo h. l. ἐν Ἐμπορίῳ. 5 αὐτῶν ἐλάμβανες vulgo. 6 εἴ μοι ms. *Ep.*

quibus malitia inſignis, poſt illam quidem
quae ineſt matris Deûm agyrtis propria;
quo genere nullum reperies ſceleratius,
niſi quis priorem det locum piſcariis:
ſed & hos locandos poſt trapezitas puto,
qua natione nulla eſt peſtilentior.

10. Nec vero illepide Diphilus quoque, in Mercatore, maximo pretio vendi piſces dicit his verbis:

Vidiſſe piſces cariores antidhac
non memini. Decuma, rex Neptune, ſi tibi
iſto de pretio cederet quotidie,
omnes anteires coelites opulentia.
Tamen, piſcarius ſi arriſiſſet mihi,

ἐδίδουν στενάξας ὁπόσον αἰτήσειέ με.
γόγγρον μὲν, ὥσπερ ὁ Πρίαμος τὸν Ἕκτορα,
ὅσον εἵλκυσεν, τοσοῦτο καταβὰς ἐπριάμην.

Ἄλεξις δ' ἐν Ἑλληνίδι·

Pisces, hominum pernicies.

Αἰεὶ δὲ καὶ ζῶντ' ἐστὶ καὶ τεθνηκότα
ἐν τῇ θαλάττῃ πολέμι' ἡμῖν θηρία.
Ἂν ἀνατραπῇ [1] γὰρ πλοῖον, εἶθ', ὡς γίνεται,
ληφθῇ νέων τις, καταπεπώκασ' εὐθέως.
αὐτοί τ' [2] ἐπὰν ληφθῶσιν ὑπὸ τῶν ἁλιέων, 5 a
τεθνεῶτες ἐπιτρίβουσι τοὺς ὠνουμένους.
τῆς οὐσίας γὰρ εἰσιν ἡμῶν ὤνιοι,
ὁ πριάμενός τε πτωχὸς εὐθὺς ἀποτρέχει.

Ἐξ ὀνόματος δ' ἰχθυοπώλου μνημονεύει, Ἑρμαίου Αἰγυπτίου, Ἄρχιππος ἐν Ἰχθύσιν, [3] οὕτως·

Αἰγύπτιος μιαρώτατος τῶν ἰχθύων
κάπηλος Ἑρμαιος, [4] ὃς βίᾳ δέρων ῥίνας

1 Ἐὰν τραπῇ edd. 2 αὐτοί γ' edd. 3 Ἱππεῦσιν vulgo h. l. 4 Ἐρ-

dediſſem exactum pretium, quantumvis gemens: pro congro vero, tamquam Priamus pro Hectore, quantum ipſe pendit, tantum pendiſſem libens.

Alexis vero in Hellenide: (*ſive*, Graecâ:)

Seu ſunt exanimes, ſive ſunt ſuperſtites, infeſtae nobis ſunt animantes pelagiae. Nam, nave everſa, nantem ſi, ut fieri ſolet, quem nanciſcuntur, hunc continuo devorant. Piſcator ipſas aliquis ſi nanciſcitur, iam ſumtu emtores obterunt emortuae: nam comparantur toto patrimonio, & eos mendicos faciunt qui ſe praeſtinant.

Nominatim vero piſcarii cuiusdam, Hermaei Aegyptii, mentionem facit Archippus, in Piſcibus:

Aegyptius ſceleratiſſimus piſcium inſitor Hermaeus; qui vi deglubens ſquatinas

γαλεοὺς τε πωλεῖ, καὶ λάβρακας . . . .
ἑντέρων, [1] ὡς λέγουσιν ἡμῖν.

b Καὶ Ἄλεξις δ', ἐν Ἐπικλήρῳ, Μικίωνος ἰχθυοπώλου τινὸς μνημονεύει.

XI. Laus artis piscatoriae.

Εἰκότως οὖν καὶ οἱ ἁλιεῖς ἐπὶ τῇ τέχνῃ μέγα φρονοῦσι μᾶλλον ἢ οἱ ἄριστοι τῶν στρατηγῶν. παράγει γοῦν τινα τούτων Ἀναξανδρίδης, ἐν Ὀδυσσεῖ, περὶ τῆς ἁλιευτικῆς τέχνης τάδε λέγοντα·

Τῶν ζωγράφων μὲν ἡ καλὴ χειρουργία
ἐν τοῖς πίναξι κρεμαμένη θαυμάζεται.
Αὕτη [2] δὲ σεμνῶς ἐκ λοπάδος ἁρπάζεται,
ἀπὸ τοῦ ταγήνου τ' εὐθέως ἀφανίζεται.
c Ἐπὶ τίνα δ' ἄλλην γὰρ [3] τέχνην, ὦ χρηστὲ σὺ, 5
τὰ στόματα [4] τῶν νεωτέρων κατακάεται;
ἢ ὠθισμός [5] ἐστι δακτύλων τοιοῦτος; ἢ

μαιός ἐστιν edd. & ῥίνας ad vers. seq. referunt. 1 Post λάβρακας nulla vulgo lacuna indicatur. καὶ τοὺς λάβρακας ἐντερεύων scribitur alibi apud Nostrum. Nescio an ἐξεντερεύων oportuerit. 2 Αὐτὴ vulgo. 3 Abest γὰρ vulgo. 4 τὰ πόματα ms. *Ep.* 5 ἠθισ-

mustelasque vendit, & lupos. . . .
exenterans, ut dicunt nobis.

Et Alexis, in Epiclero, (*sive*, Opulenta haerede,) Micionis piscarii cuiusdam meminit.

11. Iam nil mirum, *Piscatores* quoque ob artem suam spiritus sibi sumere, magis etiam quam fortissimi imperatores. Talem quidem quempiam inducit Anaxandrides in Ulysse, de arte piscatoria haecce dicentem:

Pictorum pulcrae artis opera
in tabulis suspensa cum admiratione cernuntur:
sed huius (nostrae) artis fructus ex patina graviter rapitur,
aut ex sartagine celeriter e medio tollitur.
Ad quam enim aliam artem, o optime,
ora iuvenum magis accenduntur?
aut tanta est digitorum festinatio? aut

πνιγμὸς, [1] ἐὰν μὴ ταχὺ δύνηται καταπιεῖν;
Ἀλλ' οὐ μόνον ἡ γὰρ [2] τὰς συνουσίας ποιεῖ
εὔοψος ἀγορά; τίς δὲ συνδειπνεῖ βροτῶν,
Φρύκτ' οὐ [3] καταλαβὼν, ἢ κορακίνους ὠνίους,
ἢ μαινίδ'; [4] Ὡραῖον δὲ μειρακύλλιον
ποίαις ἐπῳδαῖς, ἢ λόγοις ἁλίσκεται
τίσιν, φράσον γὰρ, ἐάν τις ἀφέλῃ τὴν τέχνην
τῶν ἁλιέων; ἥδε γὰρ δαμάζεται,
ἐφθοῖς προσώποις ἰχθύων χειρουμένη,
ἄγουσ' ὑπ' αὐτὰ τὰ σώματ' ἀρίστου πύλας, [5]
ἀσύμβολον κλίνειν τ' ἀναγκάζει Φύσιν.

XII. Πρὸς δὲ τοὺς περιέργως ὀψωνοῦντας τάδε φησὶν Ἀλεξις, ἐν Ἐπικλήρῳ·

Catillones pauperes, rapinae ſuſpecti.

Ὅστις ἀγοράζει, πτωχὸς ὢν, ὄψον πολὺ,
ἀπορούμενός τε τἄλλα, πρὸς τοῦτ' εὐπορεῖ·

μὸς editt. vett. cum ms. *A*. 1 πνιγμός γ' forſan. καὶ πνιγμὸς corr. Caſaub. Verſus hic & ſequens male diſtributi in edd. 2 Ἀλλ' οὐ μόνη γὰρ corr. Caſaub. 3 φρυκτοὺς vulgo. 4 Vulgo ἢ μηδέν; 5 Haud ſatis emendatus videtur verſus.

pruritus, ſi quis non ſatis cito deglutire poteſt?
At nonne & amicorum convivia ſolum facit
piſcibus abundans forum? Quis enim convivium inſtituit,
non frixa habens, aut coracino non emto,
aut maenide? Formoſus vero adoleſcentulus
quibus incantationibus, verbisve quibus
capitur, dic mihi, artem ſi quis demat
piſcatorum? Haec enim illum domat,
elixis piſcium faciebus ſubigens,
ducens ipſa corpora ad prandii fores,
nilque conferentem inclinare naturam cogit.

12. In eos vero, qui nimis curioſe obſonantur, haec dicit Alexis, in Epiclero:

Quicumque pauper obſonatur largiter,
& ad hoc abundat, indigens ad caetera;

e τῆς νυκτὸς οὗτος τοὺς ἀπαντῶντας ποιεῖ
γυμνοὺς ἅπαντας. εἶτ', ἐπάν τις ἐκδυθῇ,
τηρεῖν ἔωθεν εὐθὺς ἐν τοῖς ἰχθύσιν·
ὃν δ' ἐὰν [1] ἴδῃ πρῶτον πένητα καὶ νέον
παρὰ Μικίωνος ἐγχέλεις [2] ὠνούμενον,
ἀπάγειν λαβόμενον εἰς τὸ δεσμωτήριον.

Δίφιλος δ', ἐν Ἐμπόρῳ, καὶ νόμον εἶναί φησι παρὰ Κορινθίοις τινὰ τοιοῦτον· [3]

Lex sumtuaria Corinthi.

A. — — Νόμιμον τοῦτ' ἔστι βέλτιστ' ἐνθάδε
Κορινθίοις· ἵν', [4] ἐάν τιν' ὀψωνοῦντ' ἀεὶ
ζ λαμπρῶς ὁρῶμεν, τοῦτον ἀνακρίνειν, πόθεν
ζῇ, καὶ τί ποιῶν· κἂν μὲν οὐσίαν ἔχῃ,
ἧς αἱ πρόσοδοι λύουσι τ' ἀναλώματα,
ἐᾶν ἀπολαύειν τοῦτον ἤδη [5] τὸν βίον.
ἐὰν δ' ὑπὲρ τὴν οὐσίαν δαπανῶν τύχῃ,

1 ὃν δ' ἂν vulgo. εἰθ' ὃν ἂν corr. Iacobs. 2 ἐγχέλυς edd. cum ms. *Ep.* 3 Non agnoscunt h. l. edd. vocem τοιοῦτον, sed primum dein versum sic scribunt: Τοιοῦτο νόμιμον ἐστὶ βέλτιστ' ἐνθάδε. 4 Κορινθίοισιν corr. Casaub. 5 ἤδη τοῦτον vulgo.

hic nocte, ut quemvis obvium fors obtulit,
despoliat. Quare, cui detracta vestis est,
eat observatum mane forum ad piscarium:
&, quem reperit primum iuvenem ac pauperem
a Micione anguillas licitantem sibi,
obtorto collo ducat hunc in vincula.

Diphilus vero, in Mercatore, legem quoque ait fuisse apud Corinthios huiusmodi:

A. *Corinthi apud nos istud sanctum est legibus:*
si quem videmus obsonari largius,
continuo interrogamus cuiatis sit?
quid agitet? unde vivat? Si reditus habet,
qui possint tantis suppeditare sumtibus,
suo arbitratu sinitur facere impendia.
Sin supra vires erogat patrimonii,

ἀπεῖπον αὐτῷ τοῦτο μὴ ποιεῖν ἔτι.
ὃς ἂν δὲ μὴ πείθητ', ἐπέβαλον ζημίαν.
ἐὰν δὲ μήθ' ὁτιοῦν ἔχων ζῇ πολυτελῶς,
τῷ δημίῳ παρέδωκαν αὐτόν. Β. Ἡράκλεις.
Α. Οὐκ ἐνδέχεται γὰρ ζῆν ἄνευ κακοῦ τινος a
τοῦτον· συνιεῖς; [1] ἀλλ' ἀναγκαίως ἔχει
ἢ λωποδυτεῖν τὰς νύκτας, ἢ τοιχωρυχεῖν,
ἢ τῶν ποιούντων ταῦτα κοινωνεῖν τισιν,
ἢ συκοφαντεῖν κατ' ἀγορὰν, ἢ μαρτυρεῖν
ψευδῆ. τὸ τοιοῦτον [2] ἐκκαθαίρομεν γένος.
Β. Ὀρθῶς γε, νὴ Δί'. ἀλλὰ δή τί τοῦτ' ἐμοί;
Α. Ὁρῶμεν ὀψωνοῦνθ' ἑκάστης ἡμέρας
οὐχὶ μετρίως, βέλτιστέ, σ', ἀλλ' ὑπερφάνως. 20
οὐκ ἔστιν ἰχθυηρὸν ὑπὸ σοῦ μεταλαβεῖν. b
συνῆχας [3] ἡμῶν εἰς τὰ λάχανα τὴν πόλιν·

1 συνίης edd. 2 τοιοῦτον vel τοιούτων edd. absque τὸ. 3 συνῆχας vulgo: & συνῆχάς τι ἡμῶν ms. *A*.

in poſterum id ne faciat interdicitur:
mulcta irrogatur, ni ſit dicto obaudiens.
Quod ſi quis ſine re vitam vivat ſplendidam,
torquendus ille mox carnifici datur. B. *Atat!*
A. *Namque iſte ut vivat expers maleficî*
nequitur. Capin' hoc? Ergo aut praemiator eſt
nocturnus, vitam aut vivit vecticulariam,
aut particeps eſt aliquid tale agentibus,
aut quadruplator eſt, aut teſtimonia
falſidica vendit. Tales nos everrimus.
B. *Recte profecto: verum id me quid attinet?*
A. *Quia te videmus, bone vir, obſonarier*
baſilice & longe ſupra civilem modum.
Per te piſculum vix accipiunt caeteri:
ita civitas compulſa ad vitam olitoriam eſt;

περὶ τῶν σελίνων μαχόμεθ', ὥσπερ Ἰσθμίοις.
λαγώς τις εἰσελήλυθ'· εὐθὺς ἥρπακας.
πέρδικα δ', ἢ κίχλην γε, [1] νὴ Δί', οὐκ ἔτι
ἔστιν δι' ὑμᾶς οὐδὲ πετομένην ἰδεῖν.
τὸν ξενικὸν οἶνον ἐπιτετίμηκας πολύ.

Τὸ δὲ ἔθος τοῦτο καὶ Ἀθήνησιν εἶναι ἀξιοῖ Σώφιλος ἐν Ἀνδροκλεῖ· ὀψονόμους [2] ἀξιῶν αἱρεῖσθαι ὑπὸ τῆς βουλῆς δύ' ἢ καὶ τρεῖς. Λυγκεὺς δ' ὁ Σάμιος καὶ Lyncei ars obsonandi.
c Τέχνην ὀψωνητικὴν συνέγραψε πρός τινα δυσώνην, διδάσκων αὐτὸν, τίνα δεῖ λέγοντα πρὸς τοὺς ἀνδροφόνους ἰχθυοπώλας, λυσιτελῶς, ἔτι δὲ ἀλύπως, ὠνεῖσθαι ἃ βούλεται.

XIII.

Ἐκ τούτων πάλιν τῶν λεχθέντων τὰς ἀκάνθας ἀναλεξάμενος Οὐλπιανός· Εἰ ἔχομεν, ἔφη, δεῖξαι ἀργυροῖς σκεύεσιν ἐν τοῖς δείπνοις χρωμένους Quaestiones proponit Ulpianus.

1 κίχλην καὶ edd. 2 ὀψωνόμους edd. cum ms. *A*.

pugnamus de apio, tamquam in certatu Isthmico.
Tua praeda est, si quis moenia intravit lepus:
perdices autem & turdos, ita me Di iuvent,
iam nec volantes licitum est conspicarier.
Etiam incendisti pretium vino exotico.

Eumdem morem Sophilus, in Androcle, cupit Athenis quoque obtinere; aequum censens, *obsonomos* (id est, obsoniorum inspectores) creari a senatu duos vel tres. Lynceus vero Samius etiam *Artem* scripsit *obsonia emendi*, ad hominem aliquem in emendo difficilem; quem docet, quibus verbis agere debeat cum homicidis piscariis, ut ab iis utiliter & nullâ suâ molestiâ, quidquid voluerit, emere possit.

13. Ex his dictis rursus spinas seligens Ulpianus: An possumus, ait, probare, *Argenteis vasis usos esse in coenis veteres?* &, *Est-ne Graecum vocabulum* ὁ πίναξ, *cum de*

τοὺς ἀρχαίους; καὶ, Εἰ ὁ πίναξ Ἑλληνικὸν ὄνομα; Ὁμήρου γὰρ εἰπόντος ἐν Ὀδυσσείᾳ,

Τοῖσι δ' αὖ πίνακας κρειῶν παρέθηκε συβώτης·

Ἀριστοφάνης ὁ Βυζάντιος, νεώτερον, φησὶν, εἶναι τὸ d ἐπὶ πινάκων παρατιθέναι τὰ ὄψα· ἀγνοῶν ὅτι καὶν ἄλλοις εἴρηκεν ὁ ποιητὴς,

Δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας.

Ζητῶ δὲ καὶ, Εἰ δούλων πλῆθος τινὲς ἐκέκτηντο, ὥσπερ καὶ οἱ νῦν; καὶ, Εἰ τὸ τήγανον εἴρηται, καὶ μὴ μόνως [1] τάγηνον; μὴ πάντα πίνωμεν ἢ καὶ ἐσθίωμεν, ὥσπερ οἱ διὰ τὴν γαστέρα παράσιτοι ὀνομαζόμενοι ἢ κόλακες.

XIV. Πρὸς ὃν Αἰμιλιανὸς ἀπεκρίνατο· Πίνακα μὲν e ἔχεις, τὸ σκεῦος, ὠνομασμένον καὶ παρὰ Μεταγένει τῷ κωμικῷ ἐν Θουριοπέρσαις. Τήγανον δὲ, ὦ βέλ-

Πίναξ, de lance.

1 μόνος ms. *A.* μόνον ms. *Ep.* Idemque poſt τάγηνον addit παρὰ τοῖς ἀρχαίοις.

lance aut diſco loquimur? Nam quamvis Homerus dixerit in Odyſſea,

His rurſus πίνακας carnium adpoſuit bubulcus;

tamen Ariſtophanes Byzantius *novitium eſſe inventum* ait, *obſonia ἐπὶ πινάκων* (id eſt, *in lancibus*) *adponere*: immemor alibi etiam dixiſſe poëtam,

Coquus autem ſumtas carnium πίνακας adpoſuit.

Quaero vero etiam, *Habuerint-ne olim nonnulli tantam Servorum multitudinem, quantam hac aetate homines?* Et, *An τήγανον etiam dixerint veteres, non modo τάγηνον?* Nec vero toti in eo ſimus ut bibamus aut edamus, veluti ii qui ventris cauſſa *paraſiti* aut κόλακες (*adulatores*) vocantur.

14. Cui reſpondens Aemilianus, inquit: Πίνακα vocabulum, de vaſe dictum, legitur etiam apud Metagenem comicum in Thurioperſis. Τήγανον vero, (*ſartaginem*,)

τιστε, εἴρηκεν ἐν μὲν Λήροις [1] Φερεκράτης οὕτως· Τήγανον, sartago.

– – Ἀπὸ τηγάνου τ' ἔφασκ' [2] ἀφύας φαγεῖν.

καὶ ἐν Πέρσαις ὁ αὐτός·

Ἐπὶ τηγάνοις καθίσαντα ὑφάπτειν τοῦ φλέως.

f Φιλωνίδης δ' ἐν Κοθόρνοις·

— Καὶ ὑποδέχεσθαι καὶ βατίσιν καὶ τηγάνοις·

καὶ πάλιν·

— — ὀσφρομένην [3] τῶν τηγάνων.

Εὔβουλος δ' ἐν Ὀρθάνῃ· [4]

Ῥιπὶς δ' ἐγείρει φύλακας [5] Ἡφαίστου κύνας,
θερμῇ παροξύνουσα τηγάνου πνοῇ. [6]

καὶ πάλιν·

Πᾶσα δ' εὔμορφος γυνὴ
ἐρῶσα φοιτᾷ τηγάνῳ τε συντρυφᾷ.

a καὶ ἐν Τιτᾶσι·

1 ἐν Μενδήροις vulgo. 2 ἔφασκεν vulgo: & integrum ſtatuunt ſenarium. 3 ὀσφραινομένην edd. 4 ἐν Ὀρθάχνῃ vulgo. Poterat ἐν Ὀρθάννῃ ſcribi. 5 φλόγας ms. *Ep.* 6 θέρμῃ & πνοὴ h. l. edd. cum ms. *A.*

o Optime! dixit Pherecrates, primum in Nugis, ubi ait:

Et e ſartagine dixit apuas ſe comediſſe.

tum idem in Perſis:

Ad ſartagines ſedentem, ſcirpum ſuccendere.

Philonides vero in Cothurnis:

Excipere raiis & ſartaginibus.

& rurſus:

Illam ſartagines odoratam.

Eubulus vero in Orthanne:

Flabellum vero excitavit cuſtodes Vulcani canes,
calido irritans ſartaginis halitu.

Idemque rurſus:

Omnis formoſa mulier amans
venit, & ſartaginis particeps luxuriatur.

Et in Titanibus:

— — Προσγελῶσά τε
λοπὰς παφλάζει βαρβάρῳ λαλήματι·
πηδῶσι δ' ἰχθῦς ἐν μέσοισι τηγάνοις.

Verbum ἀποτηγανίζειν.

Τοῦ δὲ ῥήματος μέμνηται Φρύνιχος, ἐν Τραγῳδοῖς·

Ἡδὺ δ' ἀποτηγανίζειν ἄνευ συμβολῶν.

Καὶ Φερεκράτης ἐν Μυρμηκανθρώποις φησίν· Σὺ δ' ἀποτηγανίζεις. Ἡγήσανδρος δ' ὁ Δελφὸς, Συρακουσίους, [1] φησὶ, τὴν μὲν λοπάδα τήγανον καλεῖν· τὸ δὲ τήγανον, ξηροτήγανον. διὸ καὶ Θεοδωρίδαν φάναι b ἔν τινι ποιήματίῳ· [2]

Τηγάνῳ εὖ ἥψησεν ἐν ὀψητῆρι κολύμβῳ. [3]

τὴν λοπάδα τήγανον προσαγορεύων. Χωρὶς δὲ τοῦ τ στοιχείου Ἴωνες ἤγανον λέγουσιν· ὡς Ἀνακρέων· „χεῖρά τ' ἐν ἠγάνῳ βαλεῖν."

XV. Εἰς ἐπίστασιν δέ με ἄγει, καλὲ Οὐλπιανὲ,

1 Συρακοσίους ms. *Ep.* 2 ποιήματι edd. 3 Nil mutant membranae.

— — *Adridensque patina*
fervens, ſtrepit barbarâ loquelâ:
ſaltantque piſces mediâ in ſartagine.

Verbo autem, a nomine ducto, utitur Phrynichus, in Tragoedis:

Suave eſt, ſartaginizare abſque ſymbola.

& Pherecrates in Myrmecanthropis (id eſt, Formicis-hominibus) dicit, *Tu vero ſartaginizas.* Hegeſander vero Delphus ait, Syracuſios patinam τήγανον (i. e. *ſartaginem*) vocare, ſartaginem vero, ξηροτήγανον: (i. e. *ſiccam-ſartaginem*) eâque cauſſa Theodoridam quodam in carmine dixiſſe,

In ſartagine (τηγάνῳ) probe elixavit, in qua elixari obſonium ſolet *.

Ubi patinam, *ſartaginem* adpellavit. Absque litera τ vero Iones ἤγανον dicunt; quemadmodum Anacreon ait: „& *manum ſartagini* (ἠγάνῳ) *iniicere.*

15. Quod autem ad *argenteorum vaſorum uſum* ſpectat,

περὶ τῆς τῶν ἀργυρωμάτων χρήσεως τὸ ὑπὸ Ἀλέξιδος ἐν Φυγάδι εἰρημένον· Vasa aurea & argentea, κέραμα olim dicta.

Ὅπου γάρ ἐστιν ὁ κέραμος μισθώσιμος,
ὁ τοῖς μαγείροις. — —

„Μέχρι γὰρ τῶν Μακεδονικῶν χρόνων κεραμέοις σκεύεσιν οἱ δειπνοῦντες διηκονοῦντο, ὡς φησιν ὁ ἐμὸς Ἰόβας. μεταβαλόντων δ' ἐπὶ τὸ πολυτελέστερον Ῥωμαίων τὴν δίαιταν, κατὰ μίμησιν ἐκδιαιτηθεῖσα Κλεοπάτρα, ἡ τὴν Αἰγύπτου καταλύσασα βασιλείαν, τοὔνομα οὐ δυναμένη ἀλλάξαι, ἀργυροῦν καὶ χρυσοῦν ἀπεκάλει κέραμον[1] αὐτό· κεράμιά τ' ἀπεδίδοτο τὰ ἀποφόρητα τοῖς δειπνοῦσι· καὶ τοῦτ' ἦν τὸ πολυτελέστατον. εἷς τε τὸν Ῥωσικὸν, εὐανθέστατον ὄντα, κέραμον, πέντε μνᾶς ἡμερησίας ἀνήλισκεν ἡ Κλεοπάτρα." Πτολεμαῖος δ' ὁ βασιλεὺς, ἐν ὀγδόῳ Ὑπομνημάτων, περὶ Μασσανάσσου τὸν λόγον ποιούμενος τοῦ Λιβύων βασιλέως, φησὶ τάδε· „Δεῖπνα Ῥω-

1 κεράμειον ms. *Ep.*

mi Ulpiane, advertit meum animum id quod ab Alexide in Exſule dictum eſt:

Ubi enim κέραμος (vas fictile) elocandum proſtat coquorum in uſum.

»Nam usque ad Macedonica tempora fictilibus in vaſis adponebatur coena; ut ait popularis meus Iuba. Poſtquam vero Romani ad ſumtuoſiorem vitae rationem ſe converterant, eorum exemplo Cleopatra, quae Aegypti regnum evertit, in luxuriam effuſa, cum nomen mutare non poſſet, *argenteum aureumque fictile* (κέραμον) vocavit: & fictilia auferenda tradidit coenantibus: & erat hoc pretioſiſſimum. Et in Roſicum fictile, quod floridiſſimum erat, quinque minas quotidie inſumſit Cleopatra.« Ptolemaeus vero rex, octavo Commentariorum, de Maſiniſſa verba faciens, Libyae rege, haec ſcri-

μαϊκῶς ἦν κατεσκευασμένα, κεράμῳ παντὶ χορηγούμενα ἀργυρῷ. τὰς δὲ τῶν δευτέρων τραπέζας ἐκόσμει τοῖς Ἰταλικοῖς ἐθισμοῖς· τὰ δὲ καναστρία ἦν ἅπαντα χρυσᾶ, γεγονότα πρὸς τὰ πλεκόμενα ταῖς σχοίνοις· [1] μουσικοῖς τε ἐχρῆτο Ἕλληνικοῖς."

XVI.

Aristophanes Comicus, Naucratita perhibetur.

Ἀριστοφάνης δ' ὁ κωμῳδιοποιὸς, ὃν φησιν Ἡλιόδωρος ὁ Ἀθηναῖος, ἐν τοῖς περὶ Ἀκροπόλεως, (πεντεκαίδεκα δ' ἐστὶ ταῦτα βιβλία·) [2] Ναυκρατίτην εἶναι γένος· ἐν τῷ Πλούτῳ τῷ δράματι, κατὰ τὴν τοῦ ὁμωνύμου θεοῦ ἐπιφάνειαν τοὺς ἰχθυηροὺς, φησὶ, πίνακας ἀργυροῦς ἀναφανῆναι, καθάπερ καὶ τὰ ἄλλα ἅπαντα· λέγων ὡδί·

Vasa aurea & argentea.

Ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα
χαλκῆ γέγονε· τοὺς δὲ πινακίσκους τοὺς σαπροὺς,
τοὺς ἰχθυηροὺς, ἀργυροῦς πάρεσθ' ὁρᾶν.
ὁ δ' ἰπνὸς [3] γέγονεν [4] ἐξαπίνης ἐλεφάντινος.

1 τοῖς σχοίνοις ms. *Ep.* 2 ταῦτα τὰ βιβλία ed. Cas. 3 ὁ δεῖπνος ms. *A.* ὁ δ' ἶπος Brunck. apud Arist. 4 γέγον' ἡμῖν forbit: »Coenae Romano more instructae erant: omne fictile, quod adponebatur, argenteum erat. Secundas vero mensas Italico ornabat more: sportulae vero omnes aureae erant, ad earum similitudinem factae quae ex iuncis plectuntur: musicisque utebatur Graecis.«

16. Aristophanes vero comicus, quem Heliodorus Athenienſis in libris de Arce, (quindecim isti libri sunt) genere Naucratitam perhibet: is igitur in Pluto fabula, postquam adparuisset eiusdem nominis Deus, *lances*, ait, *quibus pisces adponuntur, argenteas* exstitisse, quemadmodum & reliqua omnia. Verba comici haec sunt:

Acetabula, & patellae, & ollae omnes
aeneae iam sunt: & putres illas lances,
quibus pisces adponuntur, argenteas videre est.
Laterna vero repente facta est eburnea.

Πλάτων δ', ἐν Πρέσβεσι·

Κατέλαβον Ἐπικράτης τε καὶ Φορμίσιος [1]
παρὰ τοῦ βασιλέως πλεῖστα δωροδοκήματα·
ὀξύβαφα χρυσᾶ, καὶ πινακίσκους ἀργυροῦς.

Σώφρων δ', ἐν Γυναικείοις μίμοις, φησί· „Τῶν δὲ
a χαλκωμάτων καὶ τῶν ἀργυρωμάτων ἐμάρμαιρε δο-
κία." [2]

Φιλιππίδης δ', ἐν Ἀργυρίου ἀφανισμῷ, ὡς Φορ- XVII.
τικοῦ μέμνηται τοῦ τοιούτου καὶ σπανίου, ζηλουμένου Recens ditati.
δὲ ὑπό τινων νεοπλούτων μετοίκων·

Ἀλλ' ἔλεος ἐμπέπτωκέ τις μοι τῶν ὅλων,
ὅταν ἀπορουμένους μὲν ἀνθρώπους ἴδω
ἐλευθέρους· μαστιγίας δ' ἐπ' ἀργυροῦ
πίνακος, ἄγοντος μνᾶν, τάριχος ἐνίοτε
δυοῖν ὀβολῶν ἑσθοντας ἢ τριωβόλου· 5
b καὶ κάππαριν χαλκῶν τριῶν, ἐν τρυβλίῳ

taſſe. Apud Ariſtoph. eſt ἡμῖν pro γέγονεν. 1 Φορμήσιος vulgo. 2 δοκεῖα puto oportebat.

Plato vero, in Legatis:

Nacti ſunt Epicrates & Phormiſius
a rege plurima, quibus corrupti ſunt, munera:
acetabula aurea, & lances argenteas.

Sophron vero, in Mimis muliebribus, ait: *Aeneis & argenteis vaſis ſplendebant repoſitoria.*

17. Philippides vero, in Argento perdito, uſus illius meminit ut arrogantis & rari, quem inquilini nonnulli nuper ditati ſectentur:

Rerum humanarum cepit me miſeratio,
cum video ingenuos a paupertate opprimi,
at verberones contra in lance argentea,
minam quae pendat, ſalſamento veſcier,
obolis duobus emto aut etiam tribus;
aut cappari, tribus emtá nummis aeneis,

ἄγοντι πεντήκοντα δραχμὰς ἀργυρῷ.
Πρότερον δὲ φιάλην ἦν ἀνακειμένην ἰδεῖν
ἐργῶδες. Β. Ἀμέλει τοῦτο μὲν καὶ νῦν ἔτι·
ἂν γὰρ ἀναθῇ τις, εὐθὺς ἕτερος ἥρπασεν.

Oſtentatores. Ἄλεξις δ', ἐν Ἱππίσκῳ, νεανίσκον παράγων ἐρῶντα, καὶ ἐπιδεικνύμενον τὸν πλοῦτον τῇ ἐρωμένῃ, ταῦτα ποιεῖ λέγοντα·

Α. Τοῖς παισί τ' εἶπα, (δύο γὰρ ἦγον οἴκοθεν)
τἀκπώματ' εἰς τὸ φανερὸν ἐκνενιτρωμένα
θεῖναι. κύαθος δ' ἦν ἀργυροῦς, τἀκπώματα
ἦγε δύο δραχμάς· κυμβίον δὲ τέτταρας
ἴσως ἑτέρας· ψυκτηρίδιον, δέκ' ὀβολοὺς,
Φιλιππίδου λεπτότερον. ἀλλὰ ταῦθ' ὅλως
πρὸς ἀλαζονείαν οὐ κακῶς νενοημένα
ἦν. [1] — — —

Argentea vaſa tenuiſſima.

1 Forſ. temere adiectum hoc verbum. Vulgo enim, quae hinc ſequuntur omnia usque τῶν θερινῶν, tamquam continui Alexidis verſus ſcribuntur.

in catino quinquaginta drachmûm argenteo.
At olim phialam conſpicari vix erat
Düs ſacratam. B. *Rarum id nunc etiam; quia;*
ſi quis dicaſſit, alius ſurripit illico.

Alexis vero, in Equuleo, adoleſcentulum inducens amantem, & divitias ſuas oſtentantem amicae, haec facit dicentem:

A. *Inclamo pueros, duo quos tantum adduxeram,*
ut terſum argentum promerent potorium.
Argentum id omne, cyathus erat argenteus,
drachmas qui pendebat duas, tum cymbium
fere quattuor, decem obolos frigidarium,
Philippide tenuius: verum haec omnia
ad faſtum fabricata non incommode.

Οἶδα δὲ κἀγὼ τινὰ πολίτην ἡμέτερον πτωχαλαζόνα· ὃς δραχμῆς ἔχων τὰ πάντα ἀργυρώματα, ἐβόα καλῶν τὸν οἰκέτην, ἕνα ὄντα καὶ μόνον, ὀνόμασι δὲ
d χρώμενον ψαμμακοσίοις· παῖ Στρομβιχίδη,[1] μὴ τῶν χειμερινῶν ἀργυρωμάτων ἡμῖν παραθῇς, ἀλλὰ τῶν θερινῶν. Τοιοῦτός ἐστι καὶ ὁ παρὰ Νικοστράτῳ, ἐν τῷ ἐπιγραφομένῳ δράματι Βασιλεῖς. ἀλαζὼν δ' ἔστι στρατιώτης, περὶ οὗ λέγει·

Λοιπή τις[2] ὀξὶς ἐστι, καὶ ψυκτήριον,
τῆς εὐπαρύφου λεπτότερον.

Ἐξήλαυνον γάρ τινες τὸν ἄργυρον καὶ τότε εἰς ὑμένος ἰδέαν.

XVIII. Argentea & aurea vasa.

Καὶ Ἀντιφάνης δὲ ἐν Λημνίαις[3] φησί·

e — — Παρετέθη τρίπους,
πλακοῦντα χρηστὸν, ὦ πολυτίμητοι θεοὶ,

1 Στρομβιχίδης ms. *A*. 2 λεπτή τις corrigunt viri docti. 3 ἐν Λήμναις vulgo. Et δὲ καὶ ἐν Λήμναις edd.

Novi vero ego quoque quemdam civem noſtrum, pauperem oſtentatorem: qui, cum argentea ei vaſa eſſent drachmam pendentia ſimul omnia, clamans vocabat ſervulum, quem unum habebat, ſed ſexcentis eumdem compellabat nominibus: *Heus puer Strombichides, ne hiberna vaſa argentea nobis adponito, ſed aeſtiva!* Talis eſt etiam ille apud Nicoſtratum, in fabula cui Reges titulus. Eſt autem glorioſus miles, de quo haec dicit:

Supereſt [vel: *Tenue*] *acetabulum quoddam, & frigidarium*
ſubtiliſſima veſte tenuius.

Erant enim etiam tum artifices, qui argentum malleo ducerent ad membranae tenuitatem.

18. Porro Antiphanes in Lemniis dicit:

Adpoſita eſt menſa tripes,
placentam praeſtantem, o venerandi Dii!

ἔχων, ἐν ἀργυρῷ τε τρυβλίῳ μέλι.

Καὶ Σώπατρος δὲ, ὁ παρῳδὸς, ἐν Ὀρέστῃ·

Σαπρὸν σίλουρον ἀργυροῦς πίναξ ἔχων.

Ἐν δὲ τῷ ἐπιγραφομένῳ δράματι Φακῇ φησίν·

Ἀλλ' ἀμφὶ δείπνοις ὀξίδ' ἀργυρᾶν ἔχει
δρακοντομίμοις ὀργάνων τορεύμασιν·
οἷάν ποτ' ἔσχε καὶ Θίβρων, [1] ὁ Ταντάλου
μαλακὸς [2] ταλάντοις ἐκταλαντωθεὶς [3] ἀνήρ.

Tantali talenta.

Θεόπομπος δ' ὁ Χῖος, ἐν ταῖς Πρὸς Ἀλέξανδρον f
συμβουλαῖς, περὶ Θεοκρίτου τοῦ πολίτου [4] τὸν λόγον ποιούμενος, φησίν· „Ἐξ ἀργυρωμάτων δὲ καὶ χρυσῶν πίνει, καὶ τοῖς σκεύεσι χρῆται τοῖς ἐπὶ τῆς τραπέζης ἑτέροις τοιούτοις· ὁ πρότερον οὐχ ὅπως ἐξ ἀργυρωμάτων οὐκ ἔχων πίνειν, ἀλλ' οὐδὲ χαλκῶν, ἀλλ' ἐκ κεραμέων, καὶ τούτων [5] ἐνίοτε κολοβῶν." Δίφιλος δ' ἐν Ζωγράφῳ·

1 Θιάρων in scriptis esse ait Cas. Θρίβων legebat Erasm. 2 μαλακὸν edd. cum ms. *A*. 3 ἐκτανταλωθεὶς ms. *Ep*. 4 τοῦ συμπολίτου ms. *Ep*. 5 καὶ τοῦτο edd. cum ms. *A*.

continens, & in argentea patina mel.

Et Sopater parodus, in Oreste:

Putrem silurum lanx argentea tenens.

Idem in dramate, quod Lenticula inscribitur, ait:

In coenis acetabulum habet ille argenteum,
draconum caelatis ornatum imaginibus:
quale olim Thibron habuit, effoeminatus ille,
qui Tantali talentis prorsus exutus est.

Theopompus vero Chius, in Consiliis ad Alexandrum, de Theocrito populari suo loquens, ait: » Bibit ex vasis argenteis & aureis; reliquisque omnibus vasis, quae mensae imponuntur, eiusdem modi utitur; is qui olim, non dico ex argenteis, imo ne ex aeneis quidem, sed e fictilibus bibebat, & his quidem interdum mutilis. « Diphilus vero, in Pictore:

Ἄριστον ἐπεχόρευσεν ἐκλελεγμένον·
a εἴ τι νέον, ἢ ποθεινόν· ὀστρέων γένη
παντοδαπά· λοπάδων παρατεταγμένη φάλαγξ.
ὀπτῶν ἐπῆγε [1] τωρὸς ἀπὸ τοῦ τηγάνου·
τριμμάτια τούτοις ἐν θυείαις [2] ἀργυραῖς.
Φιλήμων, Ἰατρῷ·
— Καὶ γυλίαν τιν' [3] ἀργυρωμάτων.
Μένανδρος, Ἑαυτὸν τιμωρουμένῳ·
Λουτρὸν, θεραπαίνας, ἀργυρώματα. —
καὶ ἐν Ὑμνίδι·
— — Ἀλλὰ τἀργυρώματα
ἥκω λαβεῖν βουλόμενος. — —
b Λυσίας δ' ἐν τῷ Περὶ τοῦ χρυσοῦ Τρίποδος, εἰ γνήσιος ὁ λόγος· „Ἀργυρώματά τε ἢ χρυσώματα ἔτι ἦν διδόναι." Οἱ δ' ἑλληνίζοντες λέγειν δεῖν φασιν ἀρ-

1 ἐπήει corr. Valck. 2 θυίαις ms. *A*. 3 γυλιόν τιν' corr. Cas.

Prandium prosiluit exquisitissimum:
quidquid novi aut lauti reperiri poterat: ostrearum
omne genus: patinarum phalanx ordine locata:
succedebat frixorum caterva e sartagine;
dein varia intrita, argenteis in mortariis.

Philemon, in Medico:

Et corbem quamdam vasorum argenteorum.

Menander, in Heautontimorumeno:

Balneum, ancillas, argentea vasa.

Et in Hymnide:

— — At vasa argentea
venio capere volens. — —

Lysias vero, in oratione de Aureo Tripode, si modo ea Lysiae est: *Et argentea*, inquit, *& aurea vasa adhuc dare licebat.* Qui vero Graeci sermonis puritati student, non ἀργυρώματα aut χρυσώματα dici debere autumant,

γυρῦν κόσμον καὶ χρυσοῦν κόσμον.

XIX.

Aurum olim perrarum apud Graecos.

Philippi phiala aurea.

Τοσαῦτα εἰπόντος τοῦ Αἰμιλιανοῦ, ὁ Ποντιανὸς ἔφη· Σπάνιος γὰρ ὄντως ἦν τὸ παλαιὸν παρὰ τοῖς Ἕλλησιν, ὁ μὲν χρυσὸς καὶ πάνυ· ὁ δὲ ἄργυρος ὀλίγος ἦν, ὁ ἐν τοῖς μετάλλοις. Διὸ καὶ Φίλιππον, τὸν τοῦ μεγάλου βασιλέως Ἀλεξάνδρου πατέρα, φησὶ Δοῦρις ὁ Σάμιος, φιάλιον χρυσοῦν κεκτημένον, ἀεὶ τοῦτ' ἔχειν κείμενον ὑπὸ τοῦ προσκεφαλαίου. Καὶ, τὴν c Ἀτρέως δὲ χρυσῆν ἄρνα, περὶ ἣν γεγόνασιν ἡλίου τε ἐκλείψεις, καὶ βασιλέων μεταβολαὶ, ἔτι τε τῆς τραγῳδίας ἡ πολλὴ, φιάλην ἀργυρᾶν φησι γεγονέναι Ἡρόδωρος ὁ Ἡρακλεώτης, ἔχουσαν ἐν μέσῳ ἄρνα χρυσῆν. Ἀναξιμένης δὲ ὁ Λαμψακηνὸς, ἐν ταῖς Πρώταις ἐπιγραφομέναις Ἱστορίαις, τὸν Ἐριφύλης ὅρμον διαβόητον γενέσθαι διὰ τὸ σπάνιον εἶναι τότε χρυσίον παρὰ τοῖς Ἕλλησι. καὶ γὰρ ἀργυροῦν ποτήριον ἦν

sed ἀργυροῦν κόσμον & χρυσοῦν κόσμον. (*argenteum & aureum mundum.*)

19. Quae cum Aemilianus dixiſſet, Pontianus ait: Rarum quippe olim apud Graecos aurum quidem maxime; ſed & argentum paucum erat, quod e metallis capiebatur. Itaque Philippum, Alexandri Magni patrem, Duris Samius tradit, cum exiguam phialam auream poſſideret, ſemper eam ſecum ſub pulvinari conditam habuiſſe. Et, *Atrei aureum agnum*, cuius cauſſa & ſol deliquium paſſus eſt, & regna mutata ſunt, & multae aliae inciderunt tragoediae, phialam argenteam fuiſſe ait Herodorus Heracleota, cuius in medio aurea agni fuiſſet imago. Anaximenes vero Lampſacenus, in Primis (quae inſcribuntur) Hiſtoriis, Eriphyles monile eâ cauſſâ adeo celebratum eſſe ait, quoniam rarum ea aetate aurum apud Graecos fuiſſet. Nam & argenteum [in-

ἰδεῖν τότε παράδοξον. μετὰ δὲ τὴν Δελφῶν ὑπὸ Φωκέων
d κατάληψιν, πάντα τὰ τοιαῦτα δαψίλειαν εἴληφεν.
ἐκ ποτηρίων δὲ χαλκῶν ἔπινον οἱ σφόδρα δοκοῦντες
πλουτεῖν, καὶ τὰς θήκας τούτων ὠνόμαζον χαλκο-
θήκας. Ἡρόδοτός τε φησὶ, τοὺς Αἰγυπτίων ἱερεῖς
χαλκοῖς ποτηρίοις πίνειν· τοῖς τε βασιλεῦσιν αὐτῶν,
θύουσί ποτε κοινῇ, οὐχ εὑρεθῆναί φησι δοθῆναι φιάλας
ἀργυρᾶς· Ψαμμήτιχον γοῦν, νεώτερον ὄντα τῶν ἄλ-
λων βασιλέων, χαλκῇ φιάλῃ σπεῖσαι, τῶν ἄλλων
ἀργυραῖς σπενδόντων. Συληθέντος γοῦν [1] τοῦ Πυθι-
κοῦ ἱεροῦ ὑπὸ τῶν Φωκικῶν τυράννων, ἐπέλαμψε πα-
e ρὰ τοῖς Ἕλλησιν ὁ χρυσὸς, εἰσεκώμασε δὲ καὶ ὁ ἄρ-
γυρος. Ὕστερον δὲ τοῦ μεγίστου Ἀλεξάνδρου τοὺς ἐκ
τῆς Ἀσίας θησαυροὺς ἀνελομένου, ὄντως ἀνέτειλεν ὁ
κατὰ Πίνδαρον „εὐρυσθενὴς πλοῦτος.“

1 οὖν ms. *Ep.*

quit] poculum videre, rarum & inuſitatum tunc temporis erat. Poſt Delphos vero a Phocenſibus captos, omnia talia abundare coeperunt: ſed (ante id tempus) ex aeneis poculis bibebant ii qui divites admodum habebantur; & illorum poculorum repoſitoria *chalcothecas* adpellabant. Tradit etiam Herodotus, Aegyptios ſacerdotes ex aeneis poculis bibiſſe: &, cum reges Aegyptiorum aliquando commune ſacrificium celebrarent, non ſatis phialarum argenteārum, quae illis darentur, eſſe repertum; itaque Pſammetichum, utpote minorem natu caeteris regibus, aeneâ phialâ libaſſe, cum caeteri argenteis libarent. At ſpoliato a Phocicis tyrannis Delphico templo, nitere apud Graecos aurum, argentum vero etiam luxuriare coepit. Deinde vero, poſtquam maximus Alexander theſauros ex Aſia abſtulit, vere exorta eſt *late dominans*, ut ait Pindarus, *opulentia*.

XX.

Aurea donaria in templo Delphico.

Καὶ τὰ ἐν Δελφοῖς δὲ ἀναθήματα τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ ὑπὸ πρώτου Γύγου τοῦ Λυδῶν βασιλέως ἀνετέθη· καὶ πρὸ τῆς τούτου βασιλείας ἀνάργυρος, ἔτι δὲ ἄχρυσος ἦν ὁ Πύθιος· ὡς Φανίας τέ φησιν ὁ Ἐρέσιος, καὶ Θεόπομπος ἐν τῇ τεσσαρακοστῇ τῶν Φιλιππικῶν. ἱστοροῦσι γὰρ οὗτοι, κοσμηθῆναι τὸ Πυθικὸν ἱερὸν ὑπό τε τοῦ Γύγου, καὶ τοῦ μετὰ τοῦτον Κροίσου· μεθ' οὓς ὑπό τε Γέλωνος καὶ Ἱέρωνος τῶν Σικελιωτῶν· τοῦ μὲν τρίποδα καὶ νίκην χρυσοῦ πεποιημένα ἀναθέντος, καθ' οὓς χρόνους Ξέρξης ἐπεστράτευε [1] τῇ Ἑλλάδι· τοῦ δὲ Ἱέρωνος τὰ ὅμοια. λέγει δ' οὕτως ὁ Θεόπομπος· „Ἦν γὰρ τὸ παλαιὸν τὸ ἱερὸν κεκοσμημένον χαλκοῖς ἀναθήμασιν· οὐκ ἀνδριᾶσιν, ἀλλὰ λέβησι καὶ τρίποσι χαλκοῦ πεποιημένοις. Λακεδαιμόνιοι οὖν [2] χρυσῶσαι βουλόμενοι τὸ πρόσωπον τοῦ ἐν Ἀμύκλαις Ἀπόλλωνος, καὶ οὐχ εὑρίσκοντες ἐν τῇ

1 ἐπεστράτευσε ms. *Ep.* 2 Deest οὖν edd.

20. Fuerant autem argentea & aurea donaria in Delphico templo primum omnium a Gyge, Lydorum rege, dedicata; ante cuius regnum argento & auro caruit Pythius: ut Phanias scribit Eresius, & Theopompus Philippicorum libro XL. Narrant enim hi, exornatum fuisse Pythicum templum cum a Gyge, tum post hunc a Croeso; post illos vero, a Gelone & ab Hierone Siculis, quorum ille tripodem aureum & Victoriam ex auro factam dedicaverit, quo tempore Xerxes Graeciae bellum intulit; Hiero vero rursus paria dona miserit. Theopompi verba haec sunt: » Erat enim priscis temporibus templum aeneis ornatum donariis: eisque non statuis, sed lebetibus & tripodibus (poculis) ex aere factis. Lacedaemonii igitur, quum deaurare vellent faciem Apollinis Amyclaei, nec reperirent in Grae-

Ἑλλάδι χρυσίον, πέμψαντες εἰς Θεοῦ, ἐπηρώτων τὸν Θεὸν, παρ' οὗ χρυσίον πρίαιντο; ὁ δὲ αὐτοῖς ἀνεῖλε· παρὰ Κροῖσον τὸν Λυδὸν [1] πορευθέντας, ὠνεῖσθαι παρ' ἐκείνου. καὶ οἱ, πορευθέντες, παρὰ Κροίσου ὠνήσαντο. Ἱέρων δ' ὁ Συρακόσιος, [2] βουλόμενος ἀναθεῖναι τῷ Θεῷ τὸν τρίποδα καὶ τὴν νίκην ἐξ ἀπέφθου χρυσοῦ, Hiero aurum emit Corinthi.
b ἐπὶ πολὺν χρόνον ἀπορῶν χρυσίου, ὕστερον ἔπεμψε τοὺς ἀναζητήσοντας εἰς τὴν Ἑλλάδα· οἵτινες μόλις ποτὲ εἰς Κόρινθον ἀφικόμενοι, καὶ ἐξιχνεύσαντες, εὗρον παρὰ Ἀρχιτέλει τῷ Κορινθίῳ, ὃς πολλῷ χρόνῳ συνωνούμενος κατὰ μικρὸν, θησαυροὺς εἶχεν οὐκ ὀλίγους. ἀπέδοτό γ' οὖν τοῖς παρὰ τοῦ Ἱέρωνος, ὅσον ἠβούλοντο· [3] καὶ μετὰ ταῦτα πληρώσας καὶ τὴν ἑαυτοῦ χεῖρα, ὅσον ἠδύνατο χωρῆσαι, ἐπέδωκεν αὐτοῖς. ἀνθ' ὧν Ἱέρων πλοῖον σίτου, καὶ ἄλλα πολλὰ δῶρα, ἔπεμψεν ἐκ Σικελίας."

1 παρὰ Κροίσου τοῦ Λυδοῦ edd. cum ms. *A.* Quae si teneas, delenda dein verba παρ' ἐκείνου cum ms. *Ep.* 2 Συρακούσιος edd. 3 ὃν ἠβουλ. vulgo.

cia aurum, ad oraculum miserunt qui Deum consulerent, *aurum unde emerent?* Quibus respondit Deus, *ad Croesum Lydum proficiscerentur, ab eoque emerent.* Et illi ad eum profecti, emerunt. Hiero vero Syracusius, quum vellet dedicare Deo tripodem & victoriam ex auro diligentissime excocto, neque reperire aurum posset, in Graeciam deinde misit qui anquirerent: qui ubi Corinthum tandem pervenerunt, aegre ibi perveſtigatum invenerunt apud Architelem Corinthium, qui longo tempore paulatim coëmendo thesauros haud exiguos coacervaverat. Vendidit igitur ille his, qui ab Hierone missi erant, quantum illi popoſcerant: deinde manu sua insuper capiens quantum illa complecti posset, velut auctarium dedit. Pro quo Hiero tritico onustam navem, multaque alia dona, ex Sicilia ad eum misit."

XXI. Ἱστορεῖ τὰ αὐτὰ καὶ Φανίας, ἐν τῷ Περὶ τῶν e
Prisca donaria aenea. ἐν Σικελίᾳ Τυράννων· ὡς χαλκῶν ὄντων τῶν παλαιῶν ἀναθημάτων, καὶ τριπόδων, καὶ λεβήτων, καὶ ἐγχειριδίων· ὧν ἐφ' ἑνὸς καὶ ἐπιγεγράφθαι φησίν·

Θάησαί μ'· ἐτεὸν γὰρ ἐν Ἰλίου εὐρείῃ πύργῳ
ἦν, ὅτε καλλικόμῳ μαρνάμεθ' ἀμφ' Ἑλένῃ·
καί μ' Ἀντηνορίδης ἐφόρει κρείων Ἑλικάων.
νῦν δέ με Λητοΐδου θεῖον ἔχει δάπεδον.

Ἐπὶ δὲ τρίποδος, ὃς ἦν εἷς τῶν ἐπὶ Πατρόκλῳ ἄθλων d τεθέντων·

Χαλκεός εἰμι τρίπους· Πυθοῖ δ' ἀνάκειμαι ἄγαλμα,
καί μ' ἐπὶ Πατρόκλῳ θῆκεν πόδας ὠκὺς Ἀχιλλεύς·
Τυδείδης δ' ἀνέθηκε βοὴν ἀγαθὸς Διομήδης,
νικήσας ἵπποισι παρὰ πλατὺν Ἑλλήσποντον.

XXII. Ἔφορος δὲ, ἢ Δημόφιλος ὁ υἱὸς αὐτοῦ, ἐν τῇ

21. Paria Phanias narrat in libro de Siciliae Regibus; dicens, aenea fuisse prisca donaria, & quidem tripodas, lebetes, & pugiones. In pugionum uno hos inscriptos fuisse versus ait:

Adspice me: revera enim in Ilii ampla turri
eram, cum ob pulcricomam pugnaremus Helenam;
& me Antenorides gestabat princeps Helicaon:
nunc me Latonae filii fanum tenet.

Super tripode vero, qui unus ex eis erat, quae in Patrocli funebribus ludis praemia victoribus fuerant proposita, inscripta haec erant:

Aeneus sum tripus, Pythio consecratum donarium:
in Patrocli funere praemium me proposuerat Achilles;
dedicavit autem Tydei filius, bello strenuus Diomedes,
postquam equis vicit iuxta latum Hellespontum.

22. Ephorus vero, aut Demophilus Ephori filius,

e τριακοστῇ τῶν Ἱστοριῶν, περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ λέγων, φησίν· „Ὀνόμαρχος δὲ καὶ Φάϋλλος [1] καὶ Φάλαικος, οὐ μόνον ἅπαντα τὰ τοῦ θεοῦ ἐξεκόμισαν, ἀλλὰ τὸ τελευταῖον αἱ γυναῖκες αὐτῶν τόν τε τῆς Ἐριφύλης κόσμον ἔλαβον, ὃν Ἀλκμαίων εἰς Δελφοὺς ἀνέθηκε κελεύσαντος τοῦ θεοῦ, καὶ τὸν τῆς Ἑλένης ὅρμον Μενελάου ἀναθέντος. Ἑκατέρῳ γὰρ ὁ θεὸς ἔχρησεν· Ἀλκμαίωνι μὲν, πυνθανομένῳ πῶς ἂν τῆς μανίας ἀπαλλαγείη;

Τιμῆεν μὲ αἰτεῖς δῶρον, μανίαν ἀποπαῦσαι.
f καὶ σὺ φέρειν τιμῆεν ἐμοὶ γέρας· ᾧ ποτε μήτηρ
Ἀμφιάραον ἔκρυψ' ὑπὸ γῆν αὐτοῖσι σὺν ἵπποις.

Μενελάῳ δὲ, πῶς ἂν τὸν Ἀλέξανδρον τιμωρήσαιτο;

Πάγχρυσον φέρε κόσμον ἑλὼν ἀπὸ σῆς ἀλόχοιο
δειρῆς, ὅν ποτε Κύπρις ἔδωκ' Ἑλένῃ μέγα χάρμα.

Delphicorum thesaurorum spoliatores.

1 Φαΰλλος edd. Φαῦλος h. l. ms. *A*.

trigesimo Historiarum libro, de Delphico templo loquens, ait: »Onomarchus vero & Phayllus & Phalaecus non modo omnia, quae Dei fuerant, rapuerunt; sed ad extremum uxores eorum etiam Eriphyles mundum abstulerunt, quem Alcmaeon Dei iussu Delphis dedicaverat, & Helenae torquem a Menelao consecratum. Nam utrique in eamdem partem responsum dederat Deus. Alcmaeoni quidem, consulenti qua ratione insaniâ liberaretur, responderat:

Pretiosum a me donum postulas, insaniae remedium:
Pretiosum tu quoque munus mihi adferto: illud, quo
mater olim Amphiaraum cum equis sub terram occultavit.

Menelao vero, quaerenti quo pacto iniuriam ulcisceretur ab Alexandro acceptam, datum erat responsum:

Aureum adfer mundum, uxoris tuae cervici
detractum, quem Cypris olim Helenae dedit gratissimum.

ὡς σοὶ Ἀλέξανδρος τίσιν ἐχθίστην ἀποδώσει.
Συνέβη δὲ ταῖς γυναιξὶν ἔριν ἐμπεσεῖν περὶ τοῦ κόσ- a
μου τούτου, ποτέρα πότερον λήψεται. καὶ διακληρου-
μένων, ἡ μὲν σκυθρωπὴ οὖσα κατὰ τὸν βίον, καὶ
σεμνότητος πλήρης, τὸν Ἐριφύλης ὅρμον· ἡ δὲ ὥρᾳ
διαφέρουσα καὶ μάχλος οὖσα, τὸν τῆς Ἑλένης εἴληφε. [1]
καὶ αὕτη μὲν ἐρασθεῖσα νεανίσκου τινὸς Ἠπειρώτου,
συνεξεδήμησεν· ἡ δὲ, τῷ ἀνδρὶ θάνατον ἐβούλευσεν."

XXIII. Πλάτων δὲ ὁ θεῖος, καὶ Λυκοῦργος ὁ Λάκων,
Plato & Lycurgus aurum & argentum reiiciunt. οὐδ' εἴων ἐνεπιδημεῖν ταῖς ἰδίαις πολιτείαις, οὔτε
τῶν ἄλλων πολυτελῶν οὐδέν, ἀλλ' οὐδὲ τὸν ἄργυρον,
οὐδὲ τὸν χρυσόν· τῶν μεταλλευομένων τὸν σίδηρον καὶ b
τὸν χαλκὸν ἀρκεῖν [2] νομίζοντες, ἐκεῖνα δ' ἐκβάλλον-
τες, ὡς λυμαινόμενα τὰς ὑγιαινούσας τῶν πόλεων.
Ζήνων δὲ ὁ ἀπὸ τῆς Στοᾶς, πάντα τὰ ἄλλα πλὴν

1 Deeſt verbum εἴληφε edd. & ms. *A.* ἔλαχε ſuppleverat Coray.
2 ἀρκεῖσθαι edd. cum ms. *A.*

Sic tibi Alexander poenas dabit graviſſimas.
Accidit autem ut de illo mundo lis oriretur inter mulieres, utra illarum utrum nanciſceretur: &, iactâ ſorte, Eriphyles monile nacta ea eſt, quae auſtera & moroſa fuerat in vita, & gravitatis plena; Helenae autem mundum illa, quae forma praeſtabat, & erat libidinoſa. Et haec quidem, amore adoleſcentis cuiusdam Epirotae capta, ſecuta eſt abeuntem: illa vero maritum per inſidias interficiendum curavit.

23. At divinus Plato, & Lycurgus Spartanus, ne invehi quidem in ſuas respublicas aut in eis eſſe paſſi ſunt, ut aliarum rerum pretioſarum nullam, ſic nec argentum aut aurum: ex eis quae e terra effodiantur ſufficere ferrum & aes exiſtimantes, iſta vero eicientes, ut perniciosa civitatibus quarum ſanus ſtatus eſſet. Zeno vero Stoicus, praeter legitimum honeſtum-

τοῦ νομίμως αὐτοῖς καὶ καλῶς χρῆσθαι νομίσας ἀδιά- Zeno rectum
φορα, τὴν μὲν εὐχὴν [1] αὐτῶν καὶ φυγὴν ἀπειπὼν, usum concedit.
τὴν χρῆσιν δὲ ** [2] τῶν λιτῶν καὶ ἀπερίττων προηγουμέ-
νως [3] ποιεῖσθαι προστάσσων· ὅπως ἀδεῆ καὶ ἀθαύμα-
στον πρὸς τ' ἄλλα τὴν διάθεσιν τῆς ψυχῆς ἔχοντες οἱ
c ἄνθρωποι, ὅσα μή τε καλά ἐστι, μή τε αἰσχρὰ,
τοῖς μὲν κατὰ φύσιν, ὡς ἐπὶ πολὺ χρῶνται, τῶν δ'
ἐναντίων μηδὲν ὅλως δεδοικότες, λόγῳ καὶ μὴ φόβῳ
τούτων ἀπέχωνται. Οὐδὲν γὰρ ἡ φύσις ἐκβέβληκεν
ἐκ τοῦ κόσμου τῶν εἰρημένων· ἀλλ' ἐποίησεν ὑπογείους
αὐτῶν φλέβας, πολύπονον καὶ χαλεπὴν ἐχούσας ἐρ-
γασίαν· ὅπως οἱ περὶ ταῦτα σπουδάζοντες ὀδυνώμενοι
μετίωσι τὴν κτῆσιν, καὶ οὐχ [4] οἱ μεταλλεύοντες μό-
νοι, ἀλλὰ καὶ οἱ τὰ μεταλλευθέντα συναγείροντες

1 ἀρχὴν vulgo. Forſ. τὴν μὲν αἵρεσιν, aut τὴν μὲν ἀρχὴν τὴν αἵρεσιν. 2 Nulla vulgo lacuna indicatur: ſed ibi intercidiſſe nonnulla exiſtimavi; primum quidem, τὴν μὲν ὀρθὴν εἶα, vel οὐκ ἀπεῖπε, aut aliquid ſimile; tum rurſus, τὴν δὲ χρῆσιν, ac fortaſſe alia quaedam. 3 Vulgo τῶν λιτῶν καὶ περιττῶν προηγορευμένως. 4 ἀλλ' οὐχ edd.

que rerum uſum omnia alia indifferentia eſſe ſtatuens, adpetere quidem aut fugere iſta vetuit utique; ſed [rectum illorum uſum non ſuſtulit:] utendum vero praecipue eis praecepit quae eſſent vilia & minus ſuperflua: ut animi ſtatum adverſus alia omnia, quae non ſunt honeſta aut turpia, & metu & admiratione vacuum habentes homines, eis quae ſunt ſecundum naturam maxime uterentur; contrariis autem abſtinerent, ratione ducti, non metu ullo deterriti. Nullum enim praedictorum metallorum e mundo eiecit natura: at ſubterraneas eorum venas fecit, e quibus non ſine magno & difficili labore extrahi illa poſſent; ut, qui his ſtudent, multa cum moleſtia poſſeſſionem eorum quaererent, nec illi ſolum qui ea e terra effodiunt; ſed ut hi etiam, qui effoſſa

μυρίοις μόχθοις θηρεύωσι τὴν περίβλεπτον ταύτην πολυκτησίαν. Δείγματος μὲν οὖν χάριν ἔστιν οὗπερ [1] d
ἐπιπόλαιον αὐτῶν ἐστι τὸ γένος. [2] εἴ γ' ἐν ταῖς ἐσχατιαῖς τῆς οἰκουμένης καὶ ποτάμια τὰ τυχόντα ψήγματα χρυσοῦ καταφέρει· καὶ ταῦτα γυναῖκες καὶ ἄνδρες ἀσθενεῖς τὰ σώματα, σὺν ταῖς ἄμμοις ὑποψήχοντες [3] διϊστᾶσι, καὶ πλύναντες ἄγουσιν ἐπὶ τὴν χώνην· ὡς παρὰ τοῖς Ἑλουητίοις [4] φησὶν ὁ ἐμὸς Ποσειδώνιος, καὶ ἄλλοις τισὶ τῶν Κελτῶν. καὶ τά τε πάλαι μὲν Ῥίπαια καλούμενα ὄρη, εἶθ' ὕστερον Ὄλβια προσαγορευθέντα, νῦν δὲ Ἄλπια, (ἔστι δὲ τῆς
Γαλατίας,) αὐτομάτως ὕλης ἐμπρησθείσης, ἀργύρῳ e
διερρύη. τὸ μέντοι γε πολὺ τούτου βαθείαις καὶ κακοπάθοις μεταλλείαις εὑρίσκεται, κατὰ τὸν Φαληρέα Δη-

Aurum vehentia flumina.

Argentum e ſylvarum incendio profluens.

1 χάριν ἐπείπερ vulgo: ubi poſt χάριν intercidiſſe quaedam cenſuerat Caſaub. 2 ἐστί τι γένος voluerat Caſ. 3 ὑποψύχοντες edd. cum ms. *A.* σὺν ταῖς ἄμμαις ὑποτύπτοντες coniecerat Coray. 4 ἑπαχτίοις edd. Ἑπουητίοις ms. *A.*

congerunt & accumulant, infinitis cum aerumnis exoptatas iſtas divitias venarentur. Igitur, ſpeciminis quidem cauſſa, nonnullis in locis in aperto poſitum eſt eorumdem metallorum genus. Nam in remotis terrae partibus pervulgati ſunt rivi, ramenta auri vehentes: quae ramenta mulieres & imbecillo corpore viri, cum arena corradentes detergentesque ſeparant, & elota in catillum fuſorium congerunt: quemadmodum apud Helvetios fieri ait meus Poſidonius, & apud alios nonnullos Gallorum populos. Et qui olim Riphaei nominati erant montes, & deinde Olbii [quaſi opulenti] adpellati ſunt, nunc vero Alpes, (ſunt autem in Gallia) cum caſu quodam conflagraſſet ſylva, argento diffluxere. Verum longe maior huius metalli pars non niſi profundis & laboriosis terrae ſuffoſſionibus adquiritur; ſperante avaritia,

μήτριον, ἐλπιζούσης τῆς πλεονεξίας ἀνάξειν ἐκ τῶν μυχῶν τῆς γῆς αὐτὸν τὸν Πλούτωνα. χαριεντιζόμενος γοῦν φησιν, ὅτι „ Πολλάκις καταναλώσαντες τὰ φανερὰ τῶν ἀδήλων ἕνεκα, ἃ μὲν ἔμελλον, οὐκ ἔλαβον· ἃ δ' εἶχον, ἀπέβαλον· ὥσπερ αἰνίγματος τρόπον ἀτυχοῦντες. "

XXIV.

Lacedaemoniis divitiae exitii cauſa fuere.

Λακεδαιμόνιοι δ' ὑπὸ τῶν ἐθῶν [1] κωλυόμενοι εἰσ-
f φέρειν εἰς τὴν Σπάρτην, ὡς ὁ αὐτὸς ἱστορεῖ Ποσειδώνιος, καὶ κτᾶσθαι ἄργυρον καὶ χρυσὸν, ἐκτῶντο μὲν οὐδὲν ἧττον, παρακατετίθεντο δὲ [2] τοῖς ὁμόροις Ἀρκάσιν· εἶτα πολεμίους αὐτοὺς ἔσχον ἀντὶ φίλων, ὅπως ἀνυπεύθυνον τὸ ἄπιστον διὰ τὴν ἔχθραν γένηται. τῷ μὲν οὖν ἐν Δελφοῖς Ἀπόλλωνι τὸν πρότερον ἐν τῇ Λακεδαίμονι χρυσὸν καὶ ἄργυρον ἱστοροῦσιν ἀνατεθῆναι· δημοσίᾳ δὲ εἰς τὴν πόλιν Λύσανδρον εἰσαγαγόντα, πολλῶν κακῶν αἴτιον γενέσθαι. Γύλιππόν γ' οὖν,

1 ὑπὸ τῶν θεῶν corrigunt nonnulli. 2 παρακατετίθετο δὲ edd.

ut ait Demetrius Phalereus, e terrae penetralibus ipſum Plutonem ſe educturam. Feſtive quidem idem quoque dicit: *Saepenumero mortales, dum quae in promtu ſunt inſumunt incertorum cauſſa, nec ea, quae ſperabant, conſequi, & quae habuerant amittere; veluti aenigmatica calamitate laborantes.*

24. Lacedaemonii vero, ut idem narrat Poſidonius, cum ſuis inſtitutis vetarentur in urbem invehere comparareque aurum & argentum, comparabant nihilo minus, ſed apud finitimos Arcadas cuſtodiendum deponebant: at hi ex amicis deinde hoſtes eorum facti ſunt, quo proditae fidei excuſationem haberent ipſam inimicitiam. Igitur Delphico Apollini conſecratum eſſe traditur aurum argentumque quod prius Lacedaemone fuerat: Lyſandrum vero, publice metalla iſta in urbem invehentem, multorum malorum cauſſam exſtitiſſe. Gy-

τὸν Συρακοσίους [1] ἐλευθερώσαντα, ἀποθανεῖν ἀπεκαρ- a
τερήσαντα λόγος, καταγνωσθέντα ὑπὸ τῶν Ἐφόρων,
νοσφισάμενον ἐκ τοῦ Λυσανδρίου [2] χρήματος. τοῦ δὲ
ἀνατιθεμένου θεῷ, καὶ συγχωρουμένου δήμῳ [3] κα-
θάπερ κοσμήματος καὶ κτήματος, οὐ ῥᾴδιον ἦν τὸν
θνητὸν ὀλίγωρον γενέσθαι.

XXV. Galli Cordiſtae.

Τῶν δὲ Γαλατῶν οἱ Κορδισταὶ καλούμενοι, χρυ-
σὸν μὲν οὐκ εἰσάγουσιν εἰς τὴν αὐτῶν χώραν· λῃζό-
μενοι δὲ τὴν ἀλλοτρίαν καὶ ἀδικοῦντες οὐ παραλεί-
πουσι. τὸ δ' ἔθνος αὐτῶν ἔστι μὲν λείψανον τῶν μετὰ b
Βρέννου στρατευσαμένων ἐπὶ τὸ Δελφικὸν μαντεῖον
Γαλατῶν· Βαθανάτιος [4] δέ τις ἡγεμὼν αὐτοὺς διῴκι-
σεν ἐπὶ τοὺς περὶ τὸν Ἴστρον τόπους, ἀφ' οὗ [5] καὶ τὴν
ὁδὸν δι' ἧς ἐνόστησαν Βαθανατίαν [6] καλοῦσι, καὶ τοὺς

1 Συρακουσίους edd. 2 Λυσανδρείου ms. *Ep.* τῶν Λυσανδρείων. χρημάτων malles. 3 δήμου ms. *A.* qui δημίου forſan debebat, aut, quod malim, δημοσίου. 4 Ἀθανάτιος h. l. ms. *Ep.* βαδηγαβα. ἀθανάτιος (ſic) h. l. ms. *A.* Sed deinde Βαθαναt. 5 ἀφ' ἧς vulgo: quod ſi verum eſt, fuerint cum antè, tum deinde, alia turbata. 6 Βαταναττίαν ms. *A.*

lippum enim, eum qui Syracuſas in libertatem vindica- a
verat, inedia vitam finiiſſe fama eſt, cum eſſet ab epho-
ris condemnatus quod partem pecuniae a Lyſandro miſ-
ſae ſubripuiſſet. Quod autem Deo conſecratum erat,
atque etiam populo ut publicum ornamentum publica-
que poſſeſſio concedebatur, haud facile erat ut id
ipſum mortalis homo parvi aeſtimaret.

25. *Cordiſtae* vero, Gallicus populus, aurum qui- b
dem ſuam in terram non invehunt: nec vero idcirco
alienas regiones populari & iniuria adficere intermit-
tunt. Sunt autem Galli iſti, reliquiae illorum qui cum
Brenno expeditionem adverſus Delphicum templum ſus-
ceperant. Bathanatius vero quidam dux in loca, circa
Iſtrum fluvium, quae incolerent, eos deduxerat; a quo
etiam viam, per quam redierant, Bathanatiam vocant,

ἀπογόνους τοὺς ἐκείνου Βαθανάτους ἔτι καὶ νῦν προσαγορεύουσιν. Ἀφωσιώκασι δὲ οὗτοι τὸν χρυσὸν, καὶ οὐκ εἰσφέρουσιν εἰς τὰς πατρίδας, δι' ὃν πολλὰ καὶ δεινὰ ἔπαθον· ἀργύρῳ [1] δὲ χρῶνται, καὶ τούτου χάριν πολλὰ καὶ δεινὰ ποιοῦσι. καίτοι γε ἐχρῆν οὐχὶ τὸ
c γένος τοῦ συληθέντος, ἀλλὰ τὴν ἱεροσυλήσασαν ἀσέβειαν ἐξορίσαι· εἰ δὲ μηδὲ τὸν ἄργυρον εἰσέφερον εἰς τὴν χώραν, ἢ [2] περὶ τὸν χαλκὸν ἂν καὶ σίδηρον ἐπλημμέλουν· ἢ καὶ, [3] εἰ μηδὲ ταῦτ' ἦν [4] παρ' αὐτοῖς, περὶ τῶν βρωτῶν καὶ ποτῶν καὶ τῶν ἄλλων ἀναγκαίων ὁπλομανοῦντες ἂν διετέλουν.

Τοσαῦτα καὶ τοῦ Ποντιανοῦ εἰπόντος· ἐφιλοτιμήσαντο γὰρ οἱ πολλοὶ τὰς τοῦ Οὐλπιανοῦ ἀπολύσασθαι προτάσεις· ὧν τὰς ὑπολειπομένας διελόμενοι, ὁ μὲν Πλούταρχος ἔφη· Τὸ δὲ τοῦ παρασί- XXVI. PARASITI.

1 ἀργυρίῳ ms. *Ep.* 2 Deeſt ἢ edd. 3 καὶ εἰ μηδὲ, absque ἢ, edd. & ms. *A.* ἢ μηδὲ, absque καὶ & εἰ, ms. *Epit.* 4 τοῦτ' ἦν edd. cum ms. *Ep.*

& ducis illius poſteros ad hunc usque diem Bathanatos adpellant. Hi igitur aurum quidem, propter quod dira multa perpeſſi ſunt, repudiant, nec in patriam ſuam inferunt: argento vero utuntur, & illius cauſſâ dira multa perpetrant. Atqui non debebant metalli genus illud, quod ſacrilegis manibus a maioribus ipſorum ablatum erat, e finibus ſuis eiicere, ſed ipſam ſacrilegii impietatem. Enimvero ſi ne argentum quidem inferrent, aeris ac ferri cauſſa ſcelera commiſſuri erant: aut quod ſi ne his quidem metallis uterentur, non idcirco deſinerent cibi & potus cauſſa, aliarumque vitae commoditatum, bellicos furores exercere.

26. Haec poſtquam Pontianus dixiſſet, cum certatim plerique propoſitas ab Ulpiano quaeſtiones ſolvere cuperent, Plutarchus, unus ex his qui reliquas discuſſuri erant, haec locutus eſt. *Paraſiti* nomen, inquit, olim

Nomen parasiti, honestum olim & sacrum.

τοῦ ὄνομα, πάλαι μὲν ἦν σεμνὸν καὶ ἱερόν. Πολε- d
μων γοῦν (ὁ εἴ τε Σάμιος, ἢ Σικυώνιος, εἴ τ' Ἀθη-
ναῖος ὀνομαζόμενος χαίρει, ὡς ὁ Μοψεάτης Ἡρακλεί-
δης λέγει, καταριθμούμενος αὐτὸν καὶ ἀπ' ἄλλων
πόλεων· ἐπεκαλεῖτο δὲ καὶ Στηλοκόπας, ὡς Ἡρόδι-
κος ὁ Κρατήτειος εἴρηκε) γράψας περὶ Παρασίτων,
φησὶν οὕτως· „Τὸ τοῦ παρασίτου ὄνομα νῦν μὲν ἄδο-
ξόν ἐστι, παρὰ δὲ τοῖς ἀρχαίοις εὑρίσκομεν τὸν πα-
ράσιτον, ἱερόν τι χρῆμα, καὶ τῷ συνθοίνῳ παρόμοιον.
Ἐν Κυνοσάργει μὲν οὖν, ἐν τῷ Ἡρακλείῳ, στήλη τίς e
ἐστιν, ἐν ᾗ ψήφισμα μὲν Ἀλκιβιάδου, γραμματεὺς
δὲ Στέφανος Θουκυδίδου, λέγεται τ' ἐν αὐτῷ περὶ
τῆς προσηγορίας οὕτως· „Τὰ δὲ ἐπιμήνια θυέτω ὁ
ἱερεὺς μετὰ τῶν παρασίτων. οἱ δὲ παράσιτοι [1] ἕνα τῶν
ἐκ τῶν νόθων, καὶ τῶν τούτων παίδων κατὰ πάτρια.
ὃς δ' ἂν μὴ θέλῃ παρασιτεῖν, εἰσαγέτω καὶ περὶ τού-

1 Desiderari videtur verbum παραλαβέτωσαν, aut tale aliquod.

quidem honorificum & sanctum erat. Polemo quidem; sive Samius is fuit, aut Sicyonius, sive Athenienſis nominari gaudet, ut Mopſeates Heraclides ait, qui eumdem ab aliis etiam civitatibus nominatum recenſet; cognominatus vero etiam Stelocopas erat, (id eſt, *columnarum ſtudioſus*) ut Herodicus Cratetius tradit: Polemo igitur, ubi de Paraſitis ſcribit, haec dicit: »Paraſiti nomen nunc quidem ignobile eſt, apud veteres vero reperimus *paraſitum*, ſacrum aliquid, ac fere idem cum conviva. In Cynoſarge quidem, in Herculis templo, eſt columna quaedam, cui inſcriptum decretum Alcibiadis, ſcribâ Stephano Thucydidis filio; quo in decreto de iſta denominatione haec leguntur: *Menſtrua ſacra facito ſacerdos cum paraſitis. Paraſiti vero unum ex nothis & ex horum filiis* [ſibi cooptanto.] *Si quis paraſiti officio fungi recuſaverit, referat* [ſacerdos] *etiam de hoc ad*

των εἰς τὸ δικαστήριον." Ἐν δὲ τοῖς κύρβεσι τοῖς περὶ τῶν Δηλιαστῶν, οὕτως γέγραπται· „Καὶ τὼ κήρυκε f ἐκ τοῦ γένους τῶν κηρύκων τοῦ τῆς μυστηριώτιδος. τούτους δὲ παρασιτεῖν ἐν τῷ Δηλίῳ ἐνιαυτόν." Ἐν δὲ Παλληνίδι τοῖς ἀναθήμασιν ἐπιγέγραπται τάδε· „Ἄρχοντες καὶ παράσιτοι ἀνέθεσαν, οἱ ἐπὶ Πυθοδώρου ἄρχοντος, στεφανωθέντες χρυσῷ στεφάνῳ. ἐπὶ δὲ Φυλῆς ἱερείας· [1] παράσιτοι, ἐπὶ Λυκοστράτου [2] Γαργήττιος, Περικλῆς Περικλείτου Πιθεὺς, [3] Χαρῖνος Δημοχάρους, Γαργήττιος." Καὶ ἐν τοῖς τοῦ βασιλέως δὲ νόμοις γέγραπται· „Θύειν τῷ Ἀπόλλωνι τοὺς Ἀχαρνέων παρασίτους." Κλέαρχος δ' ὁ Σολεὺς, εἷς δ' οὗτος τῶν Ἀριστοτέλους ἐστὶ μαθητῶν, ἐν τῷ πρώ- a τῳ τῶν Βίων τάδε γράφει· „Ἔτι δὲ παράσιτον νῦν μὲν τὸν ἕτοιμον, [4] τότε δὲ τὸν εἰς τὸ συμβιοῦν κατει-

1 Est qui corrigat: Ἐπὶ δὲ φιάλης ἱερᾶς. Alii, ad superiora referentes, Ἐριφύλης ἱερείας. 2 Aut Ἐπι...ος Λυκοστράτου legendum, aut Ἐπίλυκος Στρατίου. 3 Πιτθεὺς vulgo. 4 ἄτι-

iudicum concilium. In tabulis vero legum de Deliastis latarum, in hunc modum scribitur: *Et duo Ceryces* (praecones sacri) *ex genere Cerycum, ex ea familia quae mysteriorum sacris operatur. Hos oportet parasitorum munere fungi in Deliaco templo per annum.* In Pallenide vero donariis inscripta haec erant: *Archontes & parasiti dedicarunt, qui Pythodoro archonte muneribus his functi sunt, aurea corona coronati, cum sacerdotio fungeretur Eriphyle.* [?] *Parasiti: Epilycus, Stratii filius,* [?] *Gargettius; Pericles, Pericliti, Pithensis; Charinus, Democharis, Gargettius.* Tum in Regis legibus sic scriptum: *Sacra Apollini faciunto parasiti Acharnensium.* Clearchus vero Solensis, qui est unus ex Aristotelis discipulis, primo libro Vitarum haec scribit: »Praeterea *parasitum* nunc quidem hominem vocant ad omnia paratum: [*sive*, nunc quidem turpem hominem:] olim vero eum qui esset ad convictum cooptatus. Certe

λεγμένον. [1] ἐν γοῦν τοῖς παλαιοῖς νόμοις αἱ πλεῖσται τῶν πόλεων, ἔτι δὲ καὶ τήμερον, ταῖς ἐντιμοτάταις ἀρχαῖς συγκαταλέγουσι παρασίτους." Κλείδημος δ' ἐν τῇ Ἀτθίδι φησί· „Καὶ παράσιτοι δ' ἠρέθησαν τῷ Ἡρακλεῖ." καὶ Θεμίσων δ' ἐν Παλληνίδι· „Ἐπιμελεῖσθαι δὲ τὸν βασιλέα τὸν ἀεὶ βασιλεύοντα, καὶ τοὺς παρασίτους οὓς ἂν [2] ἐκ τῶν δήμων προαιρῶνται, καὶ τοὺς γέροντας καὶ τὰς γυναῖκας τὰς πρωτοπόσεις."

XXVII.

Paraſiti, colligendo ſacro frumento praepoſiti.

Ἔχεις δὲ καὶκ τούτων, καλέ μου Οὐλπιανὲ, b ζητεῖν, τίνες αἱ πρωτοπόσεις γυναῖκες. Ἀλλὰ μὴν, περὶ γὰρ τῶν παρασίτων ὁ λόγος, καὶν τῷ Ἀνακείῳ ἐπί τινος στήλης γέγραπται· „Τοῖν δὲ βοοῖν τοῖν ἡγεμόνοιν τοῖν ἐξαιρουμένοιν, τὸ μὲν τρίτον μέρος εἰς τὸν ἀγῶνα· τὰ δὲ δύο μέρη, τὸ μὲν ἕτερον τῷ ἱερεῖ, τὸ δὲ τοῖς παρασίτοις." Κράτης δ' ἐν δευτέρῳ Ἀττικῆς διαλέκτου φησί· „Καὶ ὁ παράσιτος νῦν ἐπ'

μον videtur oportuiſſe. 1 κατηλλαγμένον edd. 2 ὡς ἂν, pro οὓς ἂν, legendum putavi.

vetuſtis legibus pleraeque civitates, atque etiam ad hunc diem [nonnullae,] in honoratiſſimis magiſtratibus cenſent Paraſitos. « Cleidemus vero in Atthide dicit: *Et paraſiti electi ſunt Herculi.* Et Themiſon in Pallenide: *Curet Rex, qui quovis anno in officio fuerit, cum paraſitos, ut e tribubus nominentur, tum ſenes, & mulieres πρωτοπόσεις.*

27. Poteris tu, mi bone Ulpiane, ex his dictis rurſus quaerere, quaenam ſint πρωτοπόσεις. At (in aliud tempus quaeſtio iſta differatur:) nam de paraſitis nunc nobis agitur; de quibus etiam in Caſtorum aede in columna quadam haec ſcripta exſtant: *Boum ducum, qui ſelecti fuerint, tertia pars ad ludos: duarum reliquarum partium, altera ſacerdoti, altera paraſitis.* Crates vero, ſecundo libro Dialecti Atticae, ait: »Nomen *paraſiti* hodie qui-

ἄδοξον μὲν κεῖται πρᾶγμα· πρότερον δ' ἐκαλοῦντο Παράσιτοι, οἱ ἐπὶ τὴν τοῦ ἱεροῦ σίτου ἐκλογὴν [1] αἱ-
c ρούμενοι. καὶ ἦν ἀρχεῖόν τι παρασίτων. διὸ καὶ ἐν τῷ τοῦ βασιλέως νόμῳ γέγραπται ταυτί· „Ἐπιμελεῖσθαι δὲ τὸν βασιλεύοντα τῶν τε ἀρχόντων, ὅπως ἂν καθιστῶνται, καὶ τοὺς παρασίτους [2] ἐκ τῶν δήμων αἱρῶνται κατὰ τὰ γεγραμμένα. τοὺς δὲ παρασίτους ἐκ τῆς [3] βουκολίας ἐκλέγειν ἐκ τοῦ μέρους τοῦ ἑαυτῶν ἕκαστον ἑκτέα κριθῶν δαίνυσθαι τοὺς ὄντας Ἀθηναίους ἐν τῷ ἱερῷ κατὰ τὰ πάτρια. τὸν δ' ἑκτέα παρέχειν εἰς τὰ ἀρχεῖα τῷ Ἀπόλλωνι τοὺς Ἀχαρνέων παρασίτους ἀπὸ τῆς ἐκλογῆς τῶν κριθῶν." Curia parasitorum.
d Ὅτι δὲ καὶ ἀρχεῖον ἦν αὐτῶν, ἐν τῷ αὐτῷ νόμῳ τάδε γέγραπται· „Εἰς τὴν ἐπισκευὴν τοῦ νεὼ, τοῦ ἀρχείου, καὶ [4] τοῦ παρασιτίου, καὶ τῆς οἰκίας τῆς ἱερᾶς, διδόναι τὸ ἀργύριον, ὁπόσου ἂν οἱ τῶν ἱερέων

1 ἐκδοχὴν Hesych. 2 Forſ. ὡς ἐκ τῶν δήμων. 3 Forſ. ἐκτὸς βουκολίας legendum. 4 τοῦ ἀρχείου τοῦ παρασιτίου absque coniunct. legiſſe videtur Pollux.

dem ponitur in re ignobili. Prius vero *Paraſiti* vocabantur, qui ad colligendum ſacrum frumentum nominati erant: & erat *curia* quaedam *paraſitorum*. Quare etiam in Regis lege ſcriptum eſt his ipſis verbis: *Curet is qui Regis officio fungitur cum Archontas, ut rite conſtituantur, tum Paraſitos ut e tribubus nominentur quemadmodum in legibus ſcriptum eſt. Paraſiti vero absque dolo malo colligant, quisque ex parte ſibi adtributa, ſextarium hordei, quo unà epulentur qui ſunt Athenienſes, in templo, ritu patrio. Sextarium autem in curiam Apollini praebeant Acharnenſium paraſiti ex hordei collectione.* Fuiſſe vero etiam paraſitorum curiam, ex eadem lege intelligitur, ubi haec ſcripta: *Ad refectionem templi, curiae, & paraſitii, & aedis ſacrae, detur tantum argenti, quanto ſacerdotes, qui inſtaurationi praefecti*

Parasitium. ἐπισκευασταὶ μισθώσωσιν.“ Ἐκ τούτου δῆλόν ἐστιν, ὅτι ἐν ᾧ τὰς ἀπαρχὰς ἐτίθεσαν τοῦ ἱεροῦ σίτου οἱ παράσιτοι, τοῦτο παρασίτιον προσηγορεύετο.“ Ταὐτὰ ἱστορεῖ καὶ Φιλόχορος ἐν τῇ ἐπιγραφομένῃ Τετραπόλει, μνημονεύων τῶν καταλεγομένων τῷ Ἡρακλεῖ παρασίτων· καὶ Διόδωρος ὁ Σινωπεὺς κωμῳδιοποιὸς, e ἐν Ἐπικλήρῳ, οὗ τὸ μαρτύριον ὀλίγον ὕστερον παραθήσομαι. Ἀριστοτέλης δ' ἐν τῇ Μεθωναίων πολιτείᾳ· „Παράσιτοι, φησὶ, τοῖς μὲν ἄρχουσι δύο καθ' ἕκαστον ἦσαν, τοῖς δὲ πολεμάρχοις εἷς. τεταγμένα δὲ ἐλάμβανον παρ' ἄλλων τέ τινων, καὶ τῶν ἁλιέων ὄψον.“

XXVIII.

Parasitus Epicharmi. Τὸν δὲ νῦν λεγόμενον παράσιτον Καρύστιος ὁ Περγαμηνὸς, ἐν τῷ Περὶ Διδασκαλιῶν, εὑρεθῆναί φησιν ὑπὸ πρώτου Ἀλέξιδος· ἐκλαθόμενος ὅτι Ἐπίχαρμος ἐν Ἐλπίδι ἢ Πλούτῳ παρά πότον αὐτὸν εἰσήγαγεν, οὕτωσὶ λέγων· f

sunt, opus locaverint. Ex quo adparet, locum quo deponebant parasiti primitias sacri frumenti, *parasitium* fuisse adpellatum.« Paria his tradit etiam Philochorus in libro, qui Tetrapolis inscribitur, ubi parasitos commemorat Herculi cooptatos: & Diodorus Sinopensis, comicus, in Epiclero; cuius testimonium paulo post adponam. Aristoteles vero, in Methonaeorum republica: »Parasiti, ait, archontibus duo erant quotidie, polemarchis vero unus. Accipiebant autem statuta quaedam cibaria cum ab aliis, tum a piscatoribus obsonium.«

28. Qui autem nunc parasitus vocatur, eum Carystius Pergamenus, in libro de Didascaliis, ait, primum apud Alexidem reperiri; oblitus scilicet, iam ab Epicharmo, in fabula Spe vel Pluto, talem hominem in compotationem introduci; ubi sic ait poëta:

Ἀλλ' ἄλλος ὅδ' ἕστηχ' ὧδε [1] τοῦδε κατὰ πόδας
τὸν ῥᾳδινῶς [2] λαψῇ τυ καὶ τοίνυν γαθὴν [3]
εὔωνον ἀεὶ σῖτον· ἀλλ' ἔμπας ὅδε
ἄμυστιν ὥσπερ κύλικα πίνει τὸν βίκον. [4]

Αὐτὸν δὲ ποιεῖ [5] τὸν παράσιτον λέγοντα τοιάδε πρὸς τὸν πυνθανόμενον·

Συνδειπνέω [6] τῷ λῶντι, καλέσαι δεῖ μόνον·
καὶ τῷ γαμηλιῶντι, [7] κ' οὐδὲν δεῖ [8] καλεῖν.
Τηνεὶ δὲ [9] χαρίεις τ' εἰμὶ, καὶ ποιέω πολὺν
a γέλωτα, καὶ τὸν ἐστιῶντ' ἐπαινέω.
καΐκα τις ἀντίον τι λῇ τήνῳ λέγειν, [10]
τήνῳ κυδάζομαί τε καὶ ποτέχθομαι. [11]
Κἤπειτα πολλὰ καταφαγὼν, πολλ' ἐμπιὼν,

1 ὅδε vulgo. 2 ῥαδεινῶς ms. *A*. 3 καθ' ἡνεύωνον edd. γαθηνευωνον ms. 4 βίον vulgo. 5 Δι' αὐτὸν ποιεῖ ms. 6 Συνδειπνέων ms. 7 Forſ. Καὶ τῷ γα μηδὲ λῶντι: *atque etiam cum nolente.* Poſt iſta, repetunt vulgo verba τῷ γα, ſic pergentes, τῷ γα κ' οὐδὲν δεῖ &c. 8 οὐδὲ δεῖ corr. Hering. 9 τηνίδε ms. τηνιχάδε edd. 10 Corruptiſſime vulgo, καὶ κατισάντιον λητύνω λέγει. 11 κάπω νηχθόμεν edd. κάπω νεχθόμαν ms. κἀγὼν ἔχθιμον corr. Hering. Alii κἀπέρδομαι.

At alius iſte, ſtat hîc ad illius pedes,
– – – – – – –
vilis pretii ſemper cibum: ſed tamen hîc,
veluti calicem, uno hauſtu ebibit doliolum.

Deinde ipſum paraſitum percontanti cuidam facit haec reſpondentem:

Coenanti ſum conviva, dum tantum vocer;
at nuptias facienti, quamvis non vocer.
Ibi ego ſum lepidus; riſus multum ſuſcito;
convivatorem attollo miris laudibus:
at illi contra ſi quis auſit dicere,
hunc hoſtem mihi deſumo, hunc peto conviciis.
Poſtremo bene cibatus, nec potus male,

ἄπειμι. λύχνον δ' οὐχ ὁ παῖς μοι συμφέρει·
ἔρπω δ' ὀλισθάζων τε [1] καὶ κατάσκοτος,
ἔραμος. [2] αἴ κα δ' ἐντύχω τοῖς περιπόλοις,
τούτοις ἀγαθὸν ἐπιλέγω τοῖς θεοῖς, ὅτι
οὐ λῶντι παίων, ἀλλὰ μαστιγῶν τί με. [3]
Ἐπεὶ δέ χ' ἥκω οἴκαδες καταφθαρείς, b
ἄστρωτος [4] εὕδω· καὶ τὰ μὲν πρῶτ' οὐ κοῶ,
ἂς κά μοι [5] ἄκρατος οἶνος ἀμφέπῃ φρένας.

XXIX. Καὶ ἄλλα δὲ τοιαῦτα ἐπιλέγει ὁ τοῦ Ἐπιχάρμου παράσιτος. ὁ δὲ παρὰ τῷ Διφίλῳ τάδε φησίν·

Parasitus apud Diphilum.

Ὅταν με καλέσῃ πλούσιος δεῖπνον ποιῶν,
οὐ κατανοῶ τὰ τρίγλυφ', οὐδὲ τὰς στέγας,
οὐδὲ δοκιμάζω τοὺς Κορινθίους κάδους·

1 ὀλισθράζων τε vulgo. ὀλισθανέων τε Grot. 2 ἔραιον & ἔραιον edd. ἔρμος ms. 3 Nil mutant libri. Duos versus Grotius sic refinxit:

τούτοις ἀγαθὸν λέγω τι τοῖς θεοῖς, ὅτι
οὐ λῶντι παῖεν, ἀλλὰ μαστιγοῦν τί με.

In versione secutus sum Heringam, sic corrigentem:

τούτοις ἀγαθοὺς ἐπιλέγω τοὺς θεούς, ὅτι
οὐ λῶν τι παίω· ἀλλὰ μαστιγοῦντι με.

4 ἄτρωτος edd. 5 ἂς καμὰν vulgo.

discedo: non puer ullus allucet facem,
sed cāsabundus prorepo tenebris obsitus
solus. Tum si forte in vigiles incido,
per bonos illis Deos adfirmo, non sponte
mea quid commisisse: at illi me mulcant.
Dein domum cum veni, plagis perditus,
humi cubo, nec statim sentio vulnera,
quamdiu meri vis praecordia obsidet.

29. Atque etiam alia talia loqui pergit Epicharmi parasitus. Ille vero, qui a Diphilo inducitur, haec ait:

Ad coenam si dives me invitat, non ego
laquearia circumspecto, aut intertignia,
nec quod Corinthia arte constructum est opus;

ἀτενὲς δὲ τηρῶ τοῦ μαγείρου τὸν καπνόν.
c κἂν μὲν σφοδρὸς [1] φερόμενος εἰς ὀρθὸν τρέχῃ, 5
γέγηθα καὶ χαίρω τι καὶ πτερύσσομαι.
ἐὰν δὲ πλάγιος καὶ λεπτὸς, εὐθέως νοῶ,
ὅτι τοῦτό μοι τὸ δεῖπνον ἀλλ' οὐδ' αἷμ' ἔχει. [2]

Πρῶτος δ' Ὁμηρος, ὥς τινές φασιν, εἰσήγαγε παράσιτον, τὸν Ποδῆν εἶναι λέγων φίλον εἰλαπιναστὴν τοῦ Ἕκτορος· Parasitus apud Homerum.

Ἦν δέ τις ἐν Τρώεσσι [3] Ποδῆς, υἱὸς Ἠετίωνος,
d ἀφνειός τ', ἀγαθός τε· μάλιστα δέ μιν τίεν Ἕκτωρ
δήμου, ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής.

Τὸν γὰρ ἐν εἰλαπίνῃ φίλον, εἴρηκεν τὸν ἐν τῷ δειπνεῖν. διὸ καὶ ποιεῖ αὐτὸν ὑπὸ Μενελάου τιτρωσκόμενον κατὰ τὴν γαστέρα, φησὶν ὁ Σκήψιος [4] Δημήτριος· ὡς καὶ Πάνδαρον, διὰ τὸ ἐπιωρκηκέναι, κατὰ
e τῆς γλώττης. τιτρώσκει δ' αὐτὸν Σπαρτιάτης ἄνθρωπος, τὴν αὐτάρκειαν ἐζηλωκώς.

1 σφοδρῶς ms. *Ep.* 2 ἀλιδινῶς ἔχει Grot. 3 Ἔσκε δ' ἐνὶ Τρ. vulgo apud Hom. 4 φησὶ δ' ὁ Σκηψ. vulgo.

sed ad culinae fumum obtutum dirigo;
qui se alacer surſum ſi ferat recto itinere,
gaudeo, laetorque, & plauſis alis geſtio;
ſin tenuis obliquusque eſt, ſatis intelligo
coenam mihi illam ſiccam & exſanguem fore.

Primus vero Homerus, ut ſtatuunt nonnulli, paraſitum induxit, cum Poden *Hectoris carum* diceret *convivam:*

Erat autem in Troianis Podes, filius Eetionis,
dives, fortisque: quem maxime honorabat Hector
inter populares; nam ei ſodalis erat carus conviva.

Nam *in convivio carum*, dixit *in coena carum*. Quare etiam a Menelao vulneratum *in ventre* eumdem facit; (ut ait Demetrius Scepſius:) quemadmodum Pandarum, quod periurus fuiſſet, *in lingua*. Vulnerat autem illum vir Spartanus, frugalitatis ſtudioſus.

XXX. Eupolidis fabula Adulatores.

Οἱ δ' ἀρχαῖοι ποιηταὶ τοὺς παρασίτους, κόλακας ἐκάλουν· ἀφ' ὧν καὶ Εὔπολις τῷ δράματι τὴν ἐπιγραφὴν ἐποιήσατο, τὸν χορὸν τῶν Κολάκων ποιήσας τάδε λέγοντα·

Ἀλλὰ δίαιταν, ἣν ἔχουσ' [1]
οἱ κόλακες, πρὸς ὑμᾶς
λέξομεν. ἀλλ' ἀκούσαθ', ὡς
ἐσμὲν ἅπαντες κομψοὶ
ἄνδρες. τοῖσι πρῶτα μὲν
παῖς ἀκόλουθός ἐστιν
ἀλλότριος τὰ πολλά· μι-
κρὸν δέ τι καὐτοῦ. [2]
Ἱματίω δέ μοι δύ' ἑ- 5
στὼ χαρίεντε· τούτοιν
οὖν [3] μεταλαμβάνων ἀεὶ f
θάτερον, ἐξελαύνω
εἰς ἀγοράν. ἐκεῖ δ' ἐπει-
δὰν κατίδω τιν' ἄνδρα

1 Vulgo veluti proſa oratio continuis lineis ſcripti omnes iſti verſus: quorum quemque nos in duo hemiſtichia diviſimus. 2 μικρὸν δέ τι ἱκανὸν αὐτῷ Grot. 3 οὖν deeſt vulgo, ex Grotii coniect. adiectum. ἐν poſuit Hermann.

30. Veteres autem poëtae paraſitos, κόλακας vocaverant, id eſt, *adulatores* vel *adſentatores*: a quibus etiam titulum fabulae inſcripſit Eupolis, in qua Adſentatorum chorum haec dicentem fecit:

Qualis adulatoribus vita ſit, explicabo.
Accipiatis auribus, quam ſumus elegantes:
vix quibus unus eſt puer, nec tamen ille noſter:
& mihi perpuſillula ſuppetit copia ipſi.
Bina vetuſta ſunt mihi pallia: ſemper horum
induor alterum; fori deinde viam capeſſo.
Si quis ibi pecuniae dives adeſt, ſed idem

ἠλίθιον, πλουτοῦντα δ', εὐ-
θὺς περὶ τοῦτον εἰμί. [1]
Κἄν τι τύχῃ λέγων ὁ πλού-
ταξ, πάνυ τοῦτ' ἐπαινῶ
καὶ καταπλήττομαι, δοκῶν
τοῖσι λόγοισι χαίρειν.
Εἶτ' ἐπὶ δεῖπνον ἐρχόμεσθ' [2]
ἄλλυδις ἄλλος ἡμῶν,
μᾶζαν ἐπ' ἀλλόφυλον· οὗ
δεῖ χαρίεντα πολλὰ
τὸν κόλακ' εὐθέως [3] λέγειν,
ἢ Φέρεται θύραζε.
a οἶδα δ' Ἀκέστορ' αὐτὸ, τὸν
στιγματίαν, παθόντα.
σκῶμμα γὰρ οὔ ποτ' [4] ἔλεγεν· εἶτ'
αὐτὸν ὁ παῖς θύραζε
ἐξαγαγὼν [5] ἔχοντα κλοι-
ὸν παρέδωκεν Οἰνεῖ.

Τοῦ δὲ ὀνόματος τοῦ παρασίτου μνημονεύει Ἀρα- XXXI.
ρὼς, ἐν Ὑμεναίῳ, [6] διὰ τούτων·

1 εἶμι vulgo. 2 ἐρχόμεθ' vulgo. 3 εὐθὺς vulgo. 4 εἶπας vulgo. εὔπως Grot. & Herm. 5 ἀγαγὼν edd. 6 ἐν Μεναίῳ vulgo.

insipientis ingenî, sector eum repente.
Dicere si quid incipit dives, id ipse laudo,
meque probare praefero, quin velut obstupesco.
Vespere abimus ad dapes, huc hic, & alter illuc,
esca aliena quo vocat: scita ubi multa dicta
dicere opus, nisi velis protinus inde pelli.
Contigit haec Acestorem poena, notis perustum:
nam, quia parserat iocis, servus eum fugavit
de lare, quin & Oeneo tradidit ante vinctum.

31. Nomen vero parasiti usurpat Araros in Hymenaeo, his verbis:

Nomen *Parasiti* (pro *Adulatore*) recentius.

Οὐκ ἔσθ' ὅπως οὐκ εἶ παράσιτος, φίλτατε·
ὁ δ' Ἰσχόμαχος ὁ διατρέφων σε τυγχάνει.

Πολὺ δ' ἐστὶ τὸ ὄνομα παρὰ τοῖς νεωτέροις. τὸ δὲ ῥῆμα παρὰ Πλάτωνι τῷ Φιλοσόφῳ, ἐν Λάχητι. b φησὶ γάρ· „Καὶ ἡμῖν τὰ μειράκια παρασιτεῖ.“ Παρασίτων δ' εἶναί φησι γένη δύο Ἄλεξις, ἐν Κυβερνήτῃ, διὰ τούτων·

Α. Δύ' ἐστί, Ναυσίνικε, παρασίτων γένη.
ἓν μέν, τὸ κοινὸν καὶ κεκωμῳδημένον·
οἱ μέλανες ἡμεῖς. Ν. Θάτερον ζητῶ γένος.
Α. Σατράπας παρασίτους, καὶ στρατηγοὺς ἐπιφανεῖς· [1]
σεμνοπαράσιτον ἐκ μέσου καλούμενον, 5
ὑποκρινόμενον εὖ τοῖς βίοις, ὀφρῦς ἔχοντά γε c
χιλιοταλάντους, ἀνακυλιοντουσίας.
Νοεῖς τὸ γένος καὶ τὸ πρᾶγμα; Ν. Καὶ μάλα.

1 Versum hunc paulo inferius, post ista verba Καὶ μάλα inseruit Grotius, & Nausinico tribuit.

Fieri non potest quin sis parasitus, o carissime:
sed Ischomachus est qui te alit.

Frequens vero id nomen est apud iuniores. Verbum vero apud Platonem philosophum exstat in Lachete; dicit enim: *Et nobiscum epulantur* (παρασιτεῖ) *hi adolescentuli.* Esse autem duo Parasitorum genera ait Alexis, in Gubernatore, his verbis:

A. *Parasiti, Nausinice, generum sunt duûm:*
prius, vulgare hoc, rident quod comoediae;
nos homines atri. N. *At alterum quaero genus.*
A. *Hi sunt e plebe eximii, parasiti graves,*
vitae histriones, cum superciliis suis
millenitalentis, attrahipatrimoniis.
Genus hoc remque omnem nosti? N. *Scio quos denotes:*
satrapas parasitos, magnos legionum duces.

Α. Τούτων δ' ἑκατέρου τῶν γενῶν ὁ μὲν τύπος
τῆς ἐργασίας εἷς ἐστι, κολακείας ἀγών.
ὥσπερ ἐπὶ τῶν βίων δέ, τοὺς μὲν ἡ τύχη
ἡμῶν μεγάλοις [1] προσένειμε, τοὺς δ' ἐλάττοσιν·
d εἶθ' οἱ μὲν εὐπορῦμεν, οἱ δ' ἀλύομεν. [2]
Ἆρά γε διδάσκω, Ναυσίνικ', οὐκ ἀστόχως;
Ν. Ἀλλ' ἄν σ' ἐπαινῶ, μᾶλλον αἰτήσεις μ' ἔτι. [3]

XXXII. Χαρακτηρίζει δ' οὐκ ἀρρύθμως τὸν παράσιτον ὁποιός τίς ἐστι Τιμοκλῆς ἐν Δρακοντίῳ, οὕτως·

Character parasiti apud Timoclem.

Ἔπειτ' ἐγὼ παράσιτον ἐπιτρέψω τινὶ
κακῶς λέγειν; ἥκιστα. οὐδὲν ἔστι γὰρ
ἐν τοῖς τοιούτοις [4] χρησιμώτερον γένος.
Εἰ δ' ἔστι τὸ [5] φιλέταιρον ἔν τι τῶν καλῶν,
e ἀνὴρ παράσιτος τοῦτο ποιεῖ διὰ τέλους.

1 μεγάλαις ms. *A.* 2 οἱ ἀλλύομεν edd. οἱ ἀλύομεν ms. 3 Casaubonus maluerat, ἀλλ' ἄν σ' ἐπαινῶ γ', ἄλλο αἰτήσεις μ' ἔτι. Et sic fere Grotius. Proposuit vir doctus, ἀλλ' ἄν σ' ἐπαινῶ μᾶλλον, ἐπαιτήσεις μέ τι. *At, si te amplius laudavero, mercedem a me petes.* 4 ἐν τοῖσιν οὖσιν corr. Grot. cum Casaub. 5 Abest vulgo τὸ artic.

A. Utrivis horum generum, ne sis nescius,
idem artis modus ac forma est, assentatio.
Sed ut in vita, sic horum alios inclitis
fortuna rebus, alios parvis applicat:
hinc partim opulenti, partim mendici sumus.
Num, Nausinice, doceo ingeniose satis?
N. *Interrogabis me iterum, si laudavero.*

32. Parasiti characterem, qualis sit, non inconcinne tradit Timocles in Dracontio, cum ait:

Ego - ne parasito quispiam ut dicat male
perpetiar? Minime vero: nam nullum est genus
hominum, quod plures de se utilitates creet.
Si res honesta est consortio sodalium,
praecipuus ille est semper parasito labor.

ἐρᾷς; συνεραστὴς ἀπροφάσιστος γίνεται.
πράσσεις τι; πράξει συμπαρὼν ὅ τι ἂν δέῃ·
δίκαια ταῦτα [1] τῷ τρέφοντι νενομικώς.
ἐπαινέτης θαυμαστὸς οἷος τῶν φίλων.
Χαίρουσι δείπνων ἡδοναῖς ἀσυμβόλοις;
τίς δ' οὐχὶ θνητῶν, ἢ τίς ἥρως, ἢ θεὸς
ἀποδοκιμάζει τὴν τοιαύτην διατριβήν;
Ἵνα μὴ δὲ [2] πολλὰ μακρολογῶ δι' ἡμέρας,
τεκμήριόν τι παμμέγεθες οἶμαί γ' ἐρεῖν, f
ὁ τῶν παρασίτων ὡς τετίμηται βίος.
Γέρα γὰρ αὐτοῖς ταὐτὰ τοῖς τ' Ὀλύμπια
νικῶσι δίδοται, χρηστότητος εἵνεκα,
σίτησις. οὗ γὰρ μὴ τίθενται συμβολαί,
Πρυτανεῖα ταῦτα πάντα προσαγορεύεται.

XXXIII. Καὶ Ἀντιφάνης δὲ, ἐν Διδύμοις, φησίν·

Apud Antiphanem.

Ὅρα γὰρ, παράσιτός ἐστιν, ἂν ὀρθῶς σκοπῇς, a

1 Ταυτὰ ed. Caſ. 2 Ἵνα δὲ μὴ vulgo.

Si amas, amoris ſocium ſe adiungit tibi.
Res eſt agenda? partem in ſe operae ſuscipit,
deberi hoc credens altoribus ſuis.
Laudator amicorum eſt incomparabilis.
Sed, inquis, idem coenat absque impendio.
At quis, non hominum dicam, ſed ſuperûm Deûm,
aut Semonum etiam, genus hoc vivendi improbet?
Ac ne diem prolixa dicendo teram,
unum argumentum dabo, ſed quod ſit maximum,
paraſitorum unde intelligatur dignitas:
virtutis ergo quae ludorum Olympicûm
victores, eadem & illi accipiunt praemia,
cibatum absque ſumtu: quod ubicumque ſit,
Prytaneum recte illum locum vocaveris.

33. Similiter Antiphanes in Gemellis ait:

Vide, paraſitus, recte ſi conſideres,

κοινωνὸς ἀμφοῖν, τῆς τύχης καὶ τοῦ βίου.
Οὐδεὶς παράσιτος εὔχετ' ἀτυχεῖν τοὺς φίλους·
τοὐναντίον δὲ πάντας εὐτυχεῖν ἀεί.
ἔστιν πολυτελὴς τῷ βίῳ τίς; οὐ φθονεῖ·
μετέχειν δὲ τούτων [1] εὔχετ' αὐτῷ συμπαρών.
κἄστιν φίλος γενναῖος, ἀσφαλής θ' ἅμα·
οὐ μάχιμος, οὐ πάροξυς, οὐχὶ βάσκανος.
ὀργὴν ἐνεγκεῖν [2] ἀγαθός. ἂν σκώπτῃς, γελᾷ.
b ἐρωτικὸς, γελοῖος, ἱλαρὸς τῷ τρόπῳ.
πάλιν στρατιώτης ἀγαθὸς εἰς ὑπερβολήν,
ἂν ᾖ τὸ σιτάρχημα δεῖπνον εὐτρεπές.

XXXIV. Parasitus apud Aristophontem.

Καὶ Ἀριστοφῶν δὲ, ἐν Ἰατρῷ, φησί·

Βούλομαι δ' αὐτῷ [3] προειπεῖν,
οἷός εἰμι τοὺς τρόπους.
Ἄν τις ἑστιᾷ, πάρειμι
πρῶτος· ὥστ' ἤδη πάλαι

1 τούτου Grot. 2 ἀνενεγκεῖν edd. 3 αὐτὸς forsan.

ut sit utrarumque fortunarum particeps.
Nemo parasitus cupit ut amicis sit male;
sed eos conspicere exoptat florentissimos.
Vitam agitat aliquis splendidam? Non invidet,
sed amat bonorum compartiri comiter:
amicus simplex, certus, sine periculo;
non pugnax, non malignus, inirritabilis;
iram tolerare facilis: arridet iocis,
amabilis, ridiculus, hilaris moribus:
deinde, ubi opus est, miles strenuissimus,
modo adsit coena opipara pro stipendio.

34. Porro Aristophon, in Medico:

Nunc volo illi enunciare, quo sim ingenio praeditus.
Si quis coenam praebet, adsum primus: ideo a iuve-
nibus

[παρὰ νέων] [1] ζωμὸς καλοῦμαι.
δεῖ τιν' ἆρασθαι μέσον
τῶν παροινούντων; παλαιστὴν
νόμισον Ἀνταῖόν μ' [2] ὁρᾶν.
προσβαλεῖν [3] πρὸς οἰκίαν δεῖ; 5
κριός. ἀναβῆναί τι πρὸς
κλιμάκιον; [4] Καπανεύς. [ἐὰν δὲ] [5]
ὑπομένειν πληγὰς, ἄκμων. [6]
κονδύλους πλάττειν [7] δὲ, Τελαμών.
τοὺς καλοὺς πειρᾶν, καπνός.

Virtutes parasiti. Καὶν Πυθαγοριστῇ δὲ φησίν·

Πρὸς μὲν τὸ πεινῆν, ἐσθίειν τε μηδ' ἓν,
νόμιζ' ὁρᾶν Τιθύμαλλον, ἢ Φιλιππίδην.
ὕδωρ δὲ πίνειν, βάτραχος. ἀπολαύσαι θύμων
λαχάνων τε, κάμπη. πρὸς τὸ μὴ λοῦσθαι, ῥύπος.
ὑπαίθριος χειμῶνα διάγειν, κόψιχος. 5

1 Duo verba a Grotio adiecta. 2 Ἀργεῖόν μ' Grot. αὐτάργειόν μ' edd. αὐταργεῖόν μ' aut ἀνταργεῖόν μ' mssti. 3 προσβαίνειν edd. cum ms. *Ep.* προσβάδην ms. *A.* 4 κλιμάκων Grot. 5 Duae voces ex coniectura adiectae. ἐὰν δεῖ Grot. 6 ἄκμων καὶ κονδύλους. edd. ad superiora referentes. 7 πάσχειν Grot. πλήττειν Coray. Verissimum fuerit κονδύλοις πλήττειν.

Iusculum adpellor. Quadrupedem si quem tolli est opus
insolentiae ergo, Argivum me luctatorem putes.
Si domus insultanda est, aries: scalas si opus ascendere,
Capaneus sum: plagis ferendis, incus: pugnum infligere,
Telamo: pulcher si tentandus aliquis, fumum dixeris.

Idem, in Pythagorista, ait:

Ad nil vescendum & tolerandam esuriginem,
est Tithymallus alter aut Philippides:
ad aquam bibendam, rana: edendis oleribus
porroque, eruca: illuvie, strigmentum, scabres:
merula, degendam ad hiemem sub Iove frigido:

πνίγος ὑπομεῖναι καὶ μεσημβρίας λαλεῖν,
τέττιξ. ἐλαίῳ μήτε χρῆσθαι, μήθ' ὁρᾷν,
κονιορτός. ἀνυπόδητος ὄρθρου περιπατεῖν,
γέρανος. καθεύδειν μηδὲ μικρὸν, νυκτερίς.

XXXV.

Parasitus rursus apud Antiphanem.

Ἀντιφάνης δ' ἐν Προγόνοις·
— — Τὸν τρόπον μὲν οἶσθά μου,
e ὅτι τύφος οὐκ ἔνεστιν. ἀλλὰ τοῖς φίλοις
τοιοῦτός εἰμι δή τις. τύπτεσθαι, μύδρος·
τύπτειν, κεραυνός· ἐκτυφλοῦν τιν', ἀστραπή·
φέρειν τιν' ᾄραντ', ἄνεμος· ἀποπνῖξαι, βρόχος·
θύρας μοχλεύειν, σεισμός· εἰσπηδᾷν, ἀκρίς·
δειπνεῖν ἄκλητος, μυῖα· μὴ ἐξελθεῖν, φρέαρ.
ἄγχειν, [1] φονεύειν, μαρτυρεῖν· ὅσ' ἂν μόνον
τύχῃ τις εἰπὼν, ταῦτ' ἀπροσκέπτως ποιεῖν

1 ἄρχειν vulgo.

aestu ferendo, & fabulis meridie
fanaïs, cicada: ad olei inusum, pulvis est:
ad ambulandum mane calceis sine,
grus: ad ducendam noctem insomnem, noctua.

35. Antiphanes vero, in Progenitoribus:
— — *Nosti ingenium meum.*
Nullus fastus inest. Adversus amicos
sum huiusmodi: ad ferendos ictus, candentis ferri massa:
ad feriendum, fulmen: ad excaecandum quempiam, fulgur:
ad tollendum praecipitem, ventus: ad strangulandum, laqueus:
ad effringendam portam, terrae motus: ad introsiliendum, locusta:
ad coenandum ubi non vocatus, musca: ad non egrediendum, puteus.
ad constringendam gulam, ad occidendum, ad falsum dicendum testimonium, & quaecumque tandem
dicere aliquis queat, ad ista temere patranda

ἅπαντα. Καὶ καλοῦσί μ' οἱ νεώτεροι
διὰ ταῦτα πάντα, σκηπτόν. [1] ἀλλ' οὐθὲν μέλει f
τῶν σκωμμάτων μοι. τῶν φίλων γὰρ ὢν φίλος,
ἔργοισι χρηστὸς, οὐ λόγοις ἔφυν μόνον.

Apud Diphilum. Δίφιλος δ', ἐν Παρασίτῳ, μελλόντων γίνεσθαι γάμων, τὸν παράσιτον ποιεῖ λέγοντα τάδε·

— — Ἀγνοεῖς ἐν ταῖς ἀραῖς
ὅτι ἔστιν, εἴ τις μὴ φράσει [2] ὀρθῶς ὁδὸν,
ἢ πῦρ μὴ [3] ἐναύσει, ἢ διαφθερεῖ ὕδωρ, a
μέλλοντα δειπνεῖν ἤ γε κωλύσει τινά.

Apud Eubulum. Εὔβουλος δὲ, ἐν Οἰδίποδι·

Ὁ πρῶτος εὑρὼν τἀλλότρια δειπνεῖν, ἀνὴρ
δημοτικὸς ἦν τις, ὡς ἔοικε, τοὺς τρόπους.
Ὅστις δ' ἐπὶ δεῖπνον ἢ φίλον τιν' ἢ ξένον
καλέσας, ἔπειτα συμβολὰς ἐπράξατο,

1 ἄσχιπτον Grot. 2 φράσῃ edd. 3 Deeſt μὴ vulgo.

cuncta (praeceps.) Et adpellant me iuvenes
ob iſta omnia, Turbinem. At non ego curo
convicia: nam amicorum ſum amicus talis,
qui re ipſa bonus utilisque eſſe, non modo verbis, ad-
ſueverim.

Diphilus in Paraſito, cum inſtarent nuptiae, paraſitum haec inducit loquentem:

— — *Neſcis, in dirarum carmine*
hoc eſſe: ni quis rectam monſtraſſit viam;
ignem ni accenſit; ſi quis aquas infecerit;
coenatum eunti ſi quis iniexit moram.

Eubulus vero in Oedipode:

De alieno primus qui coenare repperit,
fuit, ut res monſtrat, moribus popularibus.
At, quisquis ad coenam aut amicum aut hoſpitem
vocavit, ac deinde poſcit ſymbolam,

φυγὰς γένοιτο, μηδὲν οἴκοθεν λαβών.

XXXVI. Ars parasitandi.

Διόδωρος δὲ ὁ Σινωπεὺς, ἐν Ἐπικλήρῳ, περὶ τοῦ παρασιτεῖν καὶ αὐτὸς οὐκ ἀγλαοφύρως τάδε φησίν·

b — — Βούλομαι δεῖξαι σαφῶς
ὡς σεμνόν ἐστι τοῦτο, καὶ νενομισμένον,
καὶ τῶν θεῶν εὕρημα. τὰς δ' ἄλλας τέχνας
οὐδεὶς θεῶν κατέδειξεν, ἀλλ' ἄνδρες σοφοί.
Τὸ γὰρ παρασιτεῖν εὗρεν ὁ Ζεὺς ὁ φίλιος,
ὁ τῶν θεῶν μέγιστος ὁμολογουμένως.
οὗτος γὰρ εἰς τὰς οἰκίας εἰσέρχεται,
οὐχὶ διακρίνας τὴν πενιχρὰν ἢ πλουσίαν.
οὗ δ' ἂν καλῶς ἐστρωμένην κλίνην ἴδῃ,
παρακειμένην τε τὴν [1] τράπεζαν, πάνθ' ἃ δεῖ
c ἔχουσαν· ἤδη κατακλιθεὶς [ὅ γε] [2] κοσμίως,
ἀριστίσας [3] ἑαυτὸν, ἐντραγὼν, πιὼν, [4]

1 τὴν vulgo deest. 2 Voces ὅ γε ex coniect. adiectae. μάλα κοσμίως Grot. 3 ἀριστήσας vulgo. 4 ἐμπιὼν vulgo. εὖ τραγὼν, πιὼν Grot.

eat in exsilium, sed nihil exportans domo.

36. Diodorus vero Sinopensis, in Epiclero, (*id est*, Orba haerede) de Parasitis non inconcinne haec dicit:

— — Volo manifeste ostendere,
quam sit perhonesta res haec & ab auctoribus
profecta divis. Artes etenim caeteras
non Dî reperetunt, verum sapientes viri:
at Parasitationem reperit Iuppiter,
praeses amicitiae, qui Deus multo est maximus.
Namque ille vulgo se insinuat in domos,
locupletes, paupertinas, sine discrimine:
atque ubi concinne stratum lectum viderit,
adpositam mensam, rerum cui desit nihil
quae sunt necesse; tum ille adcumbens suaviter
se prandio delectat, manducat, bibit,

ἀπέρχετ' οἴκαδ', οὐ καταβαλὼν συμβολάς.
Κἀγὼ ποιῶ νῦν τοῦτ'· ἐπὰν κλίνας ἴδω
ἐστρωμένας, καὶ τὰς τραπέζας εὐτρεπεῖς,
καὶ τὴν θύραν ἀνεῳγμένην, εἰσέρχομαι
ἐνθάδε [1] σιωπῇ, καὶ ποιήσας εὐσταλῆ
ἐμαυτὸν, ὥστε μὴ ἐνοχλεῖν τὸν συμπότην.
πάντων ἀπολαύσας τῶν παρατεθέντων, πιὼν,
ἀπέρχομ' οἴκαδ', ὥσπερ ὁ Ζεὺς ὁ Φίλιος.
Ὅτι δ' ἦν τὸ πρᾶγμ' ἔνδοξον αἰεὶ καὶ καλὸν, [2]
ἐκεῖθεν ἂν γνοίη τις ἔτι σαφέστερον.
Τὸν Ἡρακλέα τιμῶσα λαμπρῶς ἡ πόλις,
ἐν ἅπασι τοῖς δήμοις [3] θυσίας ποιουμένη, [4]
εἰς τὰς θυσίας ταύτας παρασίτους τῷ θεῷ
οὐ πώποτ' ἀπεκλήρωσεν, οὐδὲ παρέλαβεν
εἰς ταῦτα, τοὺς τυχόντας· ἀλλὰ κατέλεγεν

1 Perperam versum praeced. sic claudunt editi, εἰσέρχομ' ἐνθάδε: tum hîc habent ἤδη σιωπῇ. 2 τὸ πρᾶγμα ἔνδοξον ἀεὶ καὶ καλὸν edd. Sic & ms. nisi quod καὶ omittat. 3 δήμοισι vulgo. 4 ποιουμένης editt. vett. cum ms.

domum regreditur, & quidem sine symbola.
Idem ego nunc facio. Namque ubi lectos videro
stratos, & mensas exornatas opipare,
foremque apertam; protinus silentio
ingredior, & me comem facio; id unice
curans, molestus ne sim compotoribus.
Tum, postquam adpositis memet satiavi ac bibi,
domum regredior, ut is quem dixi Iuppiter.
Iam vero, rem fuisse honestam antiquitus
& gloriosam, hoc argumento intelligas.
Haec civitas, eximio mactans Herculem
honore, curiatim sacra illi facit:
atque ad ea sacra numquam Parasitos Deo
aut urnae sorte aut forte fortuita accipit
qualescumque homines; cura sed magna legit

ἐκ τῶν πολιτῶν δώδεκ' ἄνδρας ἐπιμελῶς
ἐκλεξαμένη τοὺς ἐκ δυναστῶν γεγονότας,
e ἔχοντας οὐσίας, [1] καλῶς βεβιωκότας.
Εἶθ' ὕστερον τὸν Ἡρακλέα μιμούμενοι
τῶν εὐπόρων τινὲς, [2] παρασίτους ἑλόμενοι
τρέφειν, παρεκάλουν οὐχὶ τοὺς χαριεστάτους
ἐκλεγόμενοι, τοὺς δὲ κολακεύειν δυναμένους,
καὶ πάντ' ἐπαινεῖν. οἷς ἐπειδὴ προσερύγοι,
ῥαφανίδα [3] καὶ σαπρὸν σίλουρον καταφαγὼν,
ἅα καὶ ῥόδ' ἔφασαν αὐτὸν ἡριστηκέναι.
ἐὰν [4] δ' ἀποπάρδῃ μετά τινος κατακείμενος,
f τούτῳ προσάγων τὴν ῥῖνα δεῖτ' αὐτῷ [5] φράσαι,
πόθεν τὸ θυμίαμα τοῦτο λαμβάνεις;
Διὰ τοὺς τοιούτους τοὺς ἀσελγῶς χρωμένους,
τὸ τίμιον καὶ τὸ καλὸν αἰσχρόν ἐστι νῦν. [6]

1 ἔχοντας θυσίας vulgo. 2 τινὰς vulgo; &, dein prave distinguunt. 3 ῥαφανίδας mssti. 4 ἐπειδὰν vulgo. 5 δεῖ αὐτῷ edd. 6 νυνί. mssti & editt. vett.

viros duodecim, civium e primoribus,
& de familiis natos optimatibus,
queis sit domi res, quique honeste vixerint.
Exinde factum est, Herculem imitantes viri
opulenti parasitos ut deligerent sibi:
at in eo peccatum, quod non festivissimos
legerent, sed qui nossent assentarier,
laudare cuncta, usque adeo, ut, si quis rancidum
silurum aut raphani ructet graveolentiam,
pransum esse dicant violas permixtas rosis.
Quod si quis iuxta adcumbens displodat nates,
opus est admotis alter dicat naribus,
» *Tam dulce suffimentum, quaeso, unde est tibi?* «
Per illos, nulla utentes cum verecundia,
res bona & honesta coepit infamarier.

XXXVII. Ars parasitica apud Axionicum.

Καὶ Ἀξιόνικος δ', ἐν Χαλκιδικῷ, φησίν·

Ὅτε τοῦ παρασιτεῖν πρῶτον ἠράσθην μετὰ
Φιλοξένου, τῆς Πτερνοκοπίδος, [1] νέος ἔτ' ὤν,
πληγὰς ὑπέμενον [2] κονδυλίων καὶ τρυβλίων,
ὀστῶν τε, τὸ μέγεθος τοσαύτας, ὥστε με
ἐνίοτε τοὐλάχιστον ὀκτὼ τραύματα 5 a
ἔχειν. ἐλυσιτέλει γάρ· ἥττων εἰμὶ γὰρ
τῆς ἡδονῆς. Ἔπειτα καὶ τρόπον τινὰ
τὸ πρᾶγμά μοι [3] λυσιτελὲς εἶναι νενόμικα.
οἷον· [4] φίλερίς τις ἐστὶ, καὶ μάχεταί τί μοι;
μετεβαλόμην πρὸς τοῦτον· ὅσα τ' εἴρηκέ με 10 b
κακῶς, ὁμολογῶν εὐθέως, οὐ βλάπτομαι.
πονηρὸς ὤν τε [5] χρηστὸς εἶναι φησί τις;
ἐγκωμιάζων τοῦτον, ἀπέλαβον χάριν.
γλαύκου βεβρωκὼς τέμαχος ἑφθὸν τήμερον,

1 τοῦ Πτερν. edd. 2 ὑπομένων vulgo. 3 Τόδε πρᾶγμά μοι Grot. 4 Possis suspicari. B. Ὁποῖον; A. Φίλερις &c. 5 ὢν δὲ Grot.

37. Et Axionicus in Chalcidico dicit:

Cum parasitandi me adolescentem primulum
cepit cupido cum helluone Philoxeno,
ictum tum ferre didici pugnorum & ossuum
& poculorum, tanto impactos impetu,
ut octo minimum saepe ferrem vulnera.
Atque id erat conducibile: nam sibi subditum
me habet voluptas. Maior experientia
monstravit aliud, conducibile quod foret.
Si quis rixosus mecum amat contendere,
ad eum me verto; quaeque in me profuderit
maledicta, vera fateor: ita vito malum.
Sceleratus aliquis esse se dicit probum?
hunc ego collaudo: & magnam refero gratiam.
Glaucum hodie coctum si comesse inceperim,

αὔριον ἕωλον τοῦτ' ἔχων οὐκ ἄχθομαι. 15

Τοιοῦτος ὁ τρόπος ἐστὶν, ἡ Φύσις τέ μου.

Claudium Muſeum.

Ἀντίδοτος δ', ἐν τῷ ἐπιγραφομένῳ Πρωτοχόρῳ, παράγει τινὰ παραπλήσιον τοῖς ἐν τῷ Κλαυδίῳ νῦν σοφιστεύουσιν, ὧν οὐδὲ μεμνῆσθαι καλὸν, τοιαῦτα περὶ παρασιτικῆς τέχνης λέγοντα·

Κατὰ τὴν στάσιν δὴ στάντες ἀκροάσασθέ μου. [1]
πρὶν ἐγγραφῆναι καὶ λαβεῖν τὸ χλαμύδιον,
c περὶ τοῦ παρασιτεῖν εἴ τις ἐμπέσοι λόγος,
τὸ τεχνίον αἰεὶ τοῦτό μοι κατεπίνετο,
καὶ παιδομαθὴς πρὸς αὐτὸ τὴν διάνοιαν ἦν.

XXXVIII. Tithymallus paraſitus.

Παράσιτοι δ' ἐπ' ὀνόματος ἐγένοντο, Τιθύμαλλος μὲν, οὗ μνημονεύει Ἄλεξις [2] ἐν Μιλησίᾳ, [3] καὶ ἐν Ὀδυσσεῖ ὑφαίνοντι· ἐν δὲ Ὀλυνθίοις [4] φησίν·

1 ἀκροᾶσθέ μου edd. 2 καὶ Ἄλεξις edd. 3 Alibi ἐν Μιλησίοις ſcribitur. 4 Ὀμυθίοις vulgo h. l.

eius reliquias cras comeſſe non piget.
Tale eſt ingenium; mores ſunt tales mihi.

Antidotus, in fabula cui titulus Protochorus, paraſitum quemdam inducit ſimilem his qui in Claudio Muſeo hodie literarum ſtudia profitentur, quorum propemodum meminiſſe pudet, eumque de Arte paraſitica haec facit dicentem:

Suo quisque loco ſtantes audite me.
Priusquam nomen inſcripſiſſem meum, palliolumque ſumſiſſem,
quoties de paraſitorum arte incidebat ſermo,
ſemper cupidus bellulam hanc artem devoravi,
atque etiam tum puer ad illam addiſcendam animum adpuli.

38. In Paraſitorum numero nominatim commemorantur, primum *Tithymallus*: cuius Alexis meminit in Mileſia, & in Ulyſſe telam texente; in Olynthiis vero de eodem ſic loquitur:

Ὁ δὲ σὸς πένης ἔστ', ὦ γλυκεῖα. τοῦτο δὲ
δέδοιχ' ὁ θάνατος τὸ γένος, ὥς φασιν, μόνον.
ὁ γοῦν Τιθύμαλλος ἀθάνατος περιέρχεται.

Δρόμων δ', ἐν Ψαλτρίᾳ·

Α. Ὑπερησχυνόμην
μέλλων ἀσύμβολος πάλιν δειπνεῖν. Β. Πάνυ
αἰσχρὸν γάρ· [1] ἀμέλει τὸν Τιθύμαλλον γοῦν ἀεὶ
ἐρυθρότερον κόκκου περιπατοῦντ' ἔσθ' ὁρᾶν·
οὕτως ἐρυθριᾷ συμβολὰς οὐ κατατιθείς.

Τιμοκλῆς, Κενταύρῳ ἢ Δεξαμένῳ·

Τιθύμαλλον αὐτὸν καὶ παράσιτον ἀποκαλῶν. [2]

ἐν δὲ Καυνίοις·

Ἤδη προσενήνεκταί τι [3] μέλλει, σπεύδετε.
Ὦ τάν. ὁ γὰρ Τιθύμαλλος οὗτος [4] ἀνεβίω
κομιδῇ τεθνηκὼς, τῶν ἂν ὀκτὼ [5] τοῦ βόλου

1 Vocula ex coniectura adiecta. 2 ἀποκαλεῖ corrigit Casaubonus, pro Athenaei verbis accipiens Timoclis versum. 3 προσενηνέχθαι τι μέλλει; corr. Casaub. 4 Forſ. οὗτος. 5 τῶν ἂν' ὀκτὼ corr. Caſ. Nec vero ſic ſatis emendatus videtur locus.

Tuus vero, o dulciſſima, pauper eſt. Hoc autem genus
hominum unum, ut aiunt, veretur mors:
itaque immortalis obambulat Tithymallus.

Dromo vero, in Pſaltria:

A. *Pudet magnopere,*
quod abſque ſymbola rurſus ſim coenaturus. B. *Recte:*
eſt enim turpe utique. Proinde Tithymallum certe ſemper
videre licet cocco rubentiorem incedere:
ita erubeſcit quod ſymbolam non conferat.

Timocles, in Centauro vel Dexameno:

Tithymallum & paraſitum adpellans eum.

In Cauniis vero:

[T.] *Adferetur-ne tandem aliquid? Maturate!*
[A.] *Heus tu! Tithymallus ergo hic in vitam rediit,*
oppido mortuus, poſtquam obolo emtos octo

θέρμους μαλάξας. Οὐκ ἀποκαρτέρησε γὰρ
ἐκεῖνος, ἀλλ' ἐκαρτέρησ', ὦ φίλτατε,
πίνων. —

ἐν δ' Ἐπιστολαῖς·

Οἴμοι κακοδαίμων, ὡς ἐρῶ μὰ τοὺς θεούς.
Τιθύμαλλος οὐδεπώ ποτ' ἠράσθη φαγεῖν
οὕτω σφόδρ', οὐδὲ Κορμὸς ἱμάτιον λαβεῖν,
οὐ Νεῖλος [1] ἀλφίτου, Κόρυδος [2] ἀσύμβολος
κινεῖν ὀδόντας.

Ἀντιφάνης, Τυῤῥηνῷ·

Α. Καὶ γὰρ αἰτεῖτο [3] προῖκα τοῖς φίλοις ὑπηρε-
τεῖν.

Β. Λέγεις ἔσεσθαι Τιθύμαλλον πλούσιον.
ἐσπράξεται [4] γὰρ μισθὸν ἐκ τοῦ σοῦ λόγου
παῤ οἷς ἐδείπνει προῖκα, σύλλεξιν [5] συχνήν.

1 Νειλλος ms. Alibi Νίλλος. 2 οὐ Νεῖλος ἀλφιτ', οὐδὲ Κορ. corr. Caſ. 3 γὰρ ἐτητὸ ms. absque καί. Caſaubonus ſic corrigebat:
— — Καὶ γὰρ οὐκ [Οὐδὲ γὰρ malim]
αἰτεῖτο [quidni αἰτεῖται?] προῖκα τοῖς &c.
4 εὖ πράξεται vulgo. 5 συλλέξειν ms.

lupinos emoliiſſet. [B.] *Non enim perduravit ille inedia mori; ſed duravit, mi cariſſime, bibens.*

Idem, in Epiſtolis:

Eheu! me miſerum, ut amo! Per Deos, nec Tithymallus ullus umquam cibum vorare amavit tam vehementer, nec Cormus pallium ſumere, non Nilus polentam edere, aut Corydus ſine ſymbola dentes exercere.

Antiphanes, in Tyrrheno:

A. [*Nec*] *enim gratis miniſtrare vult amicis.*
B. *Futurum ergo divitem Tithymallum ais.*
Mercedem enim, ut intelligo, exiget, ab his apud quos gratis coenat, ſpiſſam ſtipem.

XXXIX. Corydus parasitus.

Ἦν δὲ καὶ ὁ Κόρυδος τῶν δι' ὀνόματος παρασί- a
των. μνημονεύει δ' αὐτοῦ Τιμοκλῆς, ἐν Ἐπιχαιρεκάκῳ, οὕτως·

Ἀγορὰν ἰδεῖν εὔοψον, εὐπορουῦντι μὲν
ἥδιστον· ἂν δ' ἀπορῇ τις, ἀθλιώτατον.
Ὁ γοῦν Κόρυδος, ἄκλητος ὡς ἐμοὶ δοκεῖ
γενόμενος, ὠψώνει παρ' αὐτοῦ [1] οἰκαδε.
ἦν δὲ τὸ πάθος γελοῖον, οἴμοι. τέτταρας 5
χαλκοῦς ἔχων ἄνθρωπος, ἐγχέλεις ὁρῶν,
θύννεια, [2] νάρκας, καράβους· ἡμωδία. [3]
καὶ ταῦτα πάντα μὲν περιελθὼν, ἤρετο b
ὁπόσου· πυθόμενος δ' ἀπέτρεχ' εἰς [4] τὰς μεμβράδας.

Ἄλεξις, Δημητρίῳ ἢ Φιλεταίρῳ·

Ἀλλ' αἰσχύνομαι
τὸν Κόρυδον, εἰ δόξω συναριστᾶν τισιν

1 ὀψωνεῖ παρ' αὐτὸν vulgo. 2 θυννεῖα edd. 3 ἡμώδια edd.
4 ἀποτρέχ' εἰς edd. ἀποτρέχεις ms. *A.* ἀποτρέχει εἰς ms. *Ep.*

39. Erat vero etiam *Corydus* in paraſitis famoſus. Cuius meminit Timocles in Epichaerecaco: (*id eſt*, *Gaudente-malis-alienis*:)

Forum videre plenum egregiis piſcibus,
diti voluptas, crux eſt ſumma pauperi.
Corydo id accidit. Vocatus a nemine,
de ſuo emturus ibat quod ferret domum.
Ridicula erat res: heu! nam cum plus quattuor
aereolis non haberet, anguillas videt,
torpedines, locuſtas, thynnos: dentiens
& circumcurſans, quanti quaeque, interrogat:
ſed pretio territus, ad membradas fugit.

Alexis, in Demetrio ſeu Philetaero:

At vereor
Corydum, ſi viſus fuero prandere cum aliquibus

οὕτω προχείρως· οὐκ ἀπαρνοῦμαι δ' ὅμως.
οὐδὲ γὰρ ἐκεῖνος, ἐὰν καλῇ τις. —

Ἐν δὲ Τιτθῇ· [1]

Ὁ Κόρυδος οὗτος, ὁ τὰ γελοῖ' εἰθισμένος
λέγειν, Βλεπαῖος εἶναι βούλεται· νοῦν γ' ἔχων·
πλουτεῖ γὰρ ὁ Βλεπαῖος.

Κρατῖνος δ' ὁ νεώτερος, ἐν Τιτᾶσι·

— Κόρυδον [2] τὸν χαλκοτύπον πεφύλαξο,
ἢν μὴ σοὶ νομιεῖς αὐτὸν μηδὲν καταλείψειν.
μήδ' ὄψον κοινῇ μετὰ τούτου πώποτε δαίσῃ,
τοῦ Κορύδου, προλέγω σοι· ἔχει γὰρ χεῖρα κραταιὰν,
χαλκῆν, ἀκάματον, πολὺ κρείττω τοῦ πυρὸς αὐτοῦ.

d Ὅτι δὲ γελοῖα ἔλεγεν ὁ Κόρυδος, καὶ ἐπὶ τούτοις γελᾶσθαι ἤθελεν, ὁ αὐτὸς Ἄλεξις ἐν Ποιηταῖς φησί·

Πάνυ τοι βούλομαι

1 Alibi ἐν Τηθύϊ edd. ſed ibidem Τιθεῖ ms. *A*. 2 Forſ. Καὶ Κόρυδον.

tam facile: nec recuſo tamen.
Nec enim ille (recuſare ſolet,) ſi quis vocat.

Et in Titthe: (*id eſt*, Nutrice:)

Corydus hic, is qui ridicula adſuevit
loqui, Blepaeus eſſe cupit: nec ita abſurde;
dives enim Blepaeus eſt.

Cratinus iunior, in Titanibus:

Corydum tu caveto, fabrum illum aerarium;
niſi tecum ſtatueris, nihil eum tibi relicturum.
Neque obſonium cum hoc homine comedes umquam,
cum Corydo: praedico tibi. Habet enim manum validam,
aeneam, indefeſſam, ipſo igne longe valentiorem.

Ridicula vero loqui ſolitum Corydum, & ob ea rideri voluiſſe, idem Alexis in Poëtis docet:

Utique cupio

οὕτως γελᾶσθαι, καὶ γελοῖ' ἀεὶ λέγειν,
μετὰ τὸν Κόρυδον μάλιστ' Ἀθηναίων πολύ.

Ἀναγράφει δὲ αὐτοῦ τὰ ἀπομνημονεύματα Λυγκεὺς ὁ Σάμιος, Εὐκράτην αὐτὸν καλεῖσθαι κυρίως φάσκων. γράφει δ' οὕτως· „Εὐκράτης ὁ Κόρυδος πίνων παρά τινι σαπρῶς οὔσης τῆς οἰκίας· ἐνταῦθα, φησὶ, δειπνεῖν δεῖ ὑποστήσαντα τὴν ἀριστερὰν χεῖρα, ὥσπερ αἱ Καρυάτιδες.

XL.

Philoxenus, cogn. Pternocopis.

Φιλόξενος δ' ὁ Πτερνοκοπὶς, [1] ἐμπεσόντος λόγου ὅτι αἱ κίχλαι τίμιαί εἰσι, καὶ τοῦ Κορύδου παρόντος, ὃς ἐδόκει πεπορνεῦσθαι· Ἀλλ' ἐγὼ, ἔφη, μνημονεύω, ὅτε ὁ κόρυδος ὀβολοῦ ἦν." (Ἦν δὲ καὶ ὁ Φιλόξενος τῶν παρασίτων, ὡς Ἀξιώνικος εἴρηκεν ἐν τῷ Χαλκιδικῷ. πρόκειται δὲ τὸ μαρτύριον.) Μνημονεύει δ' αὐτοῦ καὶ Μένανδρος ἐν Κεκρυφάλῳ, αὐ-

1 δ' ὁ Πτερνοκόπις edd.

sic rideri, & ridicula ſemper proloqui,
poſt Corydum longe Athenienſium maxime.

Recenſet autem notabilia eius dicta Lynceus Samius; qui *Eucratem* proprium ei nomen ait fuiſſe. Scribit autem ſic: »Eucrates, cognomine Corydus, cum potaret apud aliquem, cuius domus putris & ruinoſa erat: *Hîc*, inquit, *coenantem oportet ſublatâ ſiniſtrâ manu fulcire aedes, quemadmodum Caryatides.*

40. Philoxenus vero Pternocopis, cum incideret ſermo, *caros eſſe turdos*, eſſetque praeſens Corydus, quem fama erat olim ſe proſtituiſſe: *At ego*, inquit, *memini cum obolo conſtaret corydalus.* (Erat vero etiam *Philoxenus* in numero paraſitorum, quemadmodum Axionicus dixit in Chalcidico; cuius paulo ante adpoſitum eſt teſtimonium.) Meminit autem illius Menander in Cecryphalo; nihil tamen aliud de eo memorans, niſi quod

τὸ μόνον αὐτὸν Πτερνοκοπίδα καλῶν. μνημονεύει δ' αὐτοῦ καὶ Μάχων ὁ κωμῳδιοποιὸς, ὁ Κορίνθιος μὲν ἢ
f Σικυώνιος γενόμενος, ἐν Ἀλεξανδρείᾳ δὲ τῇ ἐμῇ καταβιοὺς, καὶ διδάσκαλος γενόμενος τῶν κατὰ κωμῳδίαν μερῶν Ἀριστοφάνους τοῦ γραμματικοῦ· ὃς καὶ ἀπέθανεν ἐν τῇ Ἀλεξανδρείᾳ, καὶ ἐπιγέγραπται αὐτοῦ τῷ μνήματι·

Τῷ κωμῳδογράφῳ, κούφη κόνι, τὸν φιλάγωνα [1] κισσὸν ὑπὲρ τύμβου ζῶντι [2] Μάχωνι φέροις. Machonis comici epitaphium.

a Οὐ γὰρ ἔχεις κηφῆνα παλίμπλυτον, ἀλλ' ἄρα τέχνης
ἄξιον ἀρχαίης λείψανον ἀμφίεσαι. [3]

Τοῦτο δ' ὁ πρέσβυς ἐρεῖ· Κέκροπος πόλι, καὶ παρὰ Νείλῳ
ἔστιν ὅτ' ἐν Μούσαις δριμὺ πέφυκε φυτόν.

ἐν τούτοις δηλοῖ σαφῶς ὅτι Ἀλεξανδρεὺς ἦν γένος. Ὁ δ' οὖν Μάχων τοῦ Κορύδου μνημονεύει ἐν τούτοις· Corydus parasitus.

1 τὸν φιλαοιδὸν edd. 2 ζῶντα scribitur in Anthol. 3 Rectius ἠμφίεσας in Anthol. Satis forsan faciat ἀμφίεσας.

Pternocopida eum adpellet. Eiusdem vero Corydi meminit Machon, comoediarum scriptor, qui, Corinthius aut Sicyonius cum esset, Alexandriae in patria mea vitam transegit; & praeceptor fuit, quod ad comicam poësin spectat, Aristophanis Grammatici: mortuus idem Alexandriae, & sepulcro eius hi versus inscripti sunt:

Comico poëtae, terra levis, amicam victoribus
hederam super tumulo Machoni immortali feras!
Non enim tenes fucum aliquem relotum: sed utique dignas
prisca arte reliquias contegis.
Hoc ipse dicet senex: O urbs Cecropis; apud Nilum quoque
interdum in Musis acris herba nata est.

Quibus verbis perspicue declaratur, genere Alexandrinum fuisse. Machon igitur Corydi meminit, dicens:

Τὸν Κόρυδον ἠρώτησεν Εὐκράτη ποτὲ [1]
τῶν συμπαρόντων, πῶς κέχρητ' αὐτῷ ποτε b
Πτολεμαῖος. Οὐκ [2] οἶδ' εἶπεν οὐδέπω σαφῶς.
πεπότικε μὲν γὰρ ὥσπερ ἰατρός μ', ἔφη·
ἃ δεῖ φαγεῖν δὲ σιτί', οὐ δέδωκέ πω.

Euclides & Philoxenus.

Λυγκεὺς δὲ, ἐν δευτέρῳ περὶ Μενάνδρου· „Ἐπὶ γελοίοις, φησὶ, δόξαν εἰληφότες, Εὐκλείδης ὁ Σμικρίνου, καὶ Φιλόξενος ὁ Πτερνοκοπίς. [3] ὧν ὁ μὲν Εὐκλείδης ἀποφθεγγόμενος οὐκ ἀνάξια [4] βιβλίου καὶ μνήμης, ἐν τοῖς ἄλλοις [5] ἦν ἀηδὴς καὶ ψυχρός. ὁ δὲ Φιλόξενος, οὐδὲν ἐπὶ κεφαλαίου περιττὸν λέγων, ὅ τι λαλήσειεν, ἢ πικρανθείη [6] πρός τινα τῶν συζώντων, καὶ διηγήσαιτο, πᾶν ἐπαφροδισίας καὶ χάριτος ἦν μεστόν. καίτοι γε συνέβη τὸν μὲν Εὐκλείδην κα- c

1 Εὐκράτης ποτὲ vulgo. Vide ne ſic refingendus ſit verſus:
Τὸν Κόρυδον ἠρώτησέ τις τὸν Εὐκράτη.
Niſi verſu ſeq. legendum πολλῶν παρόντων. 2 Deeſt Οὐκ edd. 3 ἢ Πτερνοκόπις edd. 4 οὐκ ἄξια vulgo. 5 ἐν τοῖς ὅλοις ms. *Ep.* 6 εἰ πικρανθείη ſuſpicatus ſum.

Corydum interrogavit Eucratem aliquis
ſodalium, quonam pacto eum excepiſſet
Ptolemaeus. Nondum, inquit, ſatis ipſe ſcio.
Nam bibendum quidem, velut medicus, dedit mihi;
at, quae comederem cibaria, nondum dedit.

Lynceus vero, ſecundo libro de Menandro: »Ridicule dictis, inquit, claruere Euclides, Smicrini filius, & Philoxenus, Pternocopis cognomine. Ex his *Euclides* multa quidem breviter & ſententioſe eloquebatur, haud indigna quae literis conſignarentur memoriaeque proderentur; caeterum inſuavis homo & frigidus. *Philoxenus* vero in brevibus quidem & ſententioſis reſponſis non ſingulariter excellebat, ſed quidquid diceret, ſive iratus eſſet in aliquem, ſive narraret quidpiam, id omne plenum Veneris & gratiae erat. Quare etiam Euclides ci-

τὰ τὸν βίον, [1] τὸν δὲ Φιλόξενον ὑπὸ πάντων φιλεῖσθαι καὶ τιμᾶσθαι.

XLI. Parasiti varii.

Μοσχίωνος δέ τινος παρασίτου μνημονεύων Ἄλεξις ἐν Τροφωνίῳ, παραμασήτην αὐτὸν ἐν τούτοις καλεῖ·

— — Εἶθ' ὁ Μοσχίων
ὁ παραμασήτης ἐν βροτοῖς αὐδώμενος.

ἐν δὲ τῷ Παγκρατιαστῇ Ἄλεξις [2] τρεχεδείπνους καταλέγων, φησίν·

Α. Πρῶτον μὲν ἦν σοι Καλλιμέδων ὁ Κάραβος,
ἔπειτα Κόρυδος, Κωβίων, [3] Κυρηβίων, [4]
ὁ Σκόμβρος, ἡ Σεμίδαλις. Β. Ἡράκλεις φίλε·
ἀγοράσματα, οὐ συμπόσιον, εἴρηκας, γύναι.

Κυρηβίων δ' ἐπεκαλεῖτο Ἐπικράτης ὁ Αἰσχίνου τοῦ ῥήτορος κηδεστής, ὡς φησι Δημοσθένης ἐν τῷ περὶ τῆς Παραπρεσβείας. Τῶν δὲ τοιούτων ἐπιθέτων, ἃ

1 καθ' αὑτὸν βιοῦν corrigebat Coray. Equidem ἀκλεῆ καταβιοῦν suspicatus eram. 2 Forſ. ὁ αὐτὸς Ἄλεξις. 3 Κωβιὸς ms. *Ep.* 4 Κηρυβίων h. l. edd.

tra magnam celebritatem transegit vitam, Philoxenus vero ab omnibus dilectus eſt, & cum honore celebratus.

41. Moſchionis cuiusdam paraſiti mentionem faciens Alexis in Trophonio, *paramaſeten* (epularum ſodalem) vocat, his verbis:

— — *Deinde Moſchion,*
is qui paramaſetes inter mortales audit.

In Pancratiaſta vero idem Alexis coenarum ſectatores enumerans, ait:

A. *Primum tibi erat Callimedon Locuſta,*
deinde Corydus, Cobion, Cyrebion,
Scomber, Semidalis. B. *O care Hercules!*
forum venale, non convivium, narras, mulier.

Cyrebion vero cognominabatur Epicrates, Aeſchinis oratoris gener; ut ait Demoſthenes in oratione de Falſa Legatione. Huiusmodi autem cognomina, quibus Athe-

Cognomina per iocum impoſita.

ἐπὶ χλεύῃ Ἀθηναῖοι παίζοντες ἔλεγον, μνημονεύει Ἀναξανδρίδης ἐν Ὀδυσσεῖ, οὕτως·

Ὑμεῖς γὰρ ἀλλήλους ἀεὶ χλευάζετε· e
οἶδ' ἀκριβῶς. Ἂν μὲν γὰρ ᾖ τις εὐπρεπὴς,
Ἱερὸν γάμον καλεῖτε. [1] — —
ἐὰν δὲ μικρὸν παντελῶς ἀνθρώπιον,
Σταλαγμόν. — — — — 5
λαμπρός τις ἐξελήλυθ'; Ὅλολυς [2] οὗτος ἦν. [3]
λιπαρὸς περιπατεῖ Δημοκλῆς; Ζωμὸς [μέλας] [4]
κατωνόμασται. χαίρει [5] αὐχμῶν ἢ ῥυπῶν;
Κονιορτὸς ἀναπέφηνεν. ἀκολουθεῖ [6] κόλαξ
τῳ; Λέμβος [7] ἐπικέκληται. τὰ πόλλ' ἄδειπνος f
περιπατεῖ; [8] 10
Κεστρῖνός ἐστι νῆστις. εἰς δὲ τοὺς καλοὺς [9]

1 Nulla vulgo indicatur lacuna, nec hîc, nec paulo poſt. Inde inconditi & turbati vulgo verſus qui ſequuntur omnes. 2 Ὁλολυγμὸς edd. invitis mſstis. 3 ἐστί vulgo edd. & mſsti. 4 Abeſt vulgo μέλας. 5 χαίρει τις vulgo. 6 Addunt vulgo ὄπισθεν ἀκολουθεῖ. 7 Τἀλεμβρος edd. absque τῳ. 8 Grotius reſtituit metrum *abiectis verbis* τὰ πόλλ'. Mihi ſic conſtituendus verſus videtur:

τῳ; Λέμβος ἦν. τὰ πόλλ' ἄδειπνος περιπατεῖ;

9 Vulgo εἰς τοὺς καλοὺς δ' ἄν τις βλ.

nienſes per riſum & iocum adpellabant nonnullos, Anaxandrides in Ulyſſe ſic commemorat:

Excipitis alter alterum dicteriis:
ſat ego vos novi. Qui ſpecioſo corpore eſt;
Sacras vocatis nuptias. Puſillior
eſt quispiam? Guttam. Nitentior alius
incedit? hic, Muliercula. Alius, pinguior?
fit Iuris offa. Gaudet aliquis ſordibus?
Pulvis vocatur. Alium ſectatur frequens?
huic Lembo nomen. Incoenatus obambulat?
Ieiunus mugil eſt. Spectat curioſius

ἄν τις βλέπῃ, Καινὸς [1] θεατροποιὸς [ἦν.] [2]
ὑφείλετ' ἄρνα ποιμένος [3] παίζων; Ἀτρεύς·
ἐὰν δὲ κριὸν, Φρίξος ἐκλήθη· [4] ἐὰν
κωδάριον, [5] Ἰάσων.

XLII. Chaerephon parasitus.

Χαιρεφῶντος δὲ, τοῦ παρασίτου, μέμνηται μὲν
a καὶν τοῖς πρὸ τούτων. ἀτὰρ δὴ καὶ Μένανδρος αὐτοῦ
μνημονεύει ἐν Κεκρυφάλῳ. καὶν τῇ Ὀργῇ δὲ φησί·

— Διαφέρει Χαιρεφῶντος οὐδὲ γρῦ [6]
ἄνθρωπος, ὅς τις ἐστίν· ὃς, κληθείς ποτε
εἰς ἑστίασιν δωδεκάποδος, ὄρθριος [7]
πρὸς τὴν σελήνην, ἔτρεχε, τὴν σκιὰν ἰδὼν,
ὡς ὑστερίζων, καὶ παρῆν ἅμ' ἡμέρᾳ.

ἐν δὲ Μέθῃ·

— — — Ἐμὲ γὰρ διέτριψεν ὁ

1 Κενός. edd. Et θεατροποιὸς ad sequentia referunt. Καινὸς dedere mssti, quod in Καινεὺς mutandum censuit Cas. 2 Abest vulgo ἦν. Grotius, post θεατροποιὸς interpungens, ἂν in fine versus posuit, quae particula ad seqq. verba spectaret. 3 Deest ποιμένος edd. 4 Vulgo, Ἀτρεὺς ἐκλήθη. ἐὰν δὲ κριὸν, Φρίξος. 5 δὲ κωδάριον vulgo. 6 οὐδέ που edd. 7 ὄρθιος edd.

formosos? est Theatri-molitor-novi.
Ioco qui eripuit agnum pastori, est Atreus;
qui vero arietem, Phrixus nuncupabitur;
qui vellus, Iason.

42. *Chaerephontis* vero parasiti iam in superioribus quidem facta mentio est: meminit autem eius etiam Menander, cum in Cecryphalo; (in Vitta;) tum in Ira, ubi sic ait:

— Quisquis est, differt nihil
a Chaerephonte: qui, vocatus ad dapes
in serum tempus umbrae duodecempedis,
mane, umbrâ adspectâ lumen ad lunae, exiit,
cunctari metuens, cumque ipso die adfuit.

Idem, in Ebrietate:

— — — Me namque moratus est [sive? *delectavit*]

κομψότατος ἀνδρῶν Χαιρεφῶν, ἱερὸν γάμον
φάσκων ποιήσειν δευτέραν μετ' εἰκάδα
καθ' αὑτὸν, ἵνα τῇ τετράδι δειπνῇ παρ' ἑτέροις. b
τὰ τῆς θεοῦ γὰρ πανταχῶς ἔχειν καλῶς.

Μνημονεύει δ' αὐτοῦ [1] καὶ ἐν Ἀνδρογύνῳ ἢ Κρητί. Τιμοκλῆς δ', ἐν Ἐπιστολαῖς, καὶ ὡς Δημοτίωνι τῷ ἀσώτῳ παρασιτοῦντος αὐτοῦ μνημονεύει·

Ὁ Δημοτίων δὲ, παραμένειν [2] αὐτῷ δοκῶν
τἀργύριον, οὐκ ἐφείδετ', ἀλλὰ παρέτρεφε
τὸν βουλόμενον. ὁ Χαιρεφῶν μὲν παντελῶς
οἴκαδε βαδίζειν ᾤετο, [3] ὁ ταλάντατος. c
Καὶ μὴν ἔτι τοῦτ' οὐκ ἔστιν ἀνάξιον [4] μόνον,
τὸν παραμασήτην λαμβάνει [5] δίκρουν ξύλον;
οὔτ' εὔρυθμος γάρ ἐστιν, οὔτ' ἀχρήματος. [6]

Ἀντιφάνης δ' ἐν Σκύθῃ·

1 Μνημονεύει αὐτοῦ ms. 2 Forſ. παραμενεῖν. 3 ᾤεθ' vulgo. 4 Vulgo τοῦτ' ἔστιν ἄξιον. 5 τὸ παραμασήτην λαμβάνειν coniectavi. 6 ἀγράμματος legebam cum Toup.

lepidiſſimus hominum Chaerephon, Sacras nuptias celebraturum ſe dicens ſecunda poſt viceſimam apud ſe, quo quarta coenaret apud alios: res enim Deae usquequaque bene habere.

Meminit vero eiusdem etiam in Androgyno vel Cretenſe. Timocles autem, in Epiſtolis, commemorat eum etiam ut qui Demotionis prodigi fuerit paraſitus:

Demotion vero, perpetuam ſibi adfore pecuniam ratus, minime pepercit; ſed apud ſe nutrivit quicumque vellet. Chaerephon quidem prorſus domum adire propriam putabat, ille miſerrimus. Atqui hoc ipſum vero nonne eſt indigniſſimum, menſae ſodalem accipere hominem furciferum? nec enim concinnus eſt, nec illiteratus homo.

Antiphanes vero, in Scytha:

Ἐπὶ κῶμον, εἰ [1] δοκεῖ, ἴωμεν, ὥσπερ ἔχομεν.
Οὐκοῦν καὶ δᾷδα καὶ στεφάνους λαβόντες. Χαι-
ρεφῶν
οὕτως μεμάθηκε κωμάζειν [2] ἄδειπνος.

Timotheus, Cyclope:

d Πειρώμεθ' [3] ἀποδόντες [4] τὸ δεῖπνον ἀπιέναι.
εἰς ἑπτάκλινον δ' ἐστὶν, ὡς ἔφραζέ μοι
ἂν μὴ [5] παραβυστός που γένηται Χαιρεφῶν.

XLIII. Alia in Chaerephontem.

Ἀπολλόδωρος δ' ὁ Καρύστιος ἐν Ἱερείᾳ·
Καινόν γε [6] φασὶ Χαιρεφῶντ' ἐν τοῖς γάμοις
ὡς τὸν Ὀφέλαν [7] ἄκλητον εἰσδεδυκέναι.
σπυρίδα λαβὼν γὰρ καὶ στέφανον, ὡς ἦν σκότος,
φάσκων παρὰ τῆς νύμφης ὁ τὰς ὄρνεις [8] φέρων
e ἥκειν, δεδείπνηκ', ὡς ἔοικεν, εἰσπεσών.

1 εἰ deeſt ms. Corruptos duos priores verſus intactos reliqui, & ex Dalecampii & Caſaub. coniectura interpretatus ſum, οὐκ οὖν negative cum interrogatione accipiens. 2 μεμάθηκ' ἐγκωμιάζειν edd. μεμάθηκ' ἐγκωμάζειν ms. 3 πειράμεσθ' ms. 4 ἅπαντες ἰς corrigit Iacobs. ἀφ' ὁδοῦ ἐς coniectaveram. 5 ἐὰν μὴ vulgo. 6 Καὶ νῦν γε corr. Caſ. & adoptavit Grot. 7 Ὀφέλλαν edd. 8 Ταὼς ὄρνεις corr. Caſ.

A. *Comeſſatum, ſi videtur, eamus, ut nunc ſumus.*
B. Ergo nec facem nec coronas ſumentes? A. *Sic Chaerephon didicerat comeſſari, cum incoenatus eſſet.*

Timotheus, in Catulo:

Pergamus recta via ad coenam abire.
Septem lectulis coenabimus, ut dicebat mihi:
niſi forte intruſus adfuerit Chaerephon.

43. Apollodorus vero Caryſtius, in Flaminica:

Novo more aiunt Chaerephontem in nuptiis
ad Ophelam invocatum irrepſiſſe.
Sportula enim ſumta & corona, per tenebras,
dicens ſe ſponſae iuſſu aves iſtas ferentem
venire, ingreſſus eſt; & laute, ut conſentaneum, coenavit.

Ἐν δὲ Σφαττομένῃ·

Καλῶ δ' Ἄρην Νίκην τ' ἐπ' ἐξόδοις ἐμαῖς.
καλῶ δὲ Χαιρεφῶντα· κἂν γὰρ μὴ καλῶ,
ἄκλητος ἥξει.

Μάχων δ' ὁ κωμικὸς φησίν·

Ὁδὸν μακρὰν ἐλθόντος ἐπὶ δεῖπνόν ποτε
τοῦ Χαιρεφῶντος εἰς γάμους ἐξ ἄστεος,
εἰπεῖν λέγουσι τὸν ποιητὴν Δίφιλον·
Εἰς τὰς ἑαυτοῦ, Χαιρεφῶν, σιαγόνας
ἔγκοψον ἥλους ἑκατέρᾳ γε τέτταρας· f
ἵνα μὴ, παρασείων καὶ μακρὰν ἑκάστοτε
ὁδὸν βαδίζων, τὰς γνάθους διαστρέφῃς.

Καὶ πάλιν·

Ὁ Χαιρεφῶν κρεάδι' ὀψωνεῖ[1] ποτε.
καὶ τοῦ μαγείρου, φασὶν, ὀστῶδες σφόδρα

1 Forſ. ὠψώνει.

Et in Iugulata:

Ad hoc ſacrum, quod expeditionis cauſſa facio, Martem voco & Victoriam:
voco vero etiam Chaerephontem; nam, ſi non vocem, invocatus veniet.

Machon vero comicus ait:

Extra urbem ad nuptiales epulas Chaerephon
longi ſumebat itineris moleſtiam.
Cui tum poëta Diphilus forte obvius:
Ego, ſi quid me audis, auctor tibi ſim, Chaerephon,
ad utramque ut malam clavos pangas quattuor;
ne, dum demiſſis manibus longum curſitas,
crepitantes illas de ſuo emoveas ſtatu.

Et rurſus:

Chaerephon carnem emebat aliquando.
Ibi cum coquus, ut narrant, oſſibus admodum

αὐτῷ τι προσκόπτοντος ἀπὸ τύχης κρέας,
εἶπεν· Μάγειρε, [1] μὴ προσίστα τοῦτό μοι
τὸ στοῦν. ὁ δ' εἶπεν· Ἀλλὰ μήν ἐστι γλυκύ·
a καὶ μὴν τὸ πρὸς ὀστοῦν, φασὶ, κρέας εἶναι γλυκύ.
Ὁ Χαιρεφῶν δέ· Καὶ μάλ', [2] ὦ βέλτιστ', ἔφη,
γλυκὺ μὲν, προσιστάμενον δὲ λυπεῖ πανταχῆ.

Τοῦ Χαιρεφῶντος καὶ σύγγραμμα ἀναγράφει Καλλίμαχος ἐν τῷ Τῶν Παντοδαπῶν Πίνακι, [3] γράφων οὕτως· „Δεῖπνα ὅσοι ἔγραψαν. Χαιρεφῶν Κυρηβίωνι." [4] εἶθ' ἑξῆς τὴν ἀρχὴν ὑπέθηκεν· „Ἐπειδή μοι πολλάκις ἐπέστειλας. στίχων τοε." [5] Καὶ ὁ Κυρηβίων δ' ὅτι παράσιτος, προείρηται.

b Καὶ Ἀρχεφῶντος δὲ τοῦ παρασίτου μνημονεύων ὁ Μάχων, φησί·

XLIV. Archephon parasitus.

Κληθεὶς ἐπὶ δεῖπνον ὁ παράσιτος Ἀρχεφῶν

1 εἶπε μάγειρος edd. 2 καὶ μάλιστ' vulgo. 3 Vulgo παντοδαπῶν πινάκων. 4 Vulgo Χαιρεφῶν, Κυρηβίων. 5 στίχων τὸ ε'. edd.

grave fruſtum illi forte praecideret:
Coque, inquit, ne hoc adpende mihi
oſſeum. Ille vero: At ſuave eſt, inquit:
aiunt ſane, vicinam oſſibus ſuavem eſſe carnem.
Tum Chaerephon: utique, inquit, o optime:
ſuave illud quidem; ſed ſic adpenſum, grave admodum.

Chaerephonti etiam ſcriptum aliquod adtribuit Callimachus in Variorum Librorum Tabula, ubi ſic ſcribit: »*Coenas qui ſcripſere. Chaerephon Cyrebioni.*« Deinde initium ſcripti adponit: »*Quoniam ad me ſaepius ſcripſiſti.* Verſibus trecentis ſeptuaginta quinque comprehenſus libellus.« Fuiſſe vero Cyrebionem quoque paraſitum, ſupra diximus.

44. *Archephontis* vero etiam paraſiti meminit Machon, ſic ſcribens:

Vocatus ad coenam paraſitus Archephon

ὑπὸ Πτολεμαίου τοῦ βασιλέως, ἡνίκα
κατέπλευσεν εἰς Αἴγυπτον ἐκ τῆς Ἀττικῆς·
ὄψου πετραίου παρατεθέντος [1] ποικίλου
ἐπὶ τῆς τραπέζης, καράβων τ' ἀληθινῶν,
ἐπὶ πᾶσι λοπάδος τ' εἰσενεχθείσης ἀφρᾶς,
ἐν ᾗ τεμαχιστοὶ [2] τρεῖς ἐνῆσαν κώβιοι,
οὓς κατεπλάγησαν πάντες οἱ κεκλημένοι·
τῶν μὲν σκάρων ἀπέλαυε, τῶν τριγλῶν θ' ἅμα,
καὶ φυκίδων ἐπὶ πλεῖον Ἀρχεφῶν πάνυ,
ἄνθρωπος ὑπὸ τῶν μαινίδων καὶ μεμβράδων
Φαληρικῆς ἀφύης τε διασεσαγμένος·
τῶν κωβίων δ' ἀπέσχετ' ἐγκρατέσταται.
Πάνυ δὴ παραδόξου γενομένου τοῦ πράγματος,
καὶ τοῦ βασιλέως πυθομένου τ' Ἀλκήνορος
μὴ παρεόρακεν [3] Ἀρχεφῶν τοὺς κωβίους;

1 παρατιθέντος edd. cum ms. *A.* 2 τεμαχίσκοι vulgo. 3 παρεώρακεν vulgo: & paulo poſt ἑώρακε.

a Ptolemaeo rege, poſtquam
in Aegyptum ex Attica navigaſſet;
piſce ſaxatili adpoſito varii generis
in menſa, & carabis veriſſimis,
ad extremumque patinâ illatâ maximâ,
in qua tres erant ſecti in fruſta gobii,
quos adſtupebant convivae ſinguli:
ſcaris quidem mullisque triglisque veſcebatur
& phycidis abunde Archephon admodum,
homo (nonniſi) *maenidis & membradibus*
& apua Phalerica (aliâs) *ſuffarcinatus;*
gobiis vero abſtinebat temperantiſſime.
Quae res quum mira videretur utique,
ſciſcitante rege ex Alcenore,
an non vidiſſet gobios illos Archephon;

ὁ κυρτὸς εἶπε· πάνυ μὲν οὖν τοὐναντίον,
Πτολεμαῖ, ἑόρακε πρῶτος, ἀλλ' οὐχ ἅπτεται,
τοὔψον δὲ σέβεται τοῦτο, καὶ δέδοικέ πως.
οὐδ' ἔστιν αὐτῷ πάτριον, ὄντ' ἀσύμβολον
ἰχθῦν ἔχοντ' ἄψηφον [1] ἀδικεῖν οὐδένα.

XLV. Stratius parasitus.

Ἀλεξις δ' ἐν Παροίνῳ, Στράτιον τὸν παράσιτον εἰσάγει, δυσχεραίνοντα τῷ τρέφοντι, καὶ λέγοντα τάδε·

Ἐμοὶ παρασιτεῖν κρεῖττον ἦν τῷ Πηγάσῳ,
ἢ τοῖς Βορεάδαις, ἤ τι [2] θᾶττον ἔτι [3] τρέχει.
ἢ Δημέᾳ Λάχητος Ἐτεοβουτάδῃ.
πέτεται γὰρ, οὐχ οἷον βαδίζει, τὰς ὁδούς.

καὶ μετ' ὀλίγα·

Α. Στράτιε, φιλεῖς δή που με; Β. Μᾶλλον τοῦ πατρός.
ὁ μὲν γὰρ οὐ τρέφει με, σὺ δὲ λαμπρῶς τρέφεις.

1 ἔχοντα ψῆφον corr. Cas. Alii ἐχόντ' ἄψηφον. 2 ἢ εἴ τι ms. Ep. 3 ἔτι τούτων τρέχει mssti. τούτων τρέχει, absque ἔτι, edd.

respondit gibbus: Prorsus e contrario,
Ptolemaee, primus vidit, sed tangit neutiquam,
quia veneratur vereturque hoc obsonium:
nec est enim ei patrium, cum sit asymbolus,
piscem habentem suffragium laedere quemquam.

45. Alexis vero, in Vinoso, *Stratium* parasitum inducit, ei qui ipsum alebat succensentem, & haecce dicentem:

Mihi melius foret, parasitum esse Pegasi,
aut Boreadarum, sive quis velocius etiam curris,
quam Demeae Lachetis filii Eteobutadae:
volando enim, non eundo, carpit viam.

Et paulo post:

A. *Stratie, nempe amas me sane?* B. *Magis quam patrem.*
Quippe ille me non nutrit; tu nutris splendide.

Α. Εὔχῃ τ' ἀεί με ζῆν ἅπασι τοῖς θεοῖς;

Β. Ἂν γὰρ πάθῃς τι, πῶς ἐγὼ βιώσομαι;

Gryllion parasitus. Ἀξιόνικος δ' ὁ κωμικὸς, ἐν τῷ Τυῤῥηνικῷ, Γρυλλίωνος τοῦ παρασίτου ἐν τούτοις μνημονεύει· f

— Οἶνος οὐκ ἔνεστιν νῦν [1]

αὐτοῖς πρὸς ἑταίρους πρόφασιν ἐπὶ κῶμον τινὰς,

ὅπερ ποιεῖν εἴωθε Γρυλλίων ἀεί.

Ἀριστόδημος δ', ἐν δευτέρῳ Γελοίων Ἀπομνημονευμάτων, παρασίτους ἀναγράφει· Ἀντιόχου μὲν τοῦ βασιλέως, Σώστρατον· [2] Δημητρίου δὲ τοῦ Πολιορκητοῦ, Εὐαγόραν τὸν κυρτόν· Σελεύκου δὲ, Φορμίωνα. Λυγκεὺς δ' ὁ Σάμιος, ἐν τοῖς Ἀποφθέγμασιν· „Σι- a
λανὸς, φησὶν, ὁ Ἀθηναῖος, Γρυλλίωνος παρασιτοῦντος Μενάνδρῳ [3] τῷ σατράπῃ, εὐπαρύφου [4] δὲ καὶ μετὰ θεραπείας περιπατοῦντος, [5] ἐρωτηθεὶς, τίς ἐστιν

1 ἔνεστι νῦν malles. Sed ἔνεστιν absque νῦν habent membranae; corruptis autem vel mutilatis verbis sequentibus nil medentur. 2 Σώπατρον edd. 3 Forſ. μὲν Μενάνδρῳ. 4 παρ' εὐπαρύφου ms. *A.* παρευπαρύφου ms. *Ep.* 5 Novem verba, Μενάνδρῳ usque περιπατοῦντος deſunt edd.

A. *Omnesque Deos precaris, ſemper ut ego vivam?*

B. *Sane: nam ſi quid tibi acciderit, quî vivam ego?*

Axionicus vero comicus, in Tyrrhenico, *Gryllionis* paraſiti his verbis meminit:

— *Vinum iam non licet illis*
praetexere laſciviae adverſus ſodales quosdam:
quod facere conſtanter Gryllion ſolet.

Ariſtodemus vero, ſecundo libro Ridiculorum Memorabilium, paraſitos recenſet: Antiochi quidem regis, Soſtratum: Demetrii vero Poliorcetae, Euagoram gibbum: Seleuci vero, Phormionem. Lynceus vero Samius, in Apophthegmatis, ait: »Silanus Athenienſis, quum Gryllion, paraſitus Menandri ſatrapae, veſtem indutus purpura praetextam & multo famulitio ſtipatus incederet,

οὗτος; Μενάνδρου, ἔφησεν, ἀξία γνάθος. Χαιρεφῶν δ' ἔφησεν ὁ παράσιτος εἰς γάμον ἄκλητος εἰσελθὼν, καὶ κατακλιθεὶς ἔσχατος, καὶ [1] τῶν γυναικονόμων ἀριθμούντων τοὺς κεκλημένους, καὶ κελευόντων αὐτὸν ἀποτρέχειν ὡς παρὰ τὸν νόμον ἐπὶ τοῖς τριάκοντα ἑπόντος· Ἀριθμεῖτε δή, ἔφη, πάλιν, ἀπ' ἐμοῦ ἀρξάμενοι."

b Ὅτι δ' ἦν ἔθος, τοὺς γυναικονόμους ἐφορᾶν τὰ συμπόσια, καὶ ἐξετάζειν τῶν κεκλημένων τὸν ἀριθμὸν, εἰ ὁ κατὰ νόμον ἐστὶ, Τιμοκλῆς ἐν Φιλοδικαστῇ φησιν οὕτως·

XLVI. Gynaeconomi.

Ἀνοίγετ' ἤδη τὰς θύρας, ἵνα πρὸς τὸ φῶς
ὦμεν καταφανεῖς μᾶλλον, ἐφοδεύων ἐὰν
βούληθ' ὁ γυναικονόμος λαβεῖν ἀριθμὸν [2]
κατὰ τὸν νόμον τὸν καινὸν, ὅπερ εἴωθε δρᾶν,

1 Rectius abeſſet καὶ ante τῶν γυναικ. 2 Claudicantem verſum ſic refingendum cenſuit Caſaub.
βούλητ' ἀριθμὸν ὅ γε γυναικονόμος λαβεῖν.

interrogatus, quisnam ille eſſet? *Menandro digna gula*, reſpondit. Chaerephon vero paraſitus, cum ad nuptiale convivium invocatus acceſſiſſet, & extremus adcubuiſſet, numerum convivarum ineuntibus gynaeconomis, eumque abire iubentibus ut qui praeter legitimum numerum triginta convivarum inſuper adeſſet, reſpondit: *Denuo igitur inite numerum, a me facientes initium!*

46. Fuiſſe autem inſtitutum, ut *gynaeconomi* inſpicerent convivia, & numerum explorarent vocatorum, an eſſet legi conſentaneus. Timocles docet in Philodicaſte, (*id eſt*, Litium-amante,) cum ait:

Aperite fores actutum, ut ad lucem magis
conſpicui ſimus, ſi forte hac obambulans
Gynaeconomus, facere ex lege quod ſolet nova,
inire numerum cupiat convivantium.

τῶν ἑστιωμένων. Ἔδει δὲ τοὔμπαλιν
τὰς τῶν ἀδείπνων ἐξετάζειν οἰκίας.

Μένανδρος δ', ἐν Κεκρυφάλῳ·

Παρὰ τοῖς γυναικονόμοις δὲ τοὺς ἐν τοῖς γάμοις c
διακονοῦντας ἀπογεγράφθαι πυθόμενος
πάντας μαγείρους, κατὰ νόμον καινόν τινα·
ἵνα πυνθάνωνται τοὺς κεκλημένους, ἐὰν
πλείους τις ὧν ἔξεστιν ἑστιῶν τύχῃ·
ἐλθών. [1] — — —

Καὶ Φιλόχορος δ', ἐν ἑβδόμῃ Ἀτθίδος· „Οἱ γυναικονόμοι, φησὶ, μετὰ τῶν Ἀρεοπαγιτῶν ἐσκόπουν τὰς ἐν ταῖς οἰκίαις συνόδους, ἔν τε τοῖς γάμοις, καὶ ταῖς ἄλλαις θυσίαις."

XLVII. Corydi parasiti apophthegmata.

Τοῦ δὲ Κορύδου ἀποφθέγματα τάδε ἀναγρά- d
φει ὁ Λυγκεύς. „Κορύδῳ συμπινούσης τινὸς ἑταίρας, ᾗ ὄνομα ἦν Γνώμη, καὶ τοῦ οἰναρίου ὑπολιπόντος,

1 Forſ. ἦλθον.

Male vero factum: oportebat potius contra incoenium hominum latebras perſcrutarier.

Et Menander, in Cecryphalo: (*ſeu*, Vitta:)

Edoctus, iuſſos legis praeſcripto novae
apud Cenſores (γυναικονόμους) *nomen profiteri ſuum*
coquos, quorum opera famularetur nuptiis,
interrogandos numquis convivas ſibi
vocaſſet plures lege quam permittitur;
acceſſi. — —

Et Philochorus, ſeptimo libro Atthidos, (*ſeu*, Rerum Atticarum) ait: »*Gynaeconomi* cum Areopagitis obſervabant convivia quae inſtituerentur in domibus privatis, cum in nuptiis, tum in aliis ſacrificiis.«

47. *Corydi* vero acute reſponſa haecce commemorat Lynceus. »Compotante cum Corydo meretrice quadam, cui *Gnome* nomen, defecerat vinum: tum ille

εἰσφέρειν ἐκέλευσεν ἕκαστον δύο ὀβόλους· Γνώμην δὲ συμβάλλεσθαι [1] ὅ τι δοκεῖ τῷ δήμῳ. Πολύκτορος δὲ τοῦ κιθαρῳδοῦ φακῆν ῥοφοῦντος, καὶ λίθον μασησαμένου· ὦ ταλαίπωρε, ἔφη, καὶ ἡ φακῆ σε βάλλει." Μή ποτε τούτου καὶ Μάχων μνημονεύει. φησὶ γάρ·

Κακός τις ὡς ἔοικε κιθαρῳδὸς σφόδρα,
μέλλων ποτ' [2] οἰκοδομεῖν τὴν οἰκίαν, φίλον
e αὐτοῦ λίθους ἤτησεν. Ἀποδώσω [3] δ' ἐγὼ
αὐτῶν πολὺ πλείους, φησὶν, ἐκ τῆς δείξεως."

Λέγοντος δέ τινος τῷ Κορύδῳ, ὡς τῆς αὐτοῦ γυναικὸς ἐνίοτε καὶ τράχηλον καὶ τοὺς τιτθοὺς καὶ τὸν ὀμφαλὸν φιλεῖ· Πονηρὸν, ἔφη, τοῦτ' ἤδη. καὶ γὰρ ὁ Ἡρακλῆς ἀπὸ τῆς Ὀμφάλης ἐπὶ τὴν Ἥβην μεταβέβηκε. Φυρομάχου δ' ἐμβαψαμένου εἰς φακῆν, καὶ τὸ τρύβλιον ἀνατρέψαντος· ζημιωθῆναι αὐτὸν,

1 συμβαλέσθαι ms. *Ep.* 2 Deeſt vulgo ποτ'. 3 Vulgo ἀποίσω: ante quod verbum intercidiſſe nonnulla ſtatuerat Caſaub.

conferre unumquemque duos obolos iuſſit, *Gnomen vero conferre quod populo videbitur.* Cum Polyctor citharoedus, ſorbens aliquando lenticulam, lapillum dentibus adtriviſſet, *O miſer*, inquit Corydus, *etiam lenticula te ferit.* Fortaſſe idem citharoedus fuerit, cuius Machon meminit, cum ait:

Miſellus fidicen, artis opprobrium ſuae,
domum aedificaturus, amicum conferret ſibi
lapides rogavit: » Facile plures, inquiens,
» mox reddam, cum artis ſpecimen populo oſtendero.«

Cum narraret aliquis Corydo, uxoris ſuae nonnumquam cervicem & mammas & umbilicum (ὀμφαλον) ſe oſculari: *At hoc quidem*, inquit ille, *iam flagitioſum: nam & Hercules ab Omphale ad Heben transiit.* Cum Phyromachus in lenticulae iusculum panem intingens, patinam evertiſſet: *merito mulctatum eſſe*, ait ille; *quod, cum*

ἔφη, δίκαιον, ὅτι οὐκ ἐπιστάμενος δειπνεῖν ἀπεγράψατο. Παρὰ Πτολεμαίῳ δὲ ματτύης περιφερομένης, καὶ κατ' ἐκεῖνον ἀεὶ λειπούσης· Πτολεμαῖε, ἔφη, f πότερον ἐγὼ μεθύω, ἢ δοκεῖ μοι ταῦτα περιφέρεσθαι; Χαιρεφῶντος δὲ τοῦ παρασίτου φήσαντος, οὐ δύνασθαι τὸν οἶνον φέρειν· Οὐδὲ γὰρ τὸ εἰς τὸν οἶνον, ἔφη. τοῦ δὲ [1] Χαιρεφῶντος γυμνοῦ ἔν τινι δείπνῳ διαναστάντος; [2] Ὦ Χαιρεφῶν, εἶπεν, ὥσπερ τὰς ληκύθους, ὁρῶ σε μέχρι πόσου μεστὸς εἶ. Καθ' ὃν δὲ καιρὸν Δημοσθένης παρ' Ἁρπάλου τὴν κύλικα εἰλήφει· Οὗτος, ἔφη, τοὺς ἄλλους ἀκρατοκώθωνας καλῶν, αὐτὸς τὴν μεγαλὴν ἔσπακεν. εἰωθότος δ' αὐτοῦ ῥυπαροὺς ἄρτους ἐπὶ τὰ δεῖπνα φέρεσθαι, ἐνεγκαμένου τινὸς ἔτι μελαντέρους· Οὐκ ἄρτους, ἔφη, αὐτὸν ἐνηνοχέναι, ἀλλὰ τῶν ἄρτων σκιάς."

XLVIII. Φιλόξενος δὲ ὁ παράσιτος, Πτερνοκόπις δ' ἐπί-

1 τοῦ γὰρ edd. 2 διαστάντος edd. & ignorant dein ὦ ante Χαιρεφ.

coenare nesciret, tamen eam artem esset professus. Apud Ptolemaeum quum mattya (delicatum inprimis edulium) circumferretur, quae, ubi ad Corydum esset ventum, semper defecerat: *Ptolemaee*, inquit, *ego - ne ebrius sum, an vere circumferri haec mihi videntur?* Chaerephonti parasito dicenti, *vinum se ferre non posse*, ait ille: *nempe non id quod vino miscetur.* Idem Chaerephon cum in coena quadam nudus de lecto surgeret: *Chaerephon!* inquit ille, *quasi in ampulla olearia, video quousque repletus sis.* Quo tempore Demosthenes ab Harpalo aureum poculum accepit: *Hic*, ait Corydus, *qui alios Potatores vocat, ipse maximum poculum traxit.* Cum solitus esset ipse sordidos panes ad convivia adferre, alio quodam magis etiam nigricantes adferente, ait: *non panes eum adtulisse, sed panum umbras.*"

48. *Philoxenus* vero parasitus, *Pternocopis* cognomine,

κλην, παρὰ Πύθωνι ἀριστῶν, παρακειμένων ἐλαῶν, καὶ μετὰ μικρὸν προσενεχθείσης λοπάδος ἰχθύων, πατάξας τὸ τρύβλιον, ἔφη· Μάστιξεν δ' ἐλάαν. Philoxeni ridicule dicta.

Ἐν δείπνῳ δέ, τοῦ καλέσαντος αὐτὸν μέλανας ἄρτους παρατιθέντος· Μὴ πολλοὺς, εἶπε, παρατίθει· μὴ σκότος ποιήσῃς. Τὸν δ' ὑπὸ [1] τῆς γραὸς τρεφόμενον παράσιτον, Παυσίμαχος ἔλεγε, τοὐναντίον πάσχειν τῇ γραῒ συνόντα· αὐτὸν γὰρ ἐν γαστρὶ λαμβάνειν ἀεί. περὶ τούτου καὶ Μάχων γράφει οὕτως·

Τὸν ὑδροπώτην [2] Μοσχίωνα λεγόμενον
ἰδόντα, φασὶν, ἐν Λυκείῳ μετά τινων,
παράσιτον ὑπὸ γραὸς τρεφόμενον πλουσίας· [3]
Ὦ δεῖνα, παράδοξόν γε ποιεῖς [4] πρᾶγμ', ὅτι
ἡ γραῦς ποιεῖ σ' ἐν γαστρὶ λαμβάνειν ἀεί.

Ὁ δ' αὐτὸς, παράσιτον ἀκούσας ὑπὸ γραίας τρε-

1 Τὸν ὑπὸ edd. cum ms. *A.* 2 ὑδροπότην ms. *Ep.* 3 εἰπεῖν addit ms. *Ep.* 4 ποιεῖ edd. cum ms. *A.*

apud Pythonem prandens, cum adpositae essent olivae, mox vero elixi pisces inferrentur; percusso catino in quo olivae (ἐλάαι) erant, ait: Μάστιξεν δ' ἐλάαν. In coena quadam, cum convivator atros panes adposuisset: *Ne plures*, inquit, *adposueris; ne tenebras nobis offundas.* De parasito quodam, qui a vetula alebatur, dicere solebat Pausimachus, *contrarium huic accidere atque vetulae, cum qua consuesset: ipsum enim semper gravidum fieri.* De eodem Machon etiam sic scribit:

Moschionem, cognomine Abstemium,
aiunt, conspicatum in Lyceo cum nonnullis
parasitum, quem alebat dives anus,
dixisse: Heus tu, res tibi accidit incredibilis,
anus te semper gravidum facit.

Idem, quum parasitum intelligeret a vetula ali, & quo-

φόμενον, συγγινόμενόν τε αὐτῇ ἑκάστης ἡμέρας·

Νῦν πάντα φησὶ γίνετ'· [1] ἡ μὲν οὐ κύει,
ἐν γαστρὶ δ' οὗτος λαμβάνει καθ' ἡμέραν.

Philopatoris Γελοιασταί.

Πτολεμαῖος δ' ὁ τοῦ Ἀγησάρχου, Μεγαλοπολίτης γένος, ἐν τῇ δευτέρᾳ τῶν Περὶ τὸν Φιλοπάτορα Ἱστοριῶν, συμπότας φησὶ τῷ βασιλεῖ συνάγεσθαι ἐξ ἁπάσης τῆς πόλεως, οὓς προσαγορεύεσθαι γελοιαστάς.

XLIX.

Gallorum Bardi.

Ποσειδώνιος δ' ὁ Ἀπαμεὺς, ἐν τῇ εἰκοστῇ καὶ τρίτῃ τῶν Ἱστοριῶν· „Κελτοὶ, φησὶ, περιάγονται μεθ' ἑαυτῶν καὶ πολεμοῦντες συμβιωτὰς, οὓς καλοῦσι d παρασίτους. οὗτοι δὲ ἐγκώμια αὐτῶν καὶ πρὸς ἀθροούς λέγουσιν ἀνθρώπους συνεστῶτας, καὶ πρὸς ἕκαστον τῶν κατὰ μέρος ἐκείνων ἀκροωμένων. τὰ δὲ ἀκούσματα αὐτῶν εἰσιν οἱ καλούμενοι Βάρδοι· ποιηταὶ δὲ οὗτοι τυγχάνουσι, μετ' ᾠδῆς ἐπαίνους λέγοντες." Ἐν δὲ τῇ τετάρτῃ καὶ τριακοστῇ ὁ αὐτὸς συγγραφεὺς

1 φασὶ γίνεσθ' ms. *A.* φησὶ καινὰ ms. *Epit.* Forsan, Νῦν πάντα καινὰ γίνετ'.

tidie cum ea consuetudinem habere, ait:

Nunc nihil est, fieri quod non possit: ista non concipit; hic vero fit alvo gravidus quotidie.

Ptolemaeus vero Agesarchi filius, genere Megalopolitanus, secundo libro de Rebus Philopatoris, Compotores, ait, regi ex tota urbe cogi solitos, eosque Iocatores fuisse adpellatos.

49. Posidonius vero Apameensis, Historiarum libro trigesimo tertio: »Galli, ait, secum circumducunt, etiam cum in bellum proficiscuntur, convictores, quos parasitos vocant. Hi, cum in frequentibus hominum circulis, tum apud singulos privatim qui audire velint, laudes illorum celebrant. Acroamata eorum sunt qui *Bardi* vocantur: hi poëtae sunt, qui cum cantu laudes celebrant.« Idem scriptor, libro trigesimo ter-

Ἀπολλώνιόν τινα ἀναγράφει, παράσιτον γεγονότα Ἀντιόχου τοῦ Γρυποῦ ἐπικαλουμένου, τοῦ τῆς Συρίας βασιλέως. Ἀριστόδημος δ' ἱστορεῖ, Βίθυν τὸν Λυσιμάχου τοῦ βασιλέως παράσιτον, ἐπεὶ αὐτοῦ εἰς τὸ ἱμάτιον ὁ Λυσίμαχος ἐνέβαλε ξύλινον σκορπίον, ἐκταραχθέντα ἀναπηδῆσαι. εἶτα γνόντα τὸ γεγενημένον· Κἀγώ σε, φησίν, ἐκφοβήσω, βασιλεῦ· δός μοι τάλαντον. ἦν δ' ὁ Λυσίμαχος μικρολογώτατος. Ἀγαθαρχίδης δ' ὁ Κνίδιος, ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Εὐρωπιακῶν, Ἀριστομάχου τοῦ Ἀργείων τυράννου παράσιτον γενέσθαι φησὶν Ἀνθεμόκριτον τὸν παγκρατιαστήν. Varii variorum parasiti.

Κοινῇ δὲ περὶ παρασίτων εἰρήκασι, Τιμοκλῆς μὲν, ἐν Πύκτῃ, ἐπισιτίους καλῶν αὐτοὺς ἐν τοῖσδε· L. Ἐπισίτιοι.

— — Εὑρήσεις τε τῶν ἐπισιτίων
τούτων τινὰς, οἱ δειπνοῦσιν ἐσφυδωμένοι [1]

1 Temere ἐσφειδωμένοι ed. Baſ. & Caſ.

tio, Apollonium aliquem commemorat, quem paraſitum fuiſſe ait Antiochi Syriae regis, illius qui Grypus cognominatus eſt. Ariſtodemus vero narrat, Bithyn, Lyſimachi regis paraſitum, cum in eius veſtem rex ligneum ſcorpionem inieciſſet, perturbatum exſiliiſſe: deinde, re cognita, dixiſſe: *Ego te quoque, rex, terrefaciam: da mihi talentum!* Fuit enim Lyſimachus ſupra modum avarus. Agatharchides Cnidius, libro vigeſimo ſecundo Europiacorum, Ariſtomachi Argivorum tyranni paraſitum ait fuiſſe Anthemocritum Pancratiaſtem.

50. Generatim vero de *Paraſitis* locuti ſunt cum alii, tum Timocles, in Pugile; ubi ἐπισιτίους eos vocat, cum ait:

— — *Reperies ex Epiſitiis*
his nonnullos, qui coenant turgentes

τἀλλότρια· ἑαυτοὺς ἀντὶ κωρύκων λέγειν
παρέχοντες ἀθληταῖσιν. —

Φερεκράτης, Γραυσί·

Α. Σὺ δ' οὐδὲ θᾶττον, Σμικυθίων, ἐπισιτιεῖ. [1]
Β. Τίς δ' οὗτος ὑμῖν ἐστί; [2] Α. Τοῦτον πανταχοῦ
ἄγω λαρυγγίτην [3] ἐπὶ μισθῷ ξένον.

Ἐπισίτιοι γὰρ καλοῦνται οἱ ἐπὶ τροφαῖς ὑπουργοῦντες. Πλάτων ἐν τετάρτῳ Πολιτείας. „Καὶ ταῦτα ἐπίσιτοι, a καὶ οὐδὲ μισθὸν πρὸς τοῖς σιτίοις, ὥσπερ οἱ ἄλλοι, λαβόντες." Ἀριστοφάνης Πελαργοῖς. [4] „Ἦν γὰρ ἕνα ἄνδρα ἄδικον συνδιώκῃς, ἀντιμαρτυροῦσι δώδεκα τοῖς ἑτέροις ἐπίσιτοι." Εὔβουλος δ' ἐν Δαιδάλῳ·

Ἐθέλει δ' ἄνευ μισθοῦ παρ' αὐτοῖς καταμένειν

1 ἐπισίτιε ed. Caſ. Initio vero verſus σοὶ pro σὺ maluerat idem Caſaub. 2 ἔτι vulgo. 3 λαρυγγικὸν ms. Forſ. λαρυγγιζόμενον: claudicat enim verſus. 4 Πελασγοῖς edd.

aliena: velle eos diceres pro follibus
ſe exhibere athletis.

Pherecrates, in Vetulis:

A. *Tu vero, Smicythion, nec citius cibum accipies.* (ἐπισιτιεῖ.)

B. *Hic vero quis eſt nobis?* A. *Hunc usquequaque ego duco hoſpitem, gulae dantem operam, velut hac mercede conductum.*

Ἐπισίτιοι enim proprie dicuntur qui victus cauſſa operam ſuam locant. Plato, quarto libro de Republica: »Et quidem ἐπισίτιοι, qui praeter victum, ne mercedem quidem ullam, ſicut alii, accipiunt.« Ariſtophanes, in Ciconiis:

Nam ſi ex ſceleratis unum tu facias reum,
auctorati dape (ἐπισίτιοι) *contra te, ſtabunt teſtes duodecim.*

Eubulus, in Daedalo:

Cupit absque mercede apud illos manere,

ἐπισίτιος. — —

LI. Euripides, iactus talorum.

Δίφιλος δ', ἐν Συνωρίδι, (ἑταίρας δ' ὄνομα ἡ Συνωρίς·) Εὐριπίδου μνησθεὶς, (κύβος δέ τις οὕτως
b καλεῖται, Εὐριπίδης·) παίζων καὶ πρὸς τὸ τοῦ ποιητοῦ ὄνομα, ἅμα καὶ περὶ παρασίτων τάδε λέγει·

Α. Ἄριστ' ἀπαλλάττεις ἐπὶ τούτου τοῦ κύβου.
Σ. Ἀστεῖος εἶ. Α. Δραχμὴν ὑπόθες. Σ. Κεῖται πάλαι.
πῶς ἂν βάλοιμ' Εὐριπίδην. Α. Οὐκ ἄν ποτε [1]
Εὐριπίδης γυναῖκα σώσειεν. [2] οὐχ ὁρᾷς
ἐν ταῖς τραγῳδίαισιν αὐτὰς ὡς στυγεῖ; 5
τοὺς δὲ παρασίτους ἠγάπα. λέγει γέ τοι·
c „Ἀνὴρ γὰρ ὅστις εὖ βίον κεκτημένος,
„μὴ τοὐλάχιστον τρεῖς ἀσυμβόλους τρέφει,
„ὄλοιτο, νόστου [3] μή ποτ' εἰς πάτραν μόλοι." [4]

1 Οὐκ ἂν πώποτε edd. Verba ista eidem mulieri tribuunt alii, cuius sunt ea quae praecedunt. 2 σώσει edd. 3 νόστον corr. Grot. 4 μολεῖ ms. τύχοι corr. Valck.

alimento contentus. (ἐπισίτιος.) —

51. Diphilus vero, in Synoride, (scorti nomen Synoris est) mentionem faciens Euripidis, (est autem iactus cuiusdam talorum nomen, *Euripides*) ad nomen etiam poëtae adludens, simul de parasitis haec dicit:

A. *Egregie te ista liberasti tessera.*
S. *Lepidus es.* A. *Drachmam pone.* S. *Pono. Euripidem*
quo pacto ego iaciam! A. *Certe numquam foeminae*
Euripides bene faxit. In tragoediis
non cernis quanto flagret odio mulierum?
Parasitos vero amabat. Etenim sic ait:
» *Quicumque largas inter exsultans opes*
» *non tres aluerit dapibus immunes suis,*
» *pereat, nec umquam patrios videat lares!* «

Σ. Πόθεν ἐστὶ ταῦτα, πρὸς θεῶν; Α. Τί δέ σοι μέλει;

οὐ γὰρ τὸ δρᾶμα, τὸν δὲ νοῦν σκοπούμεθα.

Absurda ira parasiti.

Ἐν δὲ τῇ διασκευῇ αὐτοῦ τοῦ δράματος, [1] περὶ ὀργιζομένου παρασίτου λέγων, φησίν·

Ὀργίζεται παράσιτος ὤν, ὀργίζεται;
οὐκ· ἀλλ' ἀλείψας τὴν τράπεζαν τῇ χολῇ,
ὥσπερ τὰ παιδί', αὐτὸν ἀπογαλακτιεῖ.

καὶ ἑξῆς· d

— Α. Τότε φάγοις, παράσιθ'. Β. Ὅρα ὡς [2]
διασεσύρηκε τὴν τέχνην. Α. Οὐκ οἶσθ' ὅτι
μετὰ τὸν κιθαρῳδὸν ὁ παράσιτος κρίνεται.

Καὶ τῷ ἐπιγραφομένῳ δὲ Παρασίτῳ δράματι φησίν·

Οὐ δεῖ παρασιτεῖν ὄντα δυσάρεσκον σφόδρα.

LII. Μένανδρος δ', ἐν τῇ Ὀργῇ, περὶ φίλου λέγων οὐχ ὑπακούοντος γάμων δείπνῳ, φησίν·

1 τοῦ αὐτοῦ δραμ. malim. 2 Forf. Ὅρα μὲν ὡς.

S. *At unde quaeso haec recitas?* A. *Quid refert tua? non fabulam ſpectamus, ſed ſententiam.*

In nova vero eiusdem dramatis editione, de irato paraſito loquens, ait:

Paraſitus iraſci audet? iraſci? inquio.
non: ſed, perungens menſam amaritudine,
ut pueros mater, ſeſe a lacte depulit.

Et deinde:

A. *Tunc cibum capias, paraſite, licet.* B. *Vide, ut indigne tractet artem!* A. *An non tu noſti, poſt citharoedum cenſeri paraſitorum genus?*

Et in dramate, cui Paraſitus titulus, dicit:

Paraſitari non oportet hominem valde difficilem.

52. Menander vero, in Ira, de amico loquens, qui invitationi ad convivium nuptiale non paruerat, dicit:

e Τοῦθ' ἑταῖρός ἐστιν ὄντως. [1] οὐκ ἐρωτᾷ, πηνίκα δεῖπνόν ἐστιν; ὥσπερ ἕτεροι· καὶ, τί δειπνεῖν κωλύει τοὺς παρόντας; εἶτα δεῖπνον ἕτερον εἰς τρίτην βλέπει, εἶτα περίδειπνον πάλιν. — Abſtinens a conviviis: ἀπόσιτος.

Καὶ Ἄλεξις ἐν Ὀρέστῃ, Νικόστρατός τε ἐν Πλούτῳ, Μένανδρός τε ἐν Μέθῃ, καὶ Νομοθέτῃ· Φιλωνίδης τε ἐν Κοθόρνοις οὕτως·

Ἐγὼ δ' ἀπόσιτος ὢν, τοιαῦτ' οὐκ ἀνέχομαι.

Τῷ δὲ παράσιτος ὅμοιά ἐστιν ὀνόματα· ἐπίσιτος, [2] περὶ οὗ προείρηται· καὶ οἰκόσιτος, σιτόκουρός τε, [3] καὶ αὐτόσιτος, ἔτι δὲ κακόσιτος, καὶ ὀλιγόσιτος. Μνημονεύει δὲ τοῦ μὲν οἰκοσίτου Ἀναξανδρίδης ἐν Κυνηγέταις· Οἰκόσιτος.

f Υἱὸς γὰρ οἰκόσιτος ἡδὺ γίνεται.

Καλεῖται δ' οἰκόσιτος, ὁ μὴ μισθοῦ, ἀλλὰ προῖκα τῇ πόλει ὑπηρετῶν. Ἀντιφάνης, Σκύθῃ·

1 ὄντως ἐστὶν vulgo. 2 Forſ. ἐπισίτιος. 3 Deſunt editis ſeptem verba σιτόκουρος usque κακόσιτος. Mendoſe vero h. l. ſcriptum σιτόκωυστος im membr.

Iſte verus eſt amicus: non, ut alii, interrogat,
quando coena ſit futura? quidve praeſentes vetet
coenam incipere? deinde coenam quaerit in perendinum;
mox, ubi ſilicernium ſit. —

Pariter Alexis in Oreſte, & Nicoſtratus in Pluto, & Menander in Ebrietate, & in Legislatore; & Philonides in Cothurnis ſic:

Ego cum cibo abſtineam, talia ferre non poſſum.

Sunt vero (alia) nomina vocabulo παράσιτος cognata: ἐπίσιτος, (ſive ἐπισίτιος) de quo paulo ante dictum; tum οἰκόσιτος, & σιτόκουρος, & αὐτόσιτος, & κακόσιτος, & ὀλιγόσιτος. Oecoſitum (id eſt, *domi cibum capientem*) commemorat Anaxandrides, in Venatoribus:

Praedulce, gnatus qui domi capit cibum.

Vocatur autem *oecoſitus*, qui non mercede, ſed gratuito, civitati miniſtrat. Antiphanes in Scytha:

— — Ταχὺ γὰρ γίνεται
καὐκκλησιαστὴς [1] οἰκόσιτος. —

Μένανδρος, Δακτυλίῳ· [2]

— — Οἰκόσιτον νυμφίον,
οὐδὲν δεόμενον προικὸς, ἐξευρήκαμεν.

καὶ ἐν Κιθαριστῇ·

Οὐκ οἰκοσίτους τοὺς ἀκροατὰς λαμβάνεις.

Ἐπισιτίου δὲ Κράτης, Τόλμαις· „Ποιμαίνει δ' ἐπι- a
σίτιον. [3] ῥιγῶν δ' ἐν Μεγαβύζου [4] δέξετ' ἐπὶ μισθῷ
σῖτον." [5] ἰδίως δ' ἐν Συναριστώσαις ἔφη·

— — Ἀστεῖον, τὸ μὴ
συνάγειν γυναῖκας, μηδὲ δειπνίζειν ὄχλον·
ἀλλ' οἰκοσίτους τοὺς γάμους πεποιηκέναι.

Σιτόκουρος. Σιτοκούρου δ' Ἀλεξις μνημονεύει, ἐν Παννυχίδι ἢ Ἐρίθοις·

1 Vulgo καὶ ἐκκλησ. 2 Δακτύλῳ vulgo. 3 ἐπισίτιος legit Dalech. 4 ἐν μετὰ βύξου vulgo. 5 σῖτος vulgo.

— — *Celeriter fit enim*
concionis particeps, qui oecositus est.

Menander in Annulo:

— — *Oecositum sponsum,*
qui dote non indiget, reperimus.

Et in Citharoedo:

Gratuitos (οἰκοσίτους) *non nanciscēris auditores.*

Ἐπισίτιον nominavit Crates, in Audaciis: *Pascit* ἐπισίτιον: (*victorem:*) *rigens apud Megabyzum* [ipse?] *accipiet pro mercede victum.* Singulariter vero idem, in Mulieribus-una-prandentibus, dixit:

— — *Urbanum est,*
mulieres non congregare, nec turbae praebere coenam,
sed domesticas (*oecositas*) *celebrare nuptias.*

Vocabulum σιτόκουρος [quasi *frugiperda*; de eo qui *fruges tantum consumere natus* est] usurpavit Alexis in Pervigilio sive Lanificis:

Ἔσῃ περιπατῶν σιτόκουρος. — —

Μένανδρος δὲ τὸν ἄχρηστον καὶ μάτην τρεφόμενον, σιτόκουρον εἴρηκεν, ἐν Θρασυλέοντι, οὕτως· „Ὀκνηρὸς, πάντα μέλλων, σιτόκουρος, ἄθλιος, ἄχρηστος [1] εἰς γῆν ὁμολογῶν παρατρέφεσθαι.“ [2] Καὶ ἐν Πωλουμένοις·

— — Τάλας,
ἔστηκας ἔτι πρὸς ταῖς θύραις τὸ φορτίον
θεὶς, σιτόκουρον ἄθλιον εἰς τὴν οἰκίαν
εἰλήφαμεν. — — —

Αὐτόσιτον δ' εἴρηκε Κρώβυλος ἐν Ἀπαγχομένῳ· Αὐτόσιτος.

Παράσιτον αὐτόσιτον. [3] αὐτὸν γοῦν τρέφων,
τὰ πλεῖστα συνεραναστὴς εἶ τῷ δεσπότῃ.

Κακοσίτου δὲ μέμνηται Εὔβουλος, ἐν Γανυμήδει· Κακόσιτος.

— Ὕπνος αὐτὸν, ὄντα κακόσιτον, τρέφει.

1 ἄθλιον, ἄχρηστον ms. *A*. 2 Duos ſenarios in hunc modum conſtituit Grotius:

Ὁ πανταμέλλων, σιτόκουρος, ἄθλιος,
ἄχρηστος εἰς γῆν, παρατρέφεσθαι ὁμολογῶν.

3 Orationem non diſtinguunt edd.

Eris obambulans frugiperda. (σιτόκουρος.)

Menander vero [perſpicue] hominem inutilem & qui fruſtra alitur, σιτόκουρον dixit in Thraſyleonte, ubi ait:

Cunctator, frugiperda, (σιτόκουρος) *terrae inutilis, miſer, ut qui ali ſe agnoſcat immerito ſuo.*

Et in Venalibus: — — *Infelix,*
ſtabas adhuc ad portam, onus tuum
deponens; frugiperdam miſerum in aedes
recepimus.

Autoſitum Crobylus dixit in Suſpendioſo:

Paraſitum autoſitum: nam cum te ipſe nutrias,
plurima confers domino.

Cacoſitum uſurpavit Eubulus, in Ganymede:

Cacoſitus cum ſit, (cum aegre veſcatur) *alit illum*
ſomnus.

Ὀλιγόσιτος. Ὀλιγοσίτου δὲ μέμνηται Φρύνιχος, ἐν Μονοτρόπῳ·

Ὁ δ' ὀλιγόσιτος Ἡρακλῆς ἐκεῖ τί δρᾷ;

καὶ Φερεκράτης ἢ Στράττις, ἐν Ἀγαθοῖς·

Ὡς ὀλιγόσιτος ἦσθ' ἄρα, ὃς κατεσθίεις
τῆς ἡμέρας μακρᾶς τριήρους σιτία;

LIII.

Adulator idem qui paraſitus.

Τοσαῦτα τοῦ Πλουτάρχου εἰπόντος περὶ παρασίτων, διαδεξάμενος τὸν λόγον ὁ Δημόκριτος· Ἀλλὰ μὴν καὶ αὐτὸς, ἔφη, τὸ „ποτίκολλον [1] ἅτε ξύλον παρὰ ξύλῳ" (ὡς ὁ Θηβαῖος εἴρηκεν ποιητὴς) περὶ κολάκων ἐρῶ τι. „Πράττει γὰρ πάντων ὁ κόλαξ ἄριστα·" ὁ καλὸς εἶπε Μένανδρος. οὐ μακρὰν δ' d ἔστιν ὁ κόλαξ τοῦ τῶν παρασίτων ὀνόματος. Κλείσο-

Cliſophus, Philippi adſentator.

φον γοῦν, τὸν ὑπὸ πάντων κόλακα Φιλίππου τοῦ τῶν Μακεδόνων βασιλέως ἀναγραφόμενον, (Ἀθηναῖος δ' ἦν γένος, ὡς φησι Σάτυρος ὁ Περιπατητικὸς, ἐν τῷ Φιλίππου Βίῳ) Λυγκεὺς ὁ Σάμιος, ἐν τοῖς

1 Temere ποτικολλῶν ed. Baſ. & Caſ.

Oligoſitum uſurpavit Phrynichus, in Monotropo: (*ſeu* Solitario:)

Hic oligoſitus (parcus comeſtor) *Hercules quid ibi facit?*

& Pherecrates aut Strattis, in Bonis:

Quam parci cibi es, qui uno die
longae triremis cibaria comedis!

53. Quae quum dixiſſet de Paraſitis Plutarchus, ſermonem excipiens Democritus: At ego quoque, inquit, *velut lignum ligno adglutinatum* (ut ait Thebanus poëta) de ADULATORIBUS aliquid dicam. *Omnium enim optime res ſuas adulator agit*, elegans ait Menander. Nec vero a paraſiti nomine multum abeſt adulator. [ſive *adſentatorem* latine dicere malueris.] Igitur Cliſophum, quem Philippi regis adſentatorem fuiſſe ſcribunt omnes; (fuit autem Athenienſis, ut ait Satyrus Peripateticus in Philippi Vita:) eumdem Lynceus Samius, in Memorabili-

Ἀπομνημονεύμασιν, παράσιτον ὀνομάζει, λέγων οὕτως· „Κλείσοφος, ὁ Φιλίππου παράσιτος, ἐπιτιμῶντος αὐτῷ τοῦ Φιλίππου διότι ἀεὶ αἰτεῖ, ἔφησεν, [1] Ἐπιλανθάνομαι. τοῦ δὲ Φιλίππου δόντος αὐτῷ ἵππον τραυματίαν, ἀπέδοτο. καὶ μετὰ χρόνον ἐπερωτηθεὶς ὑπὸ τοῦ βασιλέως, ποῦ ἐστίν· „Ἐκ τοῦ τραύματος, ἔφη, κείνου πέπραται.“ [2] Σκώπτοντος δ' αὐτὸν τοῦ Φιλίππου καὶ εὐημεροῦντος· „Εἶτα οὐκ ἐγώσε, ἔφη, θρέψω;“ Καὶ ὁ Δελφὸς δὲ Ἡγήσανδρος, ἐν τοῖς Ὑπομνήμασι, περὶ τοῦ Κλεισόφου τάδε ἱστορεῖ. „Φιλίππου τοῦ βασιλέως εἰπόντος, διότι γράμματα αὐτῷ ἐκομίσθη παρὰ Κότυος τοῦ βασιλέως, Κλείσοφος παρὼν ἔφη· Εὖ γε, [3] νὴ τοὺς θεούς. τοῦ δὲ [4] Φιλίππου εἰπόντος, Τί δὲ σὺ οἶδας ὑπὲρ ὧν γέγραπται; Νὴ τὸν Δία τὸν μέγιστον, εἶπεν, ἄκρως γέ μοι ἐπετίμησας.“

1 ἔφη ms. *Ep.* Forsan ὅτι ἀεὶ, ἔφη, ἐπιλανθ. In ms. *A.* sic scribitur: διότι δεῖ αἰτεῖ εἶναι φημὶ ἐπιλανθ. 2 πέπραχται edd. 3 σύγε vulgo. 4 Deest δὲ edd.

bus, *parasitum* vocat, ubi sic scribit: »Clisophus, Philippi parasitus, reprehensus a Philippo, quod semper aliquid rogaret; *Oblivioſus sum*, respondit. Idem, quum Philippus ei equum dedisset saucium, vendiderat illum: aliquanto vero post, interrogatus a rege, ubi esset equus? *Ex vulnere illo abiit*, inquit. Quum ridicule dictis adgressus eum esset rex, plausumque tulisset: *Post haec*, inquit, *non ego te alerem!* De eodem Clisopho Hegesander Delphus, in Commentariis, haec narrat. »Philippus rex quum dixisset, literas sibi adlatas esse Cotyis regis, Clisophus, qui tum aderat, ait: *Optime! per Deos.* Subiiciente vero Philippo, *Quid vero tu noſti quibus de rebus ille scripserit? — Per Iovem maximum!* inquit ille, *Rectissime tu me reprehendisti.*«

LIV.

Sympathia adulatoria.

Σάτυρος δ' ἐν τῷ Φιλίππου βίῳ· „Ὅτε, φησὶ, Φίλιππος τὸν ὀφθαλμὸν ἐξεκόπη, συμπροῆλθεν αὐτῷ καὶ ὁ Κλείσοφος τελαμωνισθεὶς τὸν αὐτὸν ὀφθαλμόν.[1] καὶ πάλιν, ὅτε τὸ σκέλος ἐπηρώθη, σκάζων συνεξώδευε τῷ βασιλεῖ. καὶ εἴ ποτε δριμὺ προσφέροιτό τι[2] τῶν ἐδεσμάτων ὁ Φίλιππος, αὐτὸς συνέστρεφε τὴν ὄψιν ὡς συνδαινύμενος. Ἐν δὲ τῇ Ἀράβων χώρᾳ οὐχ ὡς ἐν κολακείᾳ τοῦτ' ἐποίουν, ἀλλὰ κατά τι νόμιμον, βασιλέως παθόντος τὶ τῶν μελῶν, συνυποκρίνεσθαι τὸ ὅμοιον πάθος. ἐπεὶ καὶ γελοῖον νομίζουσιν, ἀποθανόντι μὲν αὐτῷ σπουδάζειν συγκατορύττεσθαι, πηρωθέντι δὲ μὴ χαρίζεσθαι τὴν ἴσην δόξαν τοῦ πάθους." Νικόλαος δ' ὁ Δαμασκηνὸς, εἷς δ' ἦν τῶν ἐκ τοῦ Περιπάτου, ἐν τῇ πολυβίβλῳ Ἱστορίᾳ (ἑκατὸν γὰρ καὶ τεσσαράκοντά εἰσι πρὸς ταῖς

1 τὸν αὐτοῦ ὀφθ. malim. 2 Abeſt τι vulgo. προσφέροιτο ἔδεσμα ms. *Ep.*

54. Satyrus vero in vita Philippi ſcribit: » Cum oculus excuſſus eſſet Philippo, prodibat cum illo Cliſophus faſciis obligato ſuo oculo: rurſusque, quum contuſo crure claudicaret rex, una cum illo claudicans incedebat. Si quem cibum acriorem ori admoveret rex, ipſe vultum contorquebat quaſi ſimul eodem cibo veſceretur. In Arabum vero regione non ex adulatione hoc facere conſueverunt, ſed publico quodam inſtituto: ut, cum membro quopiam dolet rex, eodem malo ſe adfectos ſimulent. Quippe abſurdum ducunt, mortuo rege ſtudioſe poſcere homines ut cum eo ſepeliantur; cum autem aliqua corporis parte aeger eſt, non in eius gratiam eiusdem mali participationem prae ſe ferre.« Nicolaus vero Damaſcenus Peripateticus, in Hiſtoria plurimis libris comprehenſa, (ſunt enim numero cen-

τέσσαρσι) τῇ ἐκκαιδεκάτῃ καὶ ἑκατοστῇ Φησιν, Ἀ- Siloduri regis Gallorum.
b διάτομον τὸν τῶν Σωτιανῶν βασιλέα (ἔθνος δὲ τοῦτο Κελτικὸν) ἑξακοσίους ἔχειν λογάδας περὶ αὐτὸν, οὓς καλεῖσθαι ὑπὸ Γαλατῶν τῇ πατρίῳ γλώττῃ Σιλοδούρους. [1] ταῦτο δ' ἐστὶν Ἑλληνιστὶ εὐχωλιμαῖοι. „Τούτους δ' οἱ βασιλεῖς ἔχουσι συζῶντας καὶ συναποθνήσκοντας, ταύτην ἐκείνων εὐχὴν ποιουμένων· ἀνθ' ἧς συνδυναστεύουσί τε αὐτῷ, τὴν αὐτὴν ἐσθῆτα καὶ δίαιταν ἔχοντες, καὶ συναποθνήσκουσι κατὰ πᾶσαν ἀνάγκην, εἴ τ' ἐν νόσῳ τελευτήσει βασιλεὺς, [2] εἴ τε πολέμῳ, εἴ τε ἄλλως πῶς. καὶ οὐδεὶς εἰπεῖν ἔχει τινὰ ἀποδειλιάσαντα τούτων τὸν θάνατον, ὅταν ἥκῃ βασιλεῖ, ἢ διεκδύντα." LV.

c Φίλιππον δὲ Φησι Θεόπομπος, ἐν τῇ τετάρτῃ καὶ τεσσαρακοστῇ τῶν Ἱστοριῶν, Θρασυδαῖον τὸν Thrasydaeus Theſſalus.
Θεσσαλὸν καταστῆσαι τῶν ὁμοεθνῶν τύραννον, μικρὸν μὲν ὄντα τὴν γνώμην, κόλακα δὲ μέγιστον. Ἀλλ'

1. Σιλοδούνους edd. cum ms. *A*. 2. τελευτήσει ὁ βασιλ. edd.

tum quadraginta quatuor) libro centeſimo decimo ſexto ait, Adiatomum, Sotianorum regem, (Gallica ea gens eſt) ſexcentos ſelectos circa ſe habere, qui patria lingua *Siloduri* adpellentur, id eſt, Graece ſi reddas, *devoti*. »Hos & vitae & mortis comites habent reges; quippe votum hoc iſti ſusceperunt: pro quo & poteſtatem regis participant, & eodem veſtitu eodemque victu eum eo utuntur; ſed & neceſſario cum eo obeunt mortem, ſive morbo obierit rex, ſive in bello, ſive alio quocumque modo. Neque nominare aliquis poſſet quemquam, qui vel recuſaverit mortem, fato functo rege, vel tergiverſatus ſit.«

55. Philippum vero, ait Theopompus Hiſtoriarum libro quadrageſimo quarto, *Thraſidaeum* Theſſalum tyrannum conſtituiſſe popularium, hominem exigui inge-

Arcadion, inimicus Philippi.

οὐκ Ἀρκαδίων ὁ Ἀχαιὸς κόλαξ ἦν, περὶ οὗ ὁ αὐτὸς ἱστορεῖ Θεόπομπος, καὶ Δοῦρις ἐν πέμπτῃ Μακεδονικῶν. οὗτος δὲ ὁ Ἀρκαδίων μισῶν τὸν Φίλιππον, ἑκούσιον ἐκ τῆς πατρίδος φυγὴν ἔφυγεν. ἦν δὲ εὐφυέστατος, καὶ πλείους ἀποφάσεις αὐτοῦ μνημονεύονται. ἔτυχε δ' οὖν ποτε, ἐν Δελφοῖς ἐπιδημοῦντος Φιλίππου, παρεῖναι καὶ τὸν Ἀρκαδίωνα. ὃν θεασάμενος ὁ Μακεδὼν καὶ προσκαλεσάμενος, Μέχρι τίνος φεύξῃ, φησὶν, Ἀρκαδίων; καὶ ὅς·

Ἕς τ' ἂν τοὺς ἀφίκωμαι οἳ οὐκ ἴσασι Φίλιππον.

Φύλαρχος δ' ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν γελάσαντα τὸν Φίλιππον ἐπὶ τούτῳ, καλέσαι τε ἐπὶ δεῖπνον τὸν Ἀρκαδίωνα, καὶ οὕτω τὴν ἔχθραν διαλύσασθαι. Περὶ δὲ Νικησίου [1] τοῦ Ἀλεξάνδρου κόλακος Ἡγήσανδρος τάδε ἱστορεῖ· „Ἀλεξάνδρου δάκνεσθαι φήσαντος ὑπὸ μυιῶν, καὶ προθύμως αὐτὰς ἀπο-

Alexandri & Dionysii adsentatores.

1 Vulgo Περὶ δὲ Ἡγησίου Νικησίου.

nii, sed adulatorem maximum. At non adulator erat *Arcadion* Achaeus, de quo idem narrat Theopompus, & Duris quinto libro Rerum Macedonicarum. Hic enim Arcadion, odio ductus Philippi, sponte patrium solum vertit. Erat autem vir inprimis ingeniosus; cuius multa scite dicta commemorantur. Accidit igitur aliquando, ut, cum Delphis versaretur Philippus, simul ibi adesset Arcadion. Quem conspicatus Macedo, ad se vocavit, dicens: *Quousque fugies, Arcadion?* Et ille:

Donec ad eos pervenero, quibus ignotus Philippus.

Phylarchus vero, primo & vigesimo Historiarum libro, scribit, adridentem ad hoc responsum Philippum ad coenam vocasse Arcadionem, atque ita exstinctas esse inimicitias. De *Nicesia* vero, Alexandri adsentatore, haec narrat Hegesander: »Cum diceret Alexander, morderi se a muscis, illasque gnaviter depelleret, adsentatorum

e σοβοῦντος, τῶν κολάκων τὶς Νικησίας παρών· Ἤπου τῶν ἄλλων μυιῶν, εἶπεν, αὗται πολὺ κρατήσουσι, τοῦ σοῦ γευσάμεναι αἵματος." Ὁ δ' αὐτός φησι, καὶ Χειρίσοφον τὸν Διονυσίου κόλακα, ἰδόντα Διονύσιον γελῶντα μετά τινων γνωρίμων, (ἀπεῖχεν δ' ἀπ' αὐτῶν πλείω τόπον, ὡς μὴ συνακούειν,) συγγελᾶν.[1] ἐπεὶ δ' ὁ Διονύσιος ἠρώτησεν αὐτὸν, διὰ τίνα αἰτίαν, οὐ συνακούων τῶν λεγομένων, γελᾷ; Ὑμῖν, φησὶ, πιστεύω, διότι τὸ ῥηθὲν γελοῖόν ἐστιν.

LVI. Διονυσοκόλακες.

Πλείστους δ' εἶχεν καὶ ὁ υἱὸς αὐτοῦ Διονύσιος f τοὺς κολακεύοντας, οὓς καὶ προσηγόρευον οἱ πολλοὶ Διονυσοκόλακας.[2] οὗτοι δὲ προσεποιοῦντο μή τε ὀξὺ ὁρᾶν παρὰ τὸ δεῖπνον, ἐπεὶ ὁ Διονύσιος οὐκ ἦν ὀξυώπης· ἔψαυόν τε τῶν παρακειμένων, ὡς οὐχ ὁρῶντες, ἕως ὁ Διονύσιος αὐτῶν[3] τὰς χεῖρας πρὸς τὰ λεκά-

1 Deeſt verbum συγγελᾶν edd. & ms. *A*. Deinde iidem habent ἐπεὶ ὁ, non ἐπεὶ δ' ὁ. 2 Διονυσιοκόλακας edd. cum ms. *Ep*. 3 Deeſt αὐτῶν edd.

aliquis praeſens, Niceſias nomine, ait: *Profecto aliis muſcis hae longe ſuperiores erunt, tuum quum ſanguinem guſtarint.* Idem ſcriptor narrat, Cheiriſophum, Dionyſii adſentatorem, cum vidiſſet Dionyſium ridentem cum nonnullis ſuorum familiarium, abeſſet autem ipſe ex multo longiore intervallo, quam ex quo quid diceretur exaudiri potuiſſet, una riſiſſe. Inde vero interrogatus a Dionyſio, cur, *quum dicta exaudire non potuiſſet, rideret tamen? Credo vobis*, inquit, *ridiculum eſſe id quod dictum eſt.*

56. Plurimos vero etiam filius illius Dionyſius adſentatores habuit, qui etiam vulgo *Dionyſocolaces* adpellabantur. Hi vero, quoniam minus acutos oculos habebat Dionyſius, ſimulabant inter coenandum & ipſi parum acute cernere, & temere contrectabant adpoſita fercula, tamquam viſa non discernentes, donec manus

ρια [1] προσῆγεν. ἀποπτύοντος δὲ τοῦ Διονυσίου, πολλάκις παρεῖχον τὰ πρόσωπα καταπτύεσθαι· καὶ ἀπολείχοντες τὸν σίαλον, ἔτι δὲ τὸν ἔμετον αὐτοῦ, a
μέλιτος ἔλεγον εἶναι γλυκύτερον. Τίμαιος δ', ἐν τῇ
Democles. δευτέρᾳ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν, Δημοκλέα, φησὶ, τὸν Διονυσίου τοῦ νεωτέρου κόλακα, ἔθους ὄντος κατὰ Σικελίαν θυσίας ποιεῖσθαι κατὰ τὰς οἰκίας ταῖς Νύμφαις, καὶ περὶ τὰ ἀγάλματα παννυχίζειν μεθυσκομένους, ὀρχεῖσθαί τε περὶ τὰς θεάς· ὁ Δημοκλῆς ἐάσας τὰς Νύμφας, καὶ εἰπὼν οὐ δεῖν προσέχειν ἀψύχοις θεοῖς, ἐλθὼν ὠρχεῖτο πρὸς τὸν Διονύσιον. Ἔπειτα πρεσβεύσας ποτὲ μεθ' ἑτέρων [ὡς τὸν Διονύσιον,] [2] καὶ πάντων νομιζομένων ἐπὶ τριήρους, b
κατηγορούμενος ὑπὸ τῶν ἄλλων, ὅτι στασιάζοι [3] κατὰ τὴν ἀποδημίαν, καὶ βλάπτει τοῦ Διονυσίου τὰς κοινὰς πράξεις, καὶ σφόδρα τοῦ Διονυσίου ὀργισθέν-

1 λεκάνια ms. *Ep.* & ed. Baſ. & Caſ. 2 Forſ. ὡς τὸν Δίωνα: niſi delenda tria verba, quae uncis incluſimus. 3 στασιάζει edd.

eorum ipſe Dionyſius ad patinas admoveret. Saepeque, cum ſputaret Dionyſius, faciem ſputo conſpergendam ei obiiciebant: & lingentes ſalivam eius, atque etiam quae vomitu egeſſerat, melle dulciora eſſe adfirmabant. Timaeus vero vigeſimo ſecundo Hiſtoriarum libro, Democlem, narrat, iunioris Dionyſii adſentatorem, cum mos eſſet Siculis, domi Nymphis ſacra facere, temulentosque circa illarum imagines pernoctare, & circa Deas ſaltare; omiſſis Nymphis dixiſſe, nihili faciendos eſſe Deos qui anima carerent, ſaltantemque ad Dionyſium perrexiſſe. Idem deinde a Dionyſio legatus miſſus cum aliis [ad Dionem,] cum omnes eadem triremi iter feciſſent, accuſarentque illum caeteri, quod in ea peregrinatione ſeditioſus fuiſſet, & rebus publicis quae ad Dionyſium pertinerent offeciſſet; irato admodum

τος· ἔφησε, τὴν διαφορὰν γενέσθαι αὐτῷ πρὸς τοὺς συμπρέσβεις, ὅτι μετὰ τὸ δεῖπνον ἐκεῖνοι μὲν τὸν Φρυνίχου καὶ Στησιχόρου, ἔτι δὲ Πινδάρου παιᾶνα τῶν αὐτῶν τινες [1] ἀνειληφότες ἦδον· αὐτὸς δὲ μετὰ τῶν βουλομένων τοὺς ὑπ' αὐτοῦ Διονυσίου [2] πεποιημένους
c διεπεραίνετο. καὶ τούτου σαφῆ τὸν ἔλεγχον παρέξειν ἐπηγγείλατο· τοὺς μὲν γὰρ αὐτοῦ κατηγόρους οὐδὲ τὸν ἀριθμὸν [3] τῶν ᾀσμάτων κατέχειν, αὐτὸς δ' ἕτοιμος εἶναι πάντας ἐφεξῆς ᾄδειν. Λήξαντος δὲ τῆς ὀργῆς τοῦ Διονυσίου, πάλιν ὁ Δημοκλῆς ἔφη· „Χαρίσαιο δ' ἄν μοι τι, Διονύσιε, κελεύσας τινὶ τῶν ἐπισταμένων διδάξαί με τὸν πεποιημένον εἰς τὸν Ἀσκληπιὸν παιᾶνα· ἀκούω γάρ σε πεπραγματεῦσθαι περὶ τοῦτον. [4] Παρακεκλημένων δέ ποτε τῶν φίλων ὑπὸ
d τοῦ Διονυσίου ἐπὶ τὸ δεῖπνον, εἰσιὼν ὁ Διονύσιος εἰς

1 τῶν γαυτῶν τινες ms. *A.* ubi τινὰς forsan suspiceris oportuisse: *adscitis nautarum nonnullis.* 2 τοὺς αὐτοῦ Διονυσίου πεπ. edd. τοὺς αὐτοῦ Διονυσίου ms. *Ep.* absque πεποιημένους. τοῦ συμποτου Δ. πεποιημ. ms. *A.* 3 τὸν ῥυθμὸν fortasse. 4 περὶ τούτων edd.

Dionysio, dixit: inde natum dissidium cum suis collegis, quod post coenam illi Phrynichi aut Stesichori paeanem, ac nonnulli eorum etiam Pindaricum, quos memoria tenerent, canere consuessent, ipse vero cum volentibus eos paeanas esset exsecutus, qui ab ipso Dionysio essent compositi. Cuius rei manifestum documentum se exhibiturum profitebatur: nam accusatores suos ne numerum quidem [*sive*, modulum] canticorum illorum cognitum habere, se vero paratum esse omnia ordine canere. Hîc cum iram posuisset Dionysius, rursus Democles dicere pergit: *Gratificeris mihi hoc velim*, inquit, *Dionysi, ut aliquem, qui noverit, iubeas me edocere paeanem in Aesculapium a te compositum: audio enim te in hoc fuisse occupatum.* Aliquando cum unà essent amici ad coenam a Dionysio vocati, intrans in coenaculum rex,

τὸν οἶκον· Γράμματα ἡμῖν, ἔφη, [1] ἄνδρες φίλοι, ἐπέμφθη παρὰ τῶν ἡγεμόνων τῶν εἰς Νέαν πόλιν ἀποσταλέντων. καὶ ὁ Δημοκλῆς ὑπολαβών, ἔφη· Εὖ γε νὴ τοὺς θεοὺς ἐποίησαν, ἔφη, [2] Διονύσιε. κακεῖνος προσβλέψας αὐτῷ; Τί [3] δ' οἶδας, ἔφη, σὺ, πότερα κατὰ γνώμην ἐστὶν, ἢ τοὐναντίον, ἃ γεγράφασιν; καὶ ὁ Δημοκλῆς· [4] Εὖ γε νὴ τοὺς θεοὺς ἐπιτετίμηκας, ἔφη, Διονύσιε. [5] Καὶ Σάτυρον δέ τινα ἀναγράφει ὁ Τίμαιος κόλακα ἀμφοτέρων τῶν Διονυσίων.

LVII. Hieronis adsentatores.

Ἡγήσανδρος δ' ἱστορεῖ, καὶ Ἱέρωνα τὸν τύραννον ἀμβλύτερον κατὰ τὰς ὄψεις γενέσθαι, καὶ τοὺς συνδειπνοῦντας τῶν φίλων ἔχειν ἐπίτηδες διαμαρτάνοντας τῶν ἐδεσμάτων, ἵνα ὑπ' αὐτοῦ [6] χειραγωγῶνται, καὶ δοκῇ [7] τῶν ἄλλων ὀξυδερκέστερος εἶναι. Εὐκλείδην δέ, φησὶν Ἡγήσανδρος, τὸν Σεῦτλον ἐπικαλούμενον, (παράσιτος δ' ἦν καὶ οὗτος) παραθέντος [8] τινὸς αὐ- e

1 Deeſt ἔφη edd. 2 Repetitum h. l. ἔφη ignorat Epit. 3 Τὰ ms. *A.* Τῷ edd. 4 Tria verba Καὶ ὁ Δημ. deſunt edd. 5 ὦ Διονύσιε ms. *Ep.* & ignorat ἔφη. 6 ἵν' ἐπὰν χειρ. edd. 7 δοκεῖ ed. Baſ. & Caſ. 8 παρατεθέντος edd. cum ms. *A.*

dixit: *Literae nobis, amici, adlatae ſunt a ducibus datae Neapolin miſſis.* Ibi Democles interfatus: *Praeclare ſane, per Deos, fecerunt*, inquit, *Dionyſi!* Quem ille intuens: *Quid vero*, inquit, *tu noſti, utrum ex ſententia ſint, nec-ne, quae illi perſcripſere?* Et Democles: *Praeclare ſane, per Deos*, inquit, *reprehendiſti me, Dionyſi!* Sed & Satyrum quemdam commemorat Timaeus, adſentatorem utriusque Dionyſii.

57. Hegeſander vero narrat, etiam Hieroni regi obtuſiorem fuiſſe oculorum uſum, habuiſſeque in amicis cum ipſo coenare ſolitis, qui conſulto a cibis, quos peterent, aberrare ſolerent, ut ab ipſo manus eorum dirigerentur, videreturque ille acutius reliquis cernere. Euclidis verbum Hegeſander refert, eius cui *Seutlum* (id eſt, *beta*) cognomen, qui & ipſe paraſitus fuit. Cum

τῷ πλείους σόγκους ἐν δείπνῳ· Ὁ Καπανεύς, ἔφη, ὁ ὑπὸ τοῦ Εὐριπίδου εἰσαγόμενος ἐν ταῖς Ἱκέτισιν, ὑπεραστεῖος ἦν·

f Μισῶν τραπέζας [1] ὅστις ἐξογκοῖτ' ἄγαν.

„Οἱ δὲ δημαγωγοῦντες, φησὶν, Ἀθήνησι κατὰ τὸν Χρεμωνίδειον πόλεμον, κολακεύοντες τοὺς Ἀθηναίους, Τἆλλα μὲν, ἔφασκον, πάντα εἶναι κοινὰ τῶν Ἑλλήνων, τὴν δ' ἐπὶ τὸν οὐρανὸν ἀνθρώπους φέρουσαν ὁδὸν Ἀθηναίους εἰδέναι μόνους." Σάτυρος δ', ἐν τοῖς Βίοις, Ἀνάξαρχον, φησὶ, τὸν Εὐδαιμονικὸν φιλόσοφον, ἕνα τῶν Ἀλεξάνδρου γενέσθαι κολάκων· καὶ συνοδεύοντα τῷ βασιλεῖ, ἐπεὶ ἐγένετό ποτε βροντὴ ἰσχυρὰ καὶ ἐξαίσιος ὡς πάντας πτῆξαι, εἰπεῖν· Μή τι σὺ τοιοῦτον [2] ἐποίησας, Ἀλέξανδρε, ὁ τοῦ Διός; τὸν a δὲ, γελάσαντα εἰπεῖν· Οὐ γὰρ φοβερὸς βούλομαι εἶναι, καθάπερ σύ με διδάσκεις, ὁ τὰς τῶν σατραπῶν καὶ βασιλέων κελεύων με δειπνοῦντα προσφέρεσθαι

Bellum Chremonideum.

Anaxarchus, philosophus Eudaemonicus.

1 Alibi rectius τραπέζαις. 2 τοιοῦτο edd. τὸ τοιοῦτον malim.

coenanti ingens sonchi copia adponeretur, *Perurbanus*, inquit, *Capaneus est, qui ab Euripide in Supplicibus inducitur, inimicus mensarum in quibus nimius ὄγκος.*

Idem Hegesander ait, oratores Athenienſium bello Chremonideo, adulantes populo, dixiſſe: *Alia quidem communia habere Athenienſes cum reliquis Graecis; ſed viam, quae homines in coelum ducat, ſolis illis cognitam eſſe.* Satyrus vero, in Vitis, *Anaxarchum*, Eudaemonicum philoſophum, in adſentatorum numero ait fuiſſe Alexandri: ad cuius latus aliquando ambulans, quum valido ac terribili fragore intonaret coelum: *An tu hoc feciſti*, inquit, *Alexander? Iovis fili!* Et ille ridens: *Non ego;* reſpondit: *nec enim volo formidabilis eſſe, quemadmodum tu me doces, monens ut ſatraparum & regum capita inter coenandum mihi ad-*

κεφαλάς. Ἀριστόβουλος δέ φησιν ὁ Κασσανδρεὺς, [1] Διώξιππον τὸν Ἀθηναῖον, παγκρατιαστὴν, τρωθέντος ποτὲ τοῦ Ἀλεξάνδρου, καὶ αἵματος ῥέοντος, εἰπεῖν·

Ἰχὼρ οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν.

LVIII. Epicrates adulator regis Persarum.

Ἐπικράτης δ' ὁ Ἀθηναῖος, πρὸς Βασιλέα πρεσβεύσας, ὥς φησιν Ἡγήσανδρος, καὶ πολλὰ δῶρα παρ' ἐκείνου λαβὼν, οὐκ ἠσχύνετο κολακεύων οὕτως b φανερῶς καὶ τολμηρῶς τὸν βασιλέα, ὡς καὶ εἰπεῖν „δεῖν κατ' ἐνιαυτὸν οὐκ ἐννέα ἄρχοντας, ἀλλ' ἐννέα πρέσβεις αἱρεῖσθαι πρὸς βασιλέα." Θαυμάζω δὲ ἔγωγε τῶν Ἀθηναίων, πῶς τοῦτον μὲν ἄκριτον εἴασαν, Δημάδην δὲ δέκα ταλάντοις ἐζημίωσαν, ὅτι θεὸν εἰσηγήσατο Ἀλέξανδρον· καὶ Εὐαγόραν [2] δ' ἀπέκτειναν, ὅτι πρεσβεύων ὡς βασιλέα προσεκύνησεν αὐτόν. Τίμων ὁ Φλιάσιος, [3] ἐν τῷ τρίτῳ τῶν Σίλλων, Ἀρί-

1 Κασανδρεὺς ms. *Epit.* 2 Τιμαγόραν oportebat. 3 Forſ. Τίμων δ' ὁ Φλιασ.

ferri iubeam. Ariſtobulus vero Caſſandrenſis ait, Dioxippum Athenienſem, pancratiaſten, vulnerato aliquando Alexandro, manante ſanguine, dixiſſe:

Ichor qualis quidem Diis fluit beatis.

58. Epicrates vero Athenienſis, ad Perſarum regem legatus miſſus, ut ait Hegeſander, cum multa ab eo dona accepiſſet, non erubuit ita publice & inſolenter adulari regi, ut diceret etiam, *quotannis non tam novem creari Archontes debere, quam novem legatos nominari ad Regem mittendos.* Demiror vero equidem Athenienſes, quo pacto hunc, non dico impunem abire paſſi ſint, ſed ne in iudicium quidem vocaverint, qui decem talentis mulctaverant Demadem, quod rogationem tuliſſet de Alexandro pro Deo habendo; Evagoram vero [*immo*, Timagoram] capitis damnaverant, quod legatus adoraſſet regem. Timon Phliaſius tertio Sillorum ait, Ariſtonem

c στωνα, φησὶ, τὸν Χῖον, Ζήνωνος δὲ τοῦ Κιτιέως γνώριμον, κόλακα γενέσθαι Περσαίου τοῦ φιλοσόφου, ὅτι [1] ἦν ἑταῖρος Ἀντιγόνου τοῦ βασιλέως. Φύλαρχος δὲ, ἐν ἕκτῳ Ἱστοριῶν, Νικησίαν φησὶ τὸν Ἀλεξάνδρου κόλακα, θεασάμενον τὸν βασιλέα σπαραττόμενον ὑφ' οὗ εἰλήφει φαρμάκου, εἰπεῖν· Ὦ βασιλεῦ, τί δεῖ ποιεῖν ἡμᾶς, ὅτε καὶ ὑμεῖς οἱ θεοὶ τοιαῦτα πάσχετε; καὶ τὸν Ἀλέξανδρον, μόλις ἀναβλέψαντα· Ποῖοι θεοί; φῆσαι· φοβοῦμαι μὴ τοῖς θεοῖσιν [2] ἐχθροί. Ἐν δὲ τῇ ὀγδόῃ καὶ εἰκοστῇ, ὁ αὐτὸς Φύλαρχος, d Ἀντιγόνου τοῦ κληθέντος Ἐπιτρόπου, τοῦ τοὺς Λακεδαιμονίους [3] ἑλόντος, κόλακα γένεσθαι Ἀπολλοφάνη, τὸν εἰπόντα τὴν Ἀντιγόνου τύχην ἀλεξανδρίζειν. Aristo Chius. Apollophanes.

LIX.

Εὔφαντος δ' ἐν τετάρτῃ Ἱστοριῶν, Πτολεμαίου, φησὶ, τοῦ τρίτου βασιλεύσαντος Αἰγύπτου, κόλακα γενέσθαι Καλλικράτην· ὃς οὕτω δεινὸς ἦν, ὡς μὴ μό- Varii variorum adulatores.

1 ὅτε ed. Caſ. 2 μή τοι θεοῖσιν ms. *A*. 3 τοὺς Λακεδ. absque τοῦ mssti. τοῦ Λακεδ. edd.

Chium, Zenonis Citiei diſcipulum, adulatorem fuiſſe Perſaei philoſophi, cum ſodalis hic eſſet Antigoni regis. Phylarchus vero, ſexto Hiſtoriarum, Niceſiam, ait, Alexandri adſentatorem, cum regem videret a medicamento quod ſumſerat torminibus cruciari: *O rex!* inquit, *nos quid faciemus, quum & vos Dii talia patiamini?* Et Alexandrum, aegre oculos tollentem, dixiſſe: *Quales dii! Vereor, ne Diis inviſi.* Libro vero vigeſimo octavo, idem Phylarchus, Antigoni illius qui Epitropos (Curator) cognominatus eſt, qui Spartam cepit, adſentatorem ait fuiſſe Apollophanem, eum qui dicere ſolebat, *fortunam Antigoni alexandrizare.*

59. Euphantus vero, quarto Hiſtoriarum, Ptolemaei tertii Aegypti regis adſentatorem fuiſſe, ait, Callicratem: qui tantus fuit in adſentando artifex, ut non mo-

νον Ὀδυσσέως εἰκόνα ἐν τῇ σφραγίδι περιφέρειν, ἀλλὰ καὶ τοῖς τέκνοις ὀνόματα θέσθαι, Τηλέγονον καὶ Ἀντίκλειαν. Πολύβιος δ', ἐν τῇ τρισκαιδεκάτῃ τῶν Ἱστοριῶν, Φιλίππου τοῦ καταλυθέντος ὑπὸ Ῥωμαίων e κόλακα γένεσθαι Ἡρακλείδην [1] τὸν Ταραντῖνον, τὸν καὶ τὴν βασιλείαν αὐτοῦ πᾶσαν ἀνατρέψαντα. ἐν δὲ τῇ τεσσαρεσκαιδεκάτῃ, Ἀγαθοκλέους, τοῦ Οἰνάνθης υἱοῦ, ἑταίρου [2] δὲ τοῦ Φιλοπάτορος βασιλέως, Φίλωνα. Ἱερωνύμου δὲ, τοῦ Συρακουσίων τυράννου, Θράσωνα, τὸν Κάρχαρον ἐπικαλούμενον, Βάτων [3] ὁ Σινωπεὺς ἱστορεῖ, ἐν τῷ Περὶ τῆς τοῦ Ἱερωνύμου τυραννίδος· προσφέρεσθαι φάσκων αὐτὸν ἑκάστοτε πολὺν ἄκρατον. τοῦτον δ' ἐποίησεν ἀναιρεθῆναι ὑπὸ τοῦ Ἱερω- f νύμου ἕτερος κόλαξ, Ὦσις ὄνομα· καὶ αὐτὸν δὲ τὸν Ἱερώνυμον ἀνέπεισε διάδημά τε ἀναλαβεῖν, [4] καὶ τὴν

1 Προκλείδην vulgo h. l. 2 ἑτέρου vulgo. 3 Κάτων edd. 4 λαβεῖν edd.

do Ulyſſis imaginem in ſigillo ſecum ferret, ſed & liberorum ſuorum alteri Telegoni, alteri Anticleae nomen imponeret. Polybius vero, decimo tertio Hiſtoriarum, adſentatorem Philippi illius, qui a Romanis ſublatus eſt, Heraclidem Tarentinum commemorat, qui etiam univerſum eius regnum evertit. Libro vero quarto decimo Agathoclis adſentatorem, Oenanthes filii, qui ſodalis Philopatoris regis erat, Philonem commemorat. Hieronymi vero, Syracuſiorum tyranni, adſentatorem Thraſonem fuiſſe, qui Carcharus (id eſt, *Aſper*) cognominatus eſt, Bato Sinopenſis narrat in libro quem de Hieronymi tyrannide compoſuit; ubi eumdem plurimo mero ſe proluere ſolitum ait. Hunc vero deinde ut e medio tolleret Hieronymus effecit alius eiusdem adſentator, cui Oſis nomen: ipſique Hieronymo perſuaſit, ut diadema ſumeret & purpuram & reliquum

πορφύραν, καὶ τὴν ἄλλην πᾶσαν διασκευὴν, ἣν ἐφόρει Διονύσιος ὁ τύραννος. Ἀγαθαρχίδης δ', ἐν τῇ τριακοστῇ τῶν Ἱστοριῶν· „Αἰρήσιππος, φησὶν, ὁ Σπαρτιάτης, ἄνθρωπος ἦν [1] οὐ μετρίως φαῦλος, οὔτε δοκῶν χρηστὸς εἶναι, πιθανὸν δ' ἔχων ἐν κολακείᾳ λόγον, καὶ θεραπεῦσαι τοὺς εὐπόρους μέχρι τῆς τύχης δεινός." Τοιοῦτος ἦν καὶ Ἡρακλείδης ὁ Μαρωνίτης, ὁ Σεύθου τοῦ Θρᾳκῶν βασιλέως κόλαξ, οὗ μνημονεύει Ξενοφῶν ἐν ἑβδόμῃ Ἀναβάσεως.

LX.

Nicostratus, abiectus Persarum adulator.

Θεόπομπος δ', ἐν ὀκτωκαιδεκάτῃ Ἱστοριῶν, περὶ Νικοστράτου Ἀργείου λέγων, ὡς ἐκολάκευσε τὸν Περσῶν βασιλέα, γράφει καὶ ταῦτα· „Νικόστρατον δὲ τὸν Ἀργεῖον πῶς οὐ χρὴ φαῦλον νομίζειν; ὃς, προστάτης γενόμενος τῆς Ἀργείων πόλεως, καὶ παραλαβὼν καὶ γένος καὶ χρήματα καὶ πολλὴν οὐσίαν παρὰ τῶν προγόνων, ἅπαντας ὑπερεβάλετο τῇ

1 ἦν deest edd. & ms. *A*.

omnem ornatum, quem gestaverat Dionysius tyrannus. Agatharchides vero, trigesimo Historiarum libro: »Haeresippus Spartanus, inquit, homo erat non mediocriter improbus, & ne speciem quidem ullam boni viri habens, singulari vero in adsentando vi persuadendi valebat; in colendis divitibus, dum fortuna floreret, mirus artifex.« Eiusmodi fuit etiam Heraclides Maronites, Seuthi Thracum regis adsentator, cuius Xenophon meminit, septimo libro de Cyri Expeditione.

60. Theopompus vero, decimo octavo Historiarum libro, de *Nicostrato* Argivo loquens, qui Persarum regi adulatus est, cum alia scribit, tum haec: »Nicostratum vero Argivum quo pacto nequitiae crimine absolvamus? Qui, cum civitati praeesset Argivorum, & genus & pecuniam & multas opes a maioribus accepisset,

κολακείᾳ καὶ ταῖς θεραπείαις, οὐ μόνον τοὺς τότε [1] στρατείας μετασχόντας, ἀλλὰ καὶ τοὺς ἔμπροσθεν b γενομένους. πρῶτον μὲν γὰρ οὕτως ἠγάπησε τὴν παρὰ τοῦ βαρβάρου τιμήν, ὥστε βουλόμενος ἀρέσκειν καὶ πιστεύεσθαι μᾶλλον, ἀνεκόμισε πρὸς βασιλέα τὸν υἱόν· ὃ τῶν ἄλλων οὐδεὶς πώποτε φανήσεται ποιήσας. ἔπειτα καθ' ἑκάστην ἡμέραν, ὁπότε μέλλοι δειπνεῖν, τράπεζαν παρετίθει χωρὶς, ὀνομάζων τῷ δαίμονι τῷ βασιλέως, [2] ἐμπλήσας σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων· ἀκούων μὲν τοῦτο ποιεῖν καὶ τῶν Περσῶν τοὺς περὶ τὰς θύρας διατρίβοντας, οἰόμενος δὲ διὰ τῆς θεραπείας ταύτης χρηματιεῖσθαι μᾶλλον c παρὰ τοῦ βασιλέως. ἦν γὰρ αἰσχροκερδὴς, καὶ χρημάτων, ὡς οὐκ οἶδ' εἴ τις ἕτερος, ἥττων. Ἀττάλου δὲ τοῦ βασιλέως ἐγένετο κόλαξ καὶ διδάσκαλος Λυσίμαχος· [3] ὃν Καλλίμαχος μὲν Θεοδώρειον ἀναγρά-

1 τοὺς τῆς τότε στρ. malles. 2 δαιμ. τοῦ βασ. edd. cum ms. *Ep.* 3 Σίμαχος ed. Ven. & Baſ. cum ms. *A.*

adulatione & ſervilibus obſequiis omnes anteivit, non modo expeditionis illius participes, ſed etiam ſuperiores. Primum enim tanti fecit honorari a Rege, ut, quo magis ſe in illius gratiam fidemque inſinuaret, filium ſuum ad Barbarum adduceret; quod nemo aliorum umquam feciſſe comperietur. Deinde quotidie, quando coenam erat capturus, ſeorſim menſam poſuit Genio regis conſecratam, cibis & rebus omnibus ad coenam pertinentibus abunde inſtructam. Nempe cum intellexiſſet a Perſis hoc fieri circa aulam regiam viventibus, eodem obſequii genere ſperabat maiores divitias a rege ſe impetraturum: erat enim turpis lucri avidus, & pecuniae ita deditus, ut neſciam an nemo magis. » Attali vero regis adſentator & praeceptor fuit Lyſimachus: quem Callimachus Theodoreum fuiſſe ſcribit,

φει, Ἕρμιππος δ' ἐν τοῖς Θεοφράστου μαθηταῖς καταλέγει. οὗτος δ' ὁ ἀνὴρ καὶ περὶ τῆς Ἀττάλου Παιδείας συγγέγραφε βίβλους, πᾶσαν κολακείαν ἐμφαινούσας. Πολύβιος δ', ἐν ὀγδόῃ Ἱστοριῶν· „Καύαρος, φησὶν, ὁ Γαλάτης, ὢν τἄλλα ἀνὴρ ἀγαθὸς, d ὑπὸ Σωστράτου τοῦ κόλακος διεστρέφετο, ὃς ἦν Χαλκηδόνιος γένος.“

LXI. Craſſus, ab adulatore proditus.

Λικινίου δὲ Κράσσου, τοῦ ἐπὶ Πάρθους στρατεύσαντος, κόλακά φησι γενέσθαι Νικόλαος, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ πρὸς ταῖς ἑκατὸν, Ἀνδρόμαχον τὸν Καρρηνόν· ᾧ τὸν Κράσσον πάντα ἀνακοινούμενον, προδοθῆναι Πάρθοις ὑπ' αὐτοῦ καὶ ἀπολέσθαι. οὐκ ἀτιμώρητος δ' ὑπὸ τοῦ δαιμονίου παρείθη ὁ Ἀνδρόμαχος. μισθὸν γὰρ λαβὼν τῆς πράξεως τὸ τυραννεῖν Καρρῶν τῆς πατρίδος, διὰ τὴν ὠμότητα καὶ βίαν ὑπὸ e τῶν Καρρηνῶν πανοικίᾳ ἐνεπρήσθη. Ποσειδώνιος δ' ὁ

Hermippus vero in Theophraſti diſcipulis numerat. Scripſit vero hic vir libros etiam de Attali Inſtitutione, omne adulationis genus prae ſe ferentes. Polybius vero, octavo Hiſtoriarum libro: »Cavarus Gallus, ait, cum caeteroquin vir bonus eſſet, a Soſtrato adſentatore, qui genere Chalcedonius erat, depravatus eſt.«

61. Licinii Craſſi vero, eius qui cum Parthis bellum geſſit, adſentatorem fuiſſe Andromachum Carrenum, Nicolaus tradit centeſimo decimo quarto Hiſtoriarum libro: quem cum omnium conſiliorum ſuorum participem Craſſus feciſſet, ab eodem proditus Parthis perditusque eſt. Nec vero impunem abire Andromachum paſſa eſt divini numinis vindicta. Nam cum mercedem proditionis accepiſſet tyrannidem Carrorum patriae ſuae, ob violentiam crudelitatemque cum tota domo crematus eſt a Carrenis. Poſidonius vero Apameenſis, is qui Rho-

Ἀπαμεὺς, ὕστερον δὲ Ῥόδιος χρηματίσας, ἐν τῇ τετάρτῃ τῶν Ἱστοριῶν, Ἱέρακα, φησὶ, τὸν Ἀντιοχέα, πρότερον λυσιῳδοῖς ὑπαυλοῦντα, ὕστερον γενέσθαι κόλακα δεινὸν Πτολεμαίου τοῦ ἑβδόμου βασιλέως, τοῦ καὶ Εὐεργέτου ἐπικληθέντος[1] καὶ τὰ μέγιστα δυνηθέντα παρ' αὐτῷ, καθάπερ καὶ παρὰ τῷ Φιλομήτορι, ὕστερον ὑπ' αὐτοῦ διαφθαρῆναι. Μιθριδάτου δ' ἀναγράφει κόλακα Σωσίπατρον, ἄνθρωπον γόητα, Νικόλαος ὁ Περιπατητικός. Θεόπομπος δ', ἐν τῇ f ἐνάτῃ τῶν Ἑλληνικῶν, Σισύφου φησὶ τοῦ Φαρσαλίου[2] κόλακα καὶ ὑπηρέτην γενέσθαι Ἀθήναιον τὸν Ἐρετριέα.

LXII. Athenienſes adulantur Demetrio.

Διαβόητος δὲ ἐγένετο ἐπὶ κολακείᾳ, καὶ ὁ τῶν Ἀθηναίων δῆμος. Δημοχάρης γοῦν, ὁ Δημοσθένους τοῦ ῥήτορος ἀνεψιὸς, ἐν τῇ εἰκοστῇ τῶν Ἱστοριῶν, διηγούμενος περὶ ἧς ἐποιοῦντο οἱ Ἀθηναῖοι κολακείας πρὸς

1 κληθέντος edd. 2 Βαρσαλίου edd.

dius poſtea cognominatus eſt, quarto Hiſtoriarum libro, Hieracem Antiochenum, ait, cum prius tibiâ ſuccinere conſueviſſet lyſiodis, ſolertiſſimum poſtea adſentatorem factum Ptolemaei ſeptimi regis, illius qui Evergetes etiam cognominatus eſt: apud quem quum plurimum poſſet, quemadmodum etiam apud Philometorem, ad extremum ab eo interfectus eſt. Mithridatis adſentatorem Soſipatrum, praeſtigiatorem hominem, Nicolaus commemorat Peripateticus. Theopompus vero, nono libro Rerum Graecanicarum, Siſyphi Pharſalii adſentatorem miniſtrumque fuiſſe ait Athenaeum Eretrienſem.

62. Famoſa etiam fuit adulatio, qua *populus* uſus eſt *Athenienſis*. Demochares quidem, Demoſthenis oratoris conſobrinus, vigeſimo Hiſtoriarum libro, adulationem exponens qua uſi ſunt Athenienſes adverſus *Poliorcetem*

a τὸν [1] Πολιορκητὴν Δημήτριον· καὶ ὅτι τοῦτ' οὐκ ἦν ἐκείνῳ βουλομένῳ, γράφει οὕτως· „Ἐλύπει μὲν καὶ τούτων ἔνια αὐτὸν, ὡς ἔοικεν. οὐ μὴν ἀλλὰ καὶ ἄλλα γε παντελῶς αἰσχρὰ καὶ ταπεινά· Λεαίνης μὲν καὶ Λαμίας Ἀφροδίτης ἱερά· καὶ Βουρίχου, καὶ Ἀδειμάντου, καὶ Ὀξυθέμιδος, τῶν κολάκων αὐτοῦ, καὶ βωμοὶ καὶ ἡρῷα καὶ σπονδαί. τούτων ἑκάστῳ [2] καὶ παιᾶνες ᾄδοντο· ὥστε καὶ αὐτὸν τὸν Δημήτριον θαυμάζειν ἐπὶ τοῖς γινομένοις, καὶ λέγειν ὅτι οὐδεὶς
b ἐπ' αὐτοῦ Ἀθηναίων γέγονε μέγας καὶ ἀδρὸς τὴν ψυχήν." Καὶ Θηβαῖοι δὲ κολακεύοντες τὸν Δημήτριον, ὥς φησι Πολέμων ἐν τῷ Περὶ τῆς Ποικίλης στοᾶς τῆς ἐν Σικυῶνι, ἱδρύσαντο ναὸν Ἀφροδίτης Λαμίας. ἐρωμένη δ' ἦν αὕτη τοῦ Δημητρίου, καθάπερ καὶ ἡ Λέαινα. Τί οὖν παράδοξον [3] οἱ Ἀθηναῖοι τῶν κολάκων [4]

1 πρός τε τὸν Πολιορ. edd. 2 Forſ. καὶ τούτων ἑκάστῳ, deletò καὶ ante βωμοὶ: aut τούτων δ' ἑκάστῳ. 3 Temere τὸ οὖν παραδ. ed. Caſ. 4 οἱ τῶν κολ. malim cum Coray.

Demetrium, ipſo etiam nolente hoc factum eſſe ſcribit his verbis: »Offenderunt etiam eum, ut opinio eſt, horum nonnulla. At illi, his non contenti, alia etiam prorſus turpia humiliaque adiecerunt: Leaenae & Lamiae Veneris templa; & Burichi, Adimanti & Oxythemidis, adſentatorum illius, aras & heroa & libationes. Et horum cuique paeanes etiam canebantur: ut ipſe quoque Demetrius, miratus quae fierent, diceret, neminem ſua aetate Athenienſium repertum qui animo eſſet magno fortique. « Sed & Thebani adulantes Demetrio, ut ait Polemon in libro, quem de Poecile Stoa (*Varie picta Porticu*) quae Sicyone eſt edidit, templum Veneri Lamiae dedicarunt: erat autem haec amaſia Demetrii, quemadmodum & Leaena. Nihil igitur magnopere mirum fecerunt Athenienſes, adulatorum illi adulatores,

κόλακες ἐποίησαν, εἰς αὐτὸν [1] τὸν Δημήτριον παιᾶνας καὶ προσόδια ᾄδοντες; Φησὶ γοῦν ὁ Δημοχάρης, ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ γράφων· „Ἐπανελθόντα δὲ τὸν Δημήτριον ἀπὸ τῆς Λευκάδος καὶ Κερκύρας εἰς τὰς Ἀθήνας, οἱ Ἀθηναῖοι ἐδέχοντο, οὐ μόνον θυμιῶντες καὶ στεφανοῦντες καὶ οἰνοχοοῦντες· ἀλλὰ καὶ προσόδια καὶ χοροὶ καὶ ἰθύφαλλοι μετ' ὀρχήσεως καὶ ᾠδῆς [2] ἀπήντων αὐτῷ, καὶ ἐφιστάμενοι κατὰ τοὺς ὄχλους ἦδον ὀρχούμενοι, καὶ ἐπᾴδοντες, ὡς εἴη μόνος Θεὸς ἀληθινὸς, οἱ δ' ἄλλοι καθεύδουσιν, ἢ ἀποδημοῦσιν, ἢ οὐκ εἰσίν· γεγονὼς δ' εἴη ἐκ Ποσειδῶνος καὶ Ἀφροδίτης· τῷ δὲ κάλλει διάφορος, καὶ τῇ πρὸς πάντας φιλανθρωπίᾳ κοινός. δεόμενοι δ' αὐτοῦ ἱκέτευον, φησὶ, καὶ προσηύχοντο." d

LXIII. Ὁ μὲν οὖν Δημοχάρης τοσαῦτα εἴρηκε περὶ τῆς

1 Vulgo οἱ εἰς αὐτὸν. 2 Temere μετ' ὀρχ. τῆς ᾠδῆς ed. Caſ.

ſi in ipſum etiam Demetrium paeanas & proſodia, qualia ab his qui ad Deorum aras accedunt cani ſolent, cecinerunt? De quibus Democharis libro primo & vigeſimo ſic ſcribit: » Athenas vero redeuntem Demetrium a Leucade & Corcyra ſic exceperunt Athenienſes, ut non modo odorum ſuffitu & coronis & libationibus eum honorarent: verum etiam proſodia & chori & ithyphalli cum ſaltatione & cantu obviam ei veniebant; & paſſim ſubſiſtentes, medias inter hominum turbas, canebant ſaltabantque, accinentes ei, *eſſe ſolum ipſum Deum vere nominatum, cum dormirent alii Dii, aut peregre abierint, aut nulli eſſent omnino: eſſeque eum Neptuno & Venere prognatum: pulcritudine praeſtantem omnibus, beneficientiâ vero omnes perinde complectentem.* Denique precibus ad eum directis, ſupplices adorabant. «

63. Haec igitur Democharis dixit de Athenienſium

Ἀθηναίων κολακείας· Δοῦρις δ' ὁ Σάμιος, ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν, καὶ [1] αὐτὸν τὸν Ἰθύφαλλον. [2] Hymnus in Demetrium Poliorceten.

Ὡς οἱ μέγιστοι τῶν θεῶν καὶ φίλτατοι
τῇ πόλει πάρεισι.
Ἐνταῦθα γὰρ Δήμητρα καὶ [3] Δημήτριος,
ἅμα παρῆν ὁ καιρός.
χ' ἡ μὲν τὰ σεμνὰ τῆς Κόρης μυστήρια
ἔρχεθ' ἵνα ποιήσῃ.
ὁ δ' ἱλαρὸς, ὥσπερ τὸν θεὸν δεῖ, καὶ καλὸς [4]
καὶ γελῶν πάρεστι.
Σεμνὸν, [5] ὅθι φαίνεθ', [6] οἱ φίλοι πάντες κύκλῳ,
ἐν μέσοισι δ' αὐτός· [7]
ε ὅμοιος, ὥσπερ εἰ φίλοι μὲν ἀστέρες,
ἥλιος δ' ἐκεῖνος.

1 κατ' αὐτὸν vulgo. 2 Adiectum malles verbum παρέθετο. Duos porro priores Carminis versiculos intercidisse existimaverat Casaub. 3 Duo verba Δήμητρα καὶ ex Casauboni coniect. adiecta. 4 καὶ καλῶς γελῶν edd. 5 σεμνὸς edd. 6 φαίνονθ' οἱ φίλοι edd. 7 δ' αὐτοῖς edd. cum ms. *A*.

adulatione: Duris vero Samius, secundo & vigesimo Historiarum, ipsum etiam Ithyphallicum carmen adposuit.

Deorum adeo maximi charissimique
visitant urbem!
Ecce enim, Demeter & Demetrius
opportune adsunt.
Et illa quidem, severa Natae mysteria,
venit, ut celebret.
At hic laetus, Deum ut decet, & pulcer,
& ridens adest.
Augustum! ubi adparet, amici circum circa,
in eorum medio ipse:
Sidera minora, diceres amicos;
ipsum, Solem.

Ὦ τοῦ κρατίστου παῖ Ποσειδῶνος θεοῦ,
χαῖρε, κ' Ἀφροδίτης. [1]
Ἄλλοι μὲν ἢ μακρὰν γὰρ ἀπέχουσιν θεοὶ,
ἢ οὐκ ἔχουσιν ὦτα,
ἢ οὐκ εἰσὶν, ἢ οὐ προσέχουσιν ἡμῖν οὐδὲ ἕν.
σὲ δὲ παρόνθ' [2] ὁρῶμεν·
οὐ ξύλινον, οὐδὲ λίθινον, ἀλλ' ἀληθινόν.
Εὐχόμεσθα δή σοι·
πρῶτον μὲν, εἰρήνην ποίησον, φίλτατε·
κύριος γὰρ εἶ σύ.
τὴν δ', οὐχὶ Θηβῶν, ἀλλ' ὅλης τῆς Ἑλλάδος
Σφίγγα περικρατοῦσαν [3]
Αἰτωλίδ', ὅς τις [4] ἐπὶ πέτρας [5] καθήμενος,
ὥσπερ ἡ παλαιὰ, [6]
τὰ σώματα ἡμῶν [7] πάντ' ἀναρπάσας φέρει·

1 καὶ Ἀφροδ. vulgo. 2 παρόντα mssti. 3 περιπατοῦσαν vulgo. 4 Αἰτωλὸς ὅς τις ms. *A.* quod verum videtur. 5 ἐπὶ πέτραν corr. Valck. 6 ἡ πάλαι vulgo. 7 σώματ' ἡμῶν ſcribunt viri docti.

Salve, potentiſſimi Dei Neptuni
fili & Veneris!
Alii enim aut abſunt Dii longius,
aut auribus carent;
aut nulli ſunt, aut non curant nos quidquam.
Te videmus praeſentem;
non ligneum, non lapideum, ſed vere ipſum.
Quare te precamur:
primum da pacem nobis, chariſſime!
tu enim potes:
tum hanc, quae non Thebas, totam ſed Graeciam
territat, Sphingem;
Aetolum hunc, in rupe qui ſedes habens,
ut illa priſca olim,
res noſtras hominesque rapiens aufert;

f κ' οὐκ ἔχω μάχεσθαι·
(Αἰτωλικὸν γὰρ, ἁρπάσαι τὰ τῶν πέλας,
νῦν δὲ καὶ τὰ πόρρω·)
μάλιστα μὲν δὴ κόλασον [1] αὐτός· εἰ δὲ μὴ,
Οἰδίπουν τιν' εὑρὲ,
τὴν Σφίγγα ταύτην ὅς τις ἢ κατακρημνιεῖ,
ἢ πεινῆν [2] ποιήσει.

Ταῦτ' ἤδον οἱ Μαραθωνομάχαι, [3] οὐ δημοσίᾳ μόνον, ἀλλὰ καὶ κατ' οἰκίαν· οἱ τὸν προσκυνήσαντα τὸν Περσῶν [4] βασιλέα ἀποκτείναντες· οἱ τὰς ἀνηρίθμους μυριάδας τῶν βαρβάρων φονεύσαντες. LXIV. Poculum amicitiae & amoris.

a Ἄλεξις γοῦν ἐν Φαρμακοπώλῃ ἢ Κρατεύᾳ, [5] προπίνοντά τινα εἰσαγαγὼν ἑνὶ τῶν συμποτῶν, καὶ λέγοντα ποιεῖ τάδε·

— — Παῖ τὴν μεγάλην δός, ἐπιχέας [6]

1 σχόλασον vulgo. 2 ἢ σπεῖνον ms. *A*. 3 Μαραθωνομάχοι edd. 4 τῶν Περσῶν, absque τὸν, edd. 5 Κρατείᾳ h. l. editt. vett. cum ms. *A*. 6 ὑποχέας vulgo.

nec reprimere ego queo:
(Aetolicum eſt enim, vicina abducere,
nunc vero etiam remota.)
tu maxime ipſe perdomes velim: quod ni,
at Oedipum mitte,
qui vel de ſaxo monſtrum illud deturbet,
vel inediâ tollat.

64. Haec cecinere illi olim in campo Marathonio victores; nec id publice ſolum, ſed & privatim in domibus; iidem qui morte mulctaverant eum, qui coram rege Perſarum ſe proſtraverat; hi qui innumeras illas barbarorum myriades interfecerant. Igitur Alexis, in Pharmacopola vel Crateva, aliquem inducens propinantem cuidam e compotoribus, haec etiam dicentem facit:

Puer maius da poculum, eique infunde

Φιλίας κυάθους [1] τῶν παρόντων τέτταρας·
τοὺς τρεῖς δ' ἔρωτος [2] προσαποδώσεις ὕστερον·
ἕν' [3] Ἀντιγόνου τοῦ βασιλέως νίκης καλῆς, [4]
καὶ τοῦ νεανίσκου κύαθον Δημητρίου· 5
— — — — Φέρε τὸν τρίτον
Φίλας Ἀφροδίτης. Χαίρετ', ἄνδρες συμπόται·
ὅσων [5] ἀγαθῶν τὴν κύλικα μεστὴν πίομαι. b

LXV.

Adſentator, noxia beſtia:

Τοιοῦτοι τότ' ἐγένοντο οἱ Ἀθηναῖοι, κολακείας, θηρίου χαλεπωτάτου, λύσσαν ἐμβαλούσης αὐτῶν τῇ πόλει· ἣν ὁ μὲν Πύθιος ἑστίαν τῆς Ἑλλάδος ἀνεκήρυξε, Πρυτανεῖον δὲ Ἑλλάδος ὁ δυσμενέστατος Θεόπομπος, ὁ φήσας ἐν ἄλλοις, πλήρεις εἶναι τὰς Ἀθήνας διονυσοκολάκων καὶ ναυτῶν, καὶ λωποδυτῶν· ἔτι δὲ ψευδομαρτύρων, καὶ συκοφαντῶν, καὶ ψευδοκλητήρων. οὓς ἐγὼ πείθομαι ὡς ἐπομβρίαν, ἤ τι δεινὸν c

1 Forſ. τοὺς τῶν. 2 ἔρωτας vulgo. 3 Abeſt vulgo ἕν'. 4 καλῶς vulgo. 5 ὅσην vulgo.

amicitiae cyathos quatuor, in quatuor praeſentium honorem:
deinde tres amoris inſuper adiicies;
unum, Antigoni regis in honorem, ob ſplendidam victoriam;
alterum, iuvenis cyathum Demetrii:
— — — his, age, adde tertium,
Philas Aphrodites. Salvete, compotores,
quot quantorumque bonorum plenum poculum bibam!

65. Tales tunc erant Athenienſes, poſtquam adulatio, funeſtiſſima bellua, rabiem iniecit eorum civitati; quam Pythius Apollo *larem Graeciae* praedicaverat, *Prytaneum* vero *Graeciae* nominavit Theopompus ille maledicentiſſimus, qui alibi dixit *plenas eſſe Athenas Dionyſiacorum adulatorum, & nautarum, & graſſatorum, tum falſis teſtibus, ſycophantis, falſis ſubſcriptoribus:* quos ego perſuaſum habeo, velut imbrem aut aliquod a Deo exi-

ἐκ θεοῦ τὴν προειρημένην πᾶσαν εἰσηγήσασθαι [1] κολακείαν. περὶ ἧς καλῶς ὁ Διογένης ἔλεγε, „Πολὺ κρεῖττον εἶναι ἐς κόρακας ἀπελθεῖν, ἢ ἐς κόλακας· οἳ ζῶντας ἔτι τοὺς ἀγαθοὺς τῶν ἀνδρῶν κατεσθίουσι. Φησὶ γοῦν καὶ Ἀναξίλας, [ἐν Νεοττίδι·] [2]

vivum hominem exedit.

Οἱ κόλακές εἰσι τῶν ἐχόντων οὐσίας
σκώληκες. εἰς οὖν ἄκακον ἀνθρώπου τρόπον
εἰσδὺς ἕκαστας ἐσθίει καθήμενος,
ἕως ἂν ὥσπερ πυρὸν ἀποδείξῃ κενόν.
d ἔπειθ' ὁ μὲν λέμμ' ἐστίν· ὁ δ' ἕτερον δάκνει. [3]

Πλάτων τ' ἐν Φαίδρῳ φησί· „Κόλακι, δεινῷ θηρίῳ καὶ βλάβῃ μεγάλῃ, ὅμως ἐπέμιξεν ἡ φύσις ἡδονήν τινα οὐκ ἄμουσον." Θεόφραστος δ' ἐν τῷ Περὶ Κολακείας φησὶ, ὡς Μύρτις μύστης, [4] ὁ Ἀργεῖος, Κλεώνυμον τὸν χορευτὴν ἅμα καὶ κόλακα, προσκαθί-

1 εἰσαγαγέσθαι edd. 2 Desunt vulgo verba ἐν Νεοττίδι: & dein Ἔνιοι κόλακές habent edd. 3 ἑτεροδακνεῖ vulgo. 4 Abest vox μύστης ms. Ep.

tium, praedictam omnem introduxisse adulationem. De qua recte Diogenes dixit, *Melius esse ad coracas* (ad corvos) *abire, quam ad colacas*, (ad adulatores;) *quippe qui bonos viros, etiam dum vivunt, devorant.* Quare etiam Anaxilas [in Iuvencula] ait:

Adulatores vere adulant divites
ita quasi vermes. Namque in hominem simplicem
sese insinuantes, hunc laedentes exedunt,
triticeum ut granum, donec vacuefecerint:
ita hic iam gluma est; ille alios admordicat.

Plato vero in Phaedro ait: » Adsentatori, noxiae belluae, & magnae pesti, admiscuit tamen natura aliquam voluptatem non inelegantem.« Theophrastus vero, in libro de Adsentatione, ait, Myrtin mystam Argivum, cum Cleonymus saltator, idemque adsentator, saepius

ζοντα πολλάκις αὐτῷ καὶ τοῖς συνδικάζουσι, βουλόμενον δὲ καὶ μετὰ τῶν κατὰ τὴν πόλιν ἐνδόξων ὁρᾶσθαι, λαβόμενος τοῦ ὠτὸς, καὶ ἕλκων αὐτὸν ἐκ τοῦ συνεδρίου, πολλῶν παρόντων εἶπεν· Οὐ χορεύσει [1] ἐν- e
θάδε, οὐδ' ἀμῶν ἀκούσει. Δίφιλος δ' ἐν Γάμῳ φησίν·

— Ὁ γὰρ κόλαξ
καὶ στρατηγὸν καὶ δυνάστην
καὶ φίλους καὶ τὰς πόλεις
ἀνατρέπει λόγῳ κακούργῳ,
μικρὸν ἡδύνας χρόνον. 5
Νῦν δὲ καὶ καχεξία τις
ὑποδέδυκε τοὺς ὄχλους·
αἱ κρίσεις θ' ἡμῶν νοσοῦσι,
καὶ τὸ πρὸς χάριν πολύ.

Διὸ καὶ Θετταλοὶ καλῶς ποιήσαντες κατέσκαψαν τὴν καλουμένην πόλιν Κολακείαν, ἣν Μηλιεῖς ἐνέμον- f

1 χορεύσεις ms. *Ep.* & dein ἀκούσῃ.

ipſi & his qui cum ipſo cauſſas iudicabant adſideret, & id adfectaret ut inter illuſtres cives conſpiceretur, aure prehenſum abſtraxiſſe e conſeſſu, multisque praeſentibus dixiſſe: *Non hîc ſaltabis, nec nos audies.* Diphilus vero, in Nuptiis, ait:

Adſentator ſcilicet
ſatrapas, duces, amicos,
civitates denique,
facile evertit, modicum oblectans
tempus verbis maleficis.
At nunc neſcio quae tabes
populis cunctis inſidet:
ipſa iudicia laborant,
victa regno gratiae.

Quare recte fecerunt Theſſali, quod oppidum cui *Colacea* (*Adulatio*) nomen erat, a Melienſibus habitatum,

το, ὡς Φησι Θεόπομπος ἐν τῇ τριακοστῇ.

LXVI. Selenci Servatoris poculum.

Κόλακας δ' εἶναι, Φησὶ Φύλαρχος, καὶ τοὺς ἐν Λήμνῳ κατοικοῦντας Ἀθηναίων, ἐν τῇ τρισκαιδεκάτῃ τῶν Ἱστοριῶν. χάριν γὰρ ἀποδιδόντας τοῖς Σελεύκου καὶ Ἀντιόχου ἀπογόνοις, ἐπεὶ αὐτοὺς ὁ Σέλευκος πικρῶς ἐπιστατουμένους ὑπὸ Λυσιμάχου οὐ
a μόνον ἐξείλετο, ἀλλὰ καὶ τὰς πόλεις αὐτοῖς ἀπέδωκεν ἀμφοτέρας, οἱ Λημνόθεν Ἀθηναῖοι οὐ μόνον ναοὺς κατεσκεύασαν τοῦ Σελεύκου, ἀλλὰ καὶ τοῦ υἱοῦ Ἀντιόχου. καὶ τὸν ἐπιχεόμενον κύαθον ἐν ταῖς συνουσίαις, Σελεύκου Σωτῆρος καλοῦσι.

Ταύτην δὲ τὴν κολακείαν τινὲς, ἐκτρεπόμενοι τοὔνομα, ἀρέσκειαν προσαγορεύουσιν. ὡς καὶ Ἀναξανδρίδης, ἐν Σαμίᾳ·

Τὸ γὰρ κολακεύειν νῦν ἀρέσκειν [1] ὄνομ' ἔχει.

b Οὐκ ἐπίστανται δὲ οἱ τὴν κολακείαν μεταχειριζόμε-

1 ἀρέσκειαν vulgo.

diruerunt; ut Theopompus ait libro trigesimo.

66. Adsentatores vero fuisse etiam illos Athenienses, qui *Lemnum* insulam incoluere, Phylarchus scribit decimo tertio Historiarum libro. Gratiam quippe relaturi posteris Seleuci & Antiochi, quod ipsos Seleucus, cum sub duro essent Lysimachi imperio, non solum liberasset, verum etiam utrumque oppidum illis reddidisset, Lemnum incolentes Athenienses non modo Seleuco, verum etiam filio eius Antiocho templa exstruxerunt: & poculum in conviviis honoris caussa extra ordinem infundi solitum, *Seleuci Servatoris poculum* adpellant.

Adulationem vero hanc nonnulli, declinantes nomen, *complacentiam* vel *comitatem* nominant. Quemadmodum & Anaxandrides, in Samia, ait:

Namque assentari, comitas nunc dicitur.

Nesciunt autem qui adsentationem profitentur, non diu

νοι, ὡς ἔστιν αὕτη ἡ τέχνη ὀλιγοχρόνιος. Ἄλεξις γοῦν φησιν ἐν Ψευδομένῳ·

Κόλακος δὲ βίος μικρὸν χρόνον ἀνθεῖ·
οὐδεὶς γὰρ χαίρει πολιοκροτάφῳ παρασίτῳ.

Κλέαρχος δ' ὁ Σολεὺς, ἐν τῷ πρώτῳ τῶν Ἐρωτικῶν· „Κόλαξ μὲν οὐδείς, φησὶ, διαρκεῖ πρὸς φιλίαν. καταναλίσκει γὰρ ὁ χρόνος τὸ τοῦ προσποιήματος αὐτῶν ψεῦδος. ὁ δ' ἐραστὴς, κόλαξ ἐστὶ φιλίας δι' ὥραν ἢ κάλλος." Τῶν δὲ Δημητρίου τοῦ βασιλέως κολάκων οἱ περὶ Ἀδείμαντον τὸν Λαμψακηνὸν, νεὼν κατασκευασάμενοι, καὶ ἀγάλματα ἱδρυσάμενοι Θριῆσιν, ὠνόμασαν Φίλας Ἀφροδίτης, καὶ τὸν τόπον Φιλαῖον ἐκάλεσαν, ἀπὸ τῆς Δημητρίου μητρὸς Φίλας· ὡς φησι Διονύσιος ὁ τοῦ Τρύφωνος, ἐν τῷ δεκάτῳ Περὶ Ὀνομάτων.

LXVII. Κλέαρχος δ' ὁ Σολεὺς ἐν τῷ ἐπιγραφομένῳ Γεργιθίῳ, καὶ πόθεν ἡ ἀρχὴ τοῦ ὀνόματος τῶν κολά-

durare eam artem. Itaque Alexis, in Mentiente, ait:

Adſentantum brevis eſt flos:
nam nemo gaudet paraſito tempora cano.

Clearchus vero Solenſis, primo Eroticorum: »Nullus adſentator, inquit, conſtans amicus eſt. Conſumit enim tempus mendacium illorum, qui amicitiam ſimulant. Amator vero, adſentator eſt & amicitiae ſimulator ob aetatis florem ſive formae pulcritudinem.« In Demetrii adſentatoribus Adimantus fuit Lampſacenus: is in pago cui Thriae nomen templum erexit, ſtatuasque poſuit, quas *Philas Aphrodites* adpellavit, ipſumque locum Philaeum nominavit, a Phila, Demetrii matre, ut Dionyſius Tryphonis narrat, libro decimo de Nominibus.

67. Clearchus vero Solensis, in libro quem *Gergithium* inſcripſit, exponit etiam unde initio nomen (&

κων παρῆλθε, διηγεῖται· καὶ αὐτὸν τὸν Γεργίθιον ὑποτιθέμενος, ἀφ' οὗ τὸ βιβλίον ἔχει τὴν ἐπιγραφήν, ἕνα γεγονότα τῶν Ἀλεξάνδρου κολάκων. διηγεῖται δὲ οὕτως· „Τὴν κολακείαν ταπεινὰ ποιεῖν τὰ ἤθη τῶν κολάκων, καταφρονητικῶν ὄντων τῶν περὶ αὐτούς. σημεῖον δὲ, τὸ πᾶν ὑπομένειν εἰδότας οἷα τολμῶσι. τὰ δὲ τῶν κολακευομένων ἐμφυσωμένων τῇ κολακείᾳ χαύνους καὶ κενοὺς ποιοῦντα, πάντων ἐν ὑπεροχῇ παρ' αὐτοῖς ὑπολαμβάνεσθαι, κατασκευάζεσθαι." [1] Ἐξῆς τε διηγούμενος περί τινος μειρακίου, Παφίου μὲν τὸ γένος, βασιλέως δὲ τὴν τύχην· „Τοῦτο, φησὶ, τὸ μειράκιον (οὐ λέγων αὐτοῦ τοὔνομα) κατέκειτο δι' ὑπερβάλλουσαν τρυφὴν ἐπὶ ἀργυρόποδος κλίνης, ὑπεστρωμένης Σαρδιανῇ ψιλοτάπιδι τῶν πάνυ πολυτε- Clearchi Solensis Gergithius.

1 In loco isto difficili ac parum emendato, in reliquaque tota Clearchi disputatione, nihil praesidii obtulere mssti libri, mire ambo inter se & cum editis consentientes. Nullam satis probabilem Graeca emendandi rationem cernens, sententiam in Latina versione, utcumque potui, partim hariolando, partim presse Graeca verba sequendo, expressi.

genus) adsentatorum progressum sit. In eo libello ipsum illum Gergithium, cuius nomen titulus praefert, statuit unum ex Alexandri fuisse adsentatoribus. Exponit vero ita. »Adsentationem, ait, humiles reddere animos moresque adsentatorum; quandoquidem illos fere contemnunt hi quibuscum versantur. Argumento esse, quod omnia patiantur, bene gnari quid sit quod illi audeant. Tum vero, cum iam per se inflati sint ii, quibus adsentantur, prorsus etiam vanos futilesque eos sua adulatione reddunt, faciuntque ut supra omnes alios elatos se illi existiment.« Tum de adolescentulo quodam verba faciens, Paphio genere, conditione rege: »Hic adolescentulus ait, (nomen eius non edidit) ob immodicum luxum cubabat in lectulo pedibus fulto argenteis, constrato tapete nudo Sardiano ex eo genere

λῶν. ἐπεβέβλητο δ' αὐτῷ πορφυροῦν ἀμφίταπον ἀμοργίνῳ καλύμματι περιειλημμένον. [1] προσκεφάλαια δ' εἶχε τρία μὲν ὑπὸ τῇ κεφαλῇ βύσσινα παραλουργῆ, δι' ὧν ἠμύνετο τὸ κάλυμμα· [2] δύο δ' ὑπὸ τοῖς ποσὶ ὑσγινοβαφῆ τῶν Δωρικῶν καλουμένων· ἐφ' ὧν κατέκειτο λευκῇ χλαμύδι." [3]

LXVIII. Colacum munus apud reges Cypri.

„Παραδεδεγμένοι δ' εἰσὶ πάντες οἱ κατὰ τὴν f Κύπρον μόναρχοι τὸ τῶν εὐγενῶν κολάκων γένος, ὡς χρήσιμον. πάνυ γὰρ τὸ κτῆμα τυραννικόν ἐστι. καὶ τούτων, οἷον Ἀρεοπαγιτῶν τινων, οὔτε τὸ πλῆθος, οὔτε τὰς ὄψεις, ἔξω τῶν ἐπιφανεστάτων, οἶδεν οὐδείς. Διῃρημένων δὲ διχῇ κατὰ συγγένειαν τῶν ἐν τῇ Σαλαμῖνι κολάκων, ἀφ' ὧν εἰσιν οἱ κατὰ τὴν ἄλλην Κύπρον κόλακες, τοὺς μὲν Γεργίνους, τοὺς δὲ Προ-

1 Nescio an περιειλημένον. 2 τὸ καῦμα coni. Casaubonus. 3 ἐν λευκῇ χλανίδι coni. Casaubonus.

qui sunt pretiosissimi. Superne corpori iniectus erat purpureus tapes utrimque villosus, cui amorginum tegmen circumdatum erat. Tres autem habebat pulvinos byssinos purpureis fimbriis praetextos, quibus se defendebat ne tegmen ipsi incommodaret: [*seu*, quibus ab aestu se defendebat:] duos vero a pedibus, hysgino tinctos, ex eo genere qui Dorici vocantur: super his recumbebat candida laena indutus."

68. »Est autem vetusto usu apud omnes *Cypri* reges receptum *nobilium Colacum* (sive *Adsentatorum*) *genus*, tamquam rebus ipsorum utile. Inprimis enim commodum est tyranno, tales homines in parato habere. Horum autem, quasi quidam Areopagitae essent, neque numerum, neque faciem, exceptis illustrissimis, novit nemo. Iam qui in urbe Salamine sunt Colaces, a quibus omnes in reliqua Cypro Colaces originem traxerunt, in duas distribuuntur familias, unam eorum qui *Gergini* adpellantur, alteram eorum qui *Promalanges*. (vel

a μάλαγγας [1] προσαγορεύουσιν. ὧν οἱ μὲν Γεργῖνοι συναναμιγνύμενοι τοῖς κατὰ τὴν πόλιν, ἔν τε τοῖς ἐργαστηρίοις καὶ ταῖς ἀγοραῖς, ὠτακουστοῦσι, κατασκόπων ἔχοντες τάξιν· ὅ τι δ' ἂν ἀκούσωσιν, ἀναφέρουσιν ἑκάστης ἡμέρας πρὸς τοὺς καλουμένους ἄνακτας. οἱ δὲ Προμάλαγγες ζητοῦσιν ἀντὶ τῶν ὑπὸ τῶν Γεργίνων προσαγγελθέντων [2] ὅ τι ἂν ἄξιον εἶναι ζητήσεως δόξῃ, ὄντες τινὲς ἐρευνηταί. καὶ τούτων οὕτως [3] ἔντεχνος καὶ πιθανὴ πρὸς ἅπαντας ἡ ἔντευξις, ὥς τ' ἐμοί γε δοκεῖ, καθάπερ καὶ αὐτοί φασι, παρ' ἐκείνων
b εἰς τοὺς ἔξω τόπους διαδεδόσθαι [4] τὸ σπέρμα τῶν ἐλλογίμων κολάκων. καὶ γὰρ οὐχ οἷον μετρίως ἐπὶ τῷ πράγματι σεμνύνονται, διὰ τὸ τετιμῆσθαι παρὰ τοῖς βασιλεῦσιν· ἀλλὰ καὶ λέγουσιν, ὅτι τῶν Γεργίνων τις, ἀπόγονος ὢν τῶν Τρώων ἐκείνων, οὓς Τεῦκρος

1 Προμαλάγγους h. l. mssti. 2 προσανεχθέντες ms. *Epit.* Nempe προσανεχθέντων debuerat. 3 ἐρευνηταὶ καὶ τούτων. οὕτως &c. ed. Caſ. In edd. vett. plura hîc deſiderabantur. 4 διαδίδοσθαι edd.

Promalangi.) Ex his Gergini, immiſcentes ſe oppidanis, cum in artificum officinis, tum in foris, auſcultant ſermones, ſpeculatorum vice fungentes: & quidquid audiverunt, id quotidie regiis principibus, quos ἄνακτας vocant, renunciant. Tum Promalanges eorum cauſſa, quae ab his renunciata ſunt, uberius inquirunt, ſi quid inquiſitione dignum viſum eſt; ſuntque veluti inveſtigatores. Et ſunt horum congreſſus & colloquia cum omnibus ita artificioſa atque blanda, ut verum mihi videatur id quod ipſi profitentur, ab his in extera loca ſparſum eſſe ſemen illuſtrium adſentatorum. Nec enim mediocriter ſua arte gloriantur, quod in honore ſunt apud reges: verum etiam narrant, Gerginorum aliquem, ex illo Troianorum genere oriundum, quos ex captivis

ἀπὸ τῶν αἰχμαλώτων κατακτησάμενος, εἰς Κύπρον ἔχων ἀπῴκησεν, [1] οὗτος διὰ τῆς παραλίας μετ' ὀλίγων [2] στείλας ἐπὶ τῆς Αἰωλίδος κατὰ πύστιν ἅμα καὶ οἰκισμὸν τῆς τῶν προγόνων χώρας, πόλιν οἰκίσειε περὶ τὴν Τρωϊκὴν Ἴδην, συμπαραλαβών τινας τῶν Μυ- c
Gergitha oppidum, olim Gergina. σῶν. ἡ πάλαι μὲν ἀπὸ τοῦ γένους Γέργινα, νῦν δὲ Γέργιθα κέκληται. τούτου γὰρ, ὡς ἔοικε, τοῦ στόλου τινὲς ἀποσπασθέντες, ἐν τῇ Κυμαίᾳ κατέσχον, ἐκ Κύπρου τὸ γένος ὄντες· ἀλλ' οὐκ ἐκ τῆς Θετταλικῆς Τρίκκης, καθάπερ τινὲς εἰρήκασιν, ὧν ἰατρεῦσαι τὴν ἄγνοιαν οὐδ' Ἀσκληπιάδαις τοῦτό γε νομίζω δεδόσθαι."

LXIX.

Adulatrices Climacides.

„Γεγόνασι δὲ παρ' ἡμῖν καὶ ἐπὶ Γλούτου Καρὸς [3] καὶ γυναῖκες ὑπὸ τὰς ἀνάσσας, αἱ προσαγορευθεῖσαι κολακίδες. ἀΦ' ὧν ὑπολιπεῖς τινες εἰς τὸ πέ- d
ραν ἀΦικόμεναι, μετάπεμπτοι πρός τε τὰς Ἀρταβά-

1 ἀπῴκισεν edd. 2 μετ' ὀλίγου edd. 3 Γλαῦ του Καρὸς coni. Cas.

sibi Teucer adiunxit, cum eisque in Cyprum habitatum conceſſit, illum igitur Gerginum, aiunt, paucis comitantibus ſecundum oram maritimam verſus Aeolidem navigaſſe, priſcas maiorum ſedes exquiſiturum inſtauraturumque; adſumtisque Myſorum nonnullis, oppidum circa Idam montem Troadis condidiſſe. Oppidumque illud olim quidem a familiae nomine, unde ortum duxit, *Gergina* nominata eſt; nunc vero *Gergitha* vocatur. Videntur enim nonnulli ex iſta navigatione abſtracti in Cumaeorum regione adpuliſſe, Cyprii genere, non ex Theſſalica Tricca, ut adfirmarunt nonnulli; quorum mederi errori ne Aſclepiadis quidem datum eſſe arbitror."

69. »Fuerunt vero apud nos etiam ſub Gluto [*ſive* Glo] Care foeminae quoque principibus matronis addictae, quae *Colacides* (*ſive*, Adſentatrices) adpellabantur. Quarum reliquae nonnullae, quae cis mare ad-

ζου καὶ τὰς Μέντορος γυναῖκας, κλιμακίδες μετωνομάσθησαν ἀπὸ τοιαύτης πράξεως· ταῖς μεταπεμψαμέναις ἀρεσκευόμεναι, κλίμακα κατεσκεύαζον ἐξ ἑαυτῶν οὕτως, ὥστε ἐπὶ τοῖς νώτοις αὐτῶν τὴν ἀνάβασιν γίγνεσθαι καὶ τὴν κατάβασιν ταῖς ἐπὶ τῶν ἁμαξῶν ὀχουμέναις. εἰς τοῦτο τρυφῆς, ἵνα μὴ ἀβλιότητος εἴπω, προηγάγοντο τεχνώμεναι τὰς ἀφρονεστάτας. τοιγαροῦν αὗται μὲν, ἐκ τῶν λίαν μαλακῶν ὑπὸ τῆς
e τύχης [1] μεταβιβασθεῖσαι, σκληρῶς ἐβίωσαν ἐπὶ γήρως. αἱ δὲ, τῶν παρ' ἡμῖν ταῦτα διαδεξάμεναι,[2] ἐκπεσοῦσαι τῆς ἐξουσίας, κατῆραν εἰς Μακεδονίαν· καὶ τὰς τῶν ἐκεῖ κυρίας τε καὶ βασιλίδας ὃν τρόπον ταῖς ὁμιλίαις διέθεσαν,[3] οὐδὲ λέγειν καλόν. πλὴν ὅτι μαγεύομεναι καὶ μαγεύουσαι ταυροπόλοι καὶ[4] τριοδοί τινες αὗται πρὸς ἀλήθειαν ἐγένοντο, πλήρεις πάντων

1 τέχνης edd. cum ms. *Ep.* 2 διαδεξαμένων edd. cum ms. *A.* Omisit Epit. διδαξάμεναι corrigebat Wesseling. 3 ἀνέθεσαν edd. cum ms. *A.* 4 Ταυροπολικὰ, absque καὶ, edd. cum ms. *A.*

venerunt, ad Artabazi & Mentoris uxores accitae, mutato nomine *climacides* (id est, *scalulae*) adpellatae sunt, nomine a re ipsa desumto, quae erat huiusmodi. Quo placerent mulieribus, a quibus erant arcessitae, scalam efficiebant ex se ipsis, ita ut per ipsarum terga illae, quoties carpentis vherentur, & adscenderent & descenderent. Eo luxuriae, ne miseriae dicam, sua arte stultissimas illas adduxere. Itaque hae, ex mollissima vita per fortunam deiectae, duram in senectute vitam vixerunt: illae vero, quae ab his nostris ista acceperant, postquam potestate exciderunt, in Macedoniam delatae sunt: ubi rerum dominas reginasque quales sua consuetudine reddiderint, ne eloqui quidem honestum est. Verbo dicam, magicas artes & in se & in aliis exercentes, tauropolae ac vere dixerim triviae quaedam fa-

ἀποκαθαρμάτων. Τοσούτων ἔοικε καὶ τοιούτων ἡ κολακεία κακῶν αἰτία γένεσθαι τοῖς διὰ τοῦ κολακεύεσθαι [1] προσδεξαμένοις αὐτήν." f

LXX.

Adulatorum tria genera, iuxta Clearchum.

Προελθὼν δὲ πάλιν ὁ Κλέαρχος καὶ τάδε φησίν. „Ἀλλ' ἤδη τῇ τούτων χρείᾳ μέμψαιτ' ἄν τις τὸ μειράκιον, ὥσπερ [2] εἶπον. οἱ μὲν γὰρ παῖδες μικρὸν ἄπωθεν τῆς κλίνης ἐν χιτωνίσκοις ἑστασαν. τριῶν δ' ὄντων ἀνδρῶν δι' οὓς δὴ νῦν ὁ πᾶς λόγος ἐνέστηκε, καὶ τούτων ὄντων ἐπωνύμων παρ' ἡμῖν, ὁ μὲν εἷς ἐπὶ τῆς κλίνης πρὸς ποδῶν καθῆστο, τοὺς τοῦ μειρακίου πόδας ἐπὶ τοῖς αὐτοῦ [3] γόνασι λεπτῷ ληδίῳ συνημφιακώς. ὁ δὲ ἐποίει [4] δήπου, καὶ μὴ λέγοντος οὐκ ἄδηλον. καλεῖται δ' οὗτος ὑπὸ τῶν ἐγχωρίων Παράβυστος, διὰ τὸ καὶ τῶν μὴ παραδεχομένων ὅμως τεχνικώτατα κολακεύων παρεμπίπτειν ἐς τὰς ὁμιλίας. a

1 Suspectum h. l. verbum κολακεύεσθαι. 2 ὅπερ suspicatus sum: sed nec alia satis integra aut emendata. 3 αὐτοῦ ms. *A.* ἑαυτοῦ ms. *Epit.* 4 ἐπόει mssti.

ctae sunt omni genere immunditierum plenae. Talium tantorumque malorum caussa adulatio his est, qui eius lenocinio demulsi eam admittunt.«

70. In progressu vero sermonis rursus haec dicit Clearchus: »Iam vero ob istarum rerum usum merito aliquis reprehenderit illum, quem dixi, adolescentulum. Pueri enim ex modico intervallo ab lectulo stabant tunicis vestiti. Cum vero tres sint viri, quorum caussa nunc instituta est tota haec disputatio, quorum etiam cuique apud nos proprium a re ipsa cognomen est: eorum unus lectulo a pedibus adsidebat, qui pedes adolescentuli suis genibus impositos tenui veste contegebat; qui quid porro fecerit, etiam me non dicente haud obscurum est. Vocatur autem hic ab indigenis *Parabystus*; (*intrusus:*) quia in eorum etiam consuetudinem, qui non sponte eum recipiunt, artificiosa sua adulatio-

Ἄτερος δ' ἦν ἐπί τινος δίφρου κειμένου παρ' αὐτὴν τὴν κλίνην· καὶ τοῦ νεανίσκου τὴν χεῖρα παρεικότος ἐκκρεμάμενος, [1] ταύτῃ καὶ προσπεπτωκὼς κατέψηχέ τε, [2] καὶ τῶν δακτύλων ἕκαστον ἐν μέρει διαλαμβάνων εἵλκέ τε καὶ ἐξέτεινεν· ὥστε τὸν πρῶτον αὐτὸν ἐπονομάσαντα Σικύαν, εὐστόχως εἰρηκέναι δοκεῖν. Ὁ δὲ τρίτος ὁ Θὴρ ὁ γενναιότατος, ὅσπερ ἦν τῆς ὑπηρεσίας πρωταγωνιστὴς, προσεστηκὼς αὐτῷ κατὰ κεφαλὴν, μετεῖχε τῶν βυσσίνων προσκεφαλαίων, ἀποκεκλιμένος εἰς αὐτὰ πάνυ φιλικῶς. καὶ τῇ μὲν ἀριστερᾷ τὸ τοῦ μειρακίου τριχωμάτιον ἐπικοσμῶν, τῇ δεξιᾷ δὲ Φωκαϊκὸν ψῦγμά τι [3] διακινῶν ὡς αἰωρῶν [4] ἡδὺς ἦν, ἀλλ' οὐκ ἀποσοβῶν. διό μοι δοκεῖ ἂν αὐτῷ δαίμων τις ἐλευθέριος νεμεσήσας ἐφῆσαι τῷ μειρακίῳ μυῖαν,

1 Iungunt alii ἐκκρεμάμενος ταύτῃ: ubi ταύτης ſaltem oportebat.
2 κατέψυχέ τε edd. 3 ψῦγμά τι edd. vett. cum msstis.
4 ὡς αἰώραν videtur leg. cum Caſaub.

ne ſeſe ingerit. Alter in ſella quadam ſedebat iuxta ipſum lectulum poſita: & ab adoleſcente totus pendens, cum manum ille languide demitteret, cupide eam prehendens demulcebat, & digitos ſingulos viciſſim prehenſos trahebat & extendebat: ut apte adpoſiteque dixiſſe videatur is qui primus *Sicyam* (i. e. *cucurbitulam*) hunc adpellavit. Tertius vero, nobiliſſimus, *Ther* cognominatus, (id eſt, *Fera*; ſive, *Leo*,) qui totius miniſterii anteſignanus erat, ad caput eius adſtans, byſſinorum cervicalium eiusdem particeps erat, familiariter admodum in iis reclinatus. Et laevâ quidem manu molliusculum adoleſcentuli capillum adornabat: dextrâ vero Phocaicum flabellum ultro citroque movens, veluti oſcillans, [*vel*, veluti oſcillam,] iucundus erat; ſed ita leniter id faciebat, ut non idcirco muſcae prorſus arcerentur. Quare iratus ei aliquis Deus ingenuſs muſcam adoleſcentulo immiſit, non aliam atque illam cuius

οὐκ ἄλλην ἢ ἐκείνην, ἧς [1] καὶ τὴν Ἀθηνᾶν φησιν Ὅ- c
μηρος ἐνεῖναι τῷ Μενελάῳ τὸ θάρσος, οὕτως ἦν ἐῤῥω-
μένη καὶ ἄφοβος τὴν ψυχήν. δηχθέντος δὲ τοῦ μειρα-
κίου, τηλικοῦτον ἀνέκραγεν ἄνθρωπος ὑπὲρ ἐκείνου,
καὶ οὕτως ἠγανάκτησεν, ὥστε διὰ τὴν πρὸς μίαν
ἔχθραν ἁπάσας ἐκ τῆς οἰκίας ἤλαυνεν. ὅθεν καὶ φα-
νερὸς ἐγένετο πρὸς τοῦτῳ τεταχὼς αὐτόν."

LXXI. Ἀλλ' οὐ Λεύκων τοιοῦτος ἦν ὁ Ποντικὸς τύραν-
νος· ὃς ἐπεὶ συχνοὺς τῶν φίλων ᾔσθετο σεσυληκότας
ὑπό τινος [2] τῶν περὶ αὐτὸν [3] κολάκων, συνιδὼν τὸν
ἄνθρωπον [4] διαβάλλοντά τινα τῶν λοιπῶν φίλων· d
„Ἀπέκτεινα ἂν, εἶπε, σὲ, νὴ τοὺς θεοὺς, εἰ μὴ πο-
νηρῶν ἀνδρῶν ἡ τυραννὶς ἐδεῖτο." Ἀντιφάνης δ' ὁ κω-
μῳδιοποιὸς, ἐν Στρατιώτῃ, τὰ ὅμοια λέγει περὶ τῆς
τῶν ἐν Κύπρῳ βασιλέων τρυφῆς. ποιεῖ δέ τινα ἀνα-
πυνθανόμενον στρατιώτου τάδε·

Tyrannus opus habet ſceleſtis miniſtris.

1 Vulgo ὡς, pro ἧς. 2 Vulgo ὑπὸ τῶν, absque τινός. 3 Temere περὶ ἑαυτῶν edd. 4 συνιδὼν ἄνθρ. edd. absque artic.

audaciam a Minerva immiſſam Menelao eſſe Homerus ait: ita valida erat, & animo interrito. Cum igitur morderetur adoleſcens, tam immaniter exclamavit hic homo pro illo, atque ita iratus eſt, ut unius illius muſcae odio omnes aedibus expelleret. Ex quo etiam adparuit, ad hoc miniſterium illum ſe conſtituiſſe. «

71. Talis vero non fuit *Leuco*, Ponticus tyrannus: qui, quum multos ſuorum amicorum intellexiſſet ſpoliatos eſſe ab uno ex adulatoribus qui circa ipſum verſabantur, audiretque eumdem cum aliquem e reliquis amicis calumniaretur: *Occiderem te*, inquit, *per Deos; niſi opus eſſet tyrannidi hominibus ſceleſtis.* Quod vero ad luxuriam ſpectat regum Cypri, ſimilia (his quae Clearchus ſcripſit) ait Antiphanes comicus in Milite; ubi quemdam inducit quaerentem ex milite:

Α. Ἐν δὴ [1] Κύπρῳ φῂς, εἰπέ μοι, διήγετε
πολὺν χρόνον; Β. Τὸν πάνθ' ἕως ἦν ὁ πόλεμος.
Α. Ἐν τίνι τόπῳ μάλιστα; λέγε γάρ. Β. Ἐν
Πάφῳ·
οὗ πρᾶγμα τρυφερὸν διαφερόντως ἦν ἰδεῖν,
ἄλλως γ' ἄπιστον. Α. Ποῖον; Β. Ἐρρίπίζετο
ὑπὸ τῶν περιστερῶν, ὑπ' ἄλλου δ' οὐδενὸς,
δειπνῶν ὁ βασιλεύς. Α. Πῶς; ἐάσας τἀμὰ γὰρ
ἐρήσομαί σε τοῦτο, πῶς; Β. Ἠλείφετο
ἐκ τῆς Συρίας ἥκοντι τοιούτῳ μύρῳ
καρποῦ συχνοῦ, [2] ὃν φασι τὰς περιστερὰς
τρώγειν. διὰ τὴν ὀσμὴν δὲ τούτου πετόμεναι
παρῆσαν, οἷαί τ' ἦσαν ἐπικαθιζάνειν
ἐπὶ τὴν κεφαλήν· παῖδες δὲ παρακαθήμενοι
ἐσόβουν. ἐπαίρουσαι δὲ μικρὸν, οὐ πολὺ
τοῦ μήτ' ἐκεῖσε, μήτε δεῦρο παντελῶς,

1 δὴ abeſt msstis. 2 συχνοῦ γ', edd. Mihi συχνὸν legendum videbatur.

A. In Cypro, dic mihi, multum vos ais temporis eſſe verſatos? B. Quamdiu duravit bellum. A. Quonam loco maxime? dic quaeſo. B. Paphi: ubi rem videre licuit mire luxurioſam, & alioquin ſane incredibilem. A. Qualem? B. Refrigerabant auram columbae, nihilque aliud, coenanti regi. A. Quo pacto? omittens enim meas res ex te hoc quaero, quomodo? B. Ungebatur ille e Syria adlato tali unguento ex fructu, quo frequente aiunt veſci columbas. Illae igitur odore attractae advolabant; in eoque erant ut inſiderent capiti: ſed adſidentes pueri arcebant. Igitur parum ſe adtollentes, ut nec admodum procul avolarent, nec prorſus hic adeſſent,

οὕτως ἀνερρίπιζον, ὥστε σύμμετρον
αὐτῷ τὸ πνεῦμα, μὴ περίσκληρον, ποιεῖν.

LXXII. „Εἴη οὖν ἂν ὁ τοῦ προειρημένου μειρακίου κό- a
Adsentator Proteus. λαξ μαλακοκόλαξ, ὥς φησιν ὁ Κλέαρχος. πρὸς γὰρ τῷ τοιούτῳ [1] κολακεύειν, καὶ τὸ σχῆμα [2] τῶν κολακευομένων ἐπακολουθοῦν [3] ἀποπλάττεται, παραγκωνίζων καὶ σπαργανῶν ἑαυτὸν τοῖς τριβωναρίοις. [4] ὅθεν αὐτὸν οἱ μὲν παραγκωνιστὴν, οἱ δὲ σχηματοθήκην καλοῦσι. κατ' ἀλήθειαν γὰρ ὁ κόλαξ ἔοικεν εἶναι τῷ Πρωτεῖ ὁ αὐτός. γίγνεται γοῦν παντοδαπὸς οὐ μόνον κατὰ τὴν μορφὴν, ἀλλὰ καὶ κατὰ τοὺς λόγους· οὕτω ποικιλόφωνός τις ἐστίν." [5]

Etymologia vocabuli κόλαξ. Ἀνδροκύδης δ' ὁ ἰατρὸς ἔλεγε τὴν κολακείαν ἔχειν b
τὴν ἐπωνυμίαν ἀπὸ τοῦ προσκολλᾶσθαι ταῖς ὁμιλίαις.

1 τῷ οὕτω κολακ. ms. *Epit.* In sequentibus verbis non satis integra videtur oratio. 2 Forte τ ῷ τῶν κολακ. 3 ἐπακολουθῶν ms. *Epit.* 4 τριβωνίοις edd. 5 ποικιλόφρων τίς ἐστιν. edd.

sic flabellabant, ut modicum illi
ventum, neutiquam moleſtum, praeſtarent.

72. »Fuerit igitur praedicti adoleſcentuli adulator *malacocolax*;« ut ait Clearchus: id eſt, *mollitiei adulator.* [Sed & alia nomina habet.] Nam, praeterquam quod tali homini adulatur, habitum etiam formamque conſentientem his quibus adulatur fingit: & [modo ferox] cubito propellit alios dimovetque, [modo humilis] involvit ſe panniculis. Quare etiam alii eum *paranconiſten* adpellant, id eſt, *cubito depulſorem*; alii *ſchematothecam*, id eſt, *variarum formarum promptuarium.* Vere enim adſentator idem atque *Proteus* eſſe videtur. Fit enim multiplex & omnifarius, non modo quod ad formam adtinet, ſed & quod ad ſermonem: ita variare vocem novit.«

Androcydes vero medicus κολακείαν inde nomen habere ait, quod προσκολλᾶται adulator, id eſt, *adglutinat ſe* his, quorum ad conſuetudinem ſe adplicat. Mihi ve-

Ἐμοὶ δὲ δοκεῖ διὰ τὴν εὐχέρειαν, ὅτι πάντα ὑποδύεται, ὡς δή τις ὑποστατικὸς νωταγωγῶν τῷ τῆς ψυχῆς ἤθει, καὶ οὐ βαρυνόμενος οὐδενὶ τῶν αἰσχρῶν.

Οὐκ ἂν διαμάρτοι δέ τις, τὸν τοῦ μειρακίου τούτου τοῦ Κυπρίου βίον ὑγρὸν ὀνομάζων. οὗ πολλοὺς καὶ διδασκάλους φησὶν εἶναι Ἀθήνησιν Ἀλεξις ἐν Πυραύνῳ λέγων οὕτως· Uvida vita.

c Πεῖραν ἐπεθύμουν θατέρου βίου λαβεῖν,
ὃν πάντες εἰώθασιν ὀνομάζειν ὑγρόν.
Τρεῖς ἐν Κεραμεικῷ περιπατήσας ἡμέρας,
διδασκάλους ἐξεῦρον οὗ λέγω βίου
ἴσως τριάκοντ' [1] ἀφ' ἑνὸς ἐργαστηρίου.

Καὶ Κρώβυλος, ἐν Ἀπολιπούσῃ·

— — Πάλιν ἡ τοῦ βίου
ὑγρότης με τοῦ σοῦ τέθαφε. [2] τὴν ἀσωτίαν

1 Forſ. τριάκοντά γ'. 2 Mendoſe vulgo τέθαιφε: & inverſo verborum ordine τέθαιφε τοῦ σοῦ edd.

ro videtur a facilitate nominatus eſſe, quod omnia ſubeat, veluti patiens quidam baiulus & doſſuarius animi moribus, nihil graviter ferens, quamvis turpe fuerit.

Nec vero erraverit ſi quis vitam Cyprii illius adoleſcentuli *uvidam* nominaverit: cuius vitae multos etiam magiſtros Athenis reperiri Alexis dicit in Pyrauno, (*id eſt*, Igniario,) ubi ait:

Experimentum capere diverſae illius vitae cupiebam,
quam ſolent omnes nominare uvidam.
In Ceramico per triduum obambulans,
magiſtros reperi hulus quam dico vitae,
ex una officina, triginta circiter.

Et Crobylus, in Muliere-deſertrice:

— — *Rurſus vitae*
udor me tuae ſtupefecit. Nam luxuriam

ὑγρότητα γὰρ νῦν προσαγορεύουσιν τινές.

LXXIII. Ars adsentandi.

Ἀντιφάνης δ' ἐν Λημνίαις, τέχνην τινὰ εἶναι ὑποτίθεται τὴν κολακείαν, ἐν οἷς λέγει· [1] d

Εἶτ' ἔστιν, ἢ γένοιτ' ἂν, ἡδίων τέχνη,
ἢ πρόσοδος ἄλλη, τοῦ κολακεύειν εὐφυῶς;
Ὁ ζωγράφος πονεῖ τί καὶ πικραίνεται;
ὁ γεωργὸς ἐν ὅσοις ἐστὶ κινδύνοις; πάλιν
πρόσεστι πᾶσιν ἐπιμέλεια καὶ πόνος. 5
Ἡμῖν δὲ μετὰ γέλωτος ὁ βίος καὶ τρυφῆς.
οὗ γὰρ τὸ μέγιστον ἔργον ἐστὶ παιδιὰ,
ἁδρὸν γελάσαι, σκῶψαί τιν', ἐκπιεῖν πολύν, e
οὐχ ἡδύ; ἐμοὶ μὲν μετὰ τὸ πλουτεῖν δεύτερον.

Κεχαρακτήρικε δὲ, ὡς ἔνι μάλιστα ἐπιμελῶς, τὸν κόλακα Μένανδρος ἐν τῷ ὁμωνύμῳ δράματι, ὡς καὶ τὸν παράσιτον Δίφιλος ἐν Τελεσίᾳ. Ἄλεξις δ' ἐν Κα-

1 Repetuntur vulgo h. l. verba, ἐν ταῖς Λημνίαις.

udorem hodie nonnulli nominant.

73. Esse vero *Artem* quamdam *adsentandi*, statuit Antiphanes in Lemniis, ubi ait:

Ecqua est aut esse potest ars venustior,
aut quaestus melior, quam adsentandi industria?
Pictor laborat, & sibi ipse irascitur:
multis periclis agricola est obnoxius:
circumstant alios moestae sollicitudines.
At nobis vita in risu & deliciis fluit.
Haec ergo, summus in qua labor est ludere,
ridere, & irridere, & potare affatim,
non suavis? mihi certe a divitiis proxima.

Characterem vero Adsentatoris quam fieri potest diligentissime Menander expressit in cognomine fabula; quemadmodum Parasiti mores & ingenium Diphilus in

ταψευδομένῳ, λέγοντά τινα κόλακα τοιαῦτα παρεισάγων, φησίν·

— Εὐδαίμων ἐγὼ, μὰ τὸν Δία
f τὸν Ὀλύμπιον, καὶ τὴν Ἀθηνᾶν· οὐχ ὅτι
ἐν τοῖς γάμοισιν, ἄνδρες, εὐωχήσομαι,
ἀλλ' ὅτι διαῤῥαγήσομ', ἂν θεὸς θέλῃ.
τούτου δέ μοι γένοιτο τοῦ θανάτου τυχεῖν.

Δοκεῖ δέ μοι οὗτος, ἄνδρες φίλοι, ὁ καλὸς γάστρις, οὐκ ἂν ὠκνηκέναι εἰπεῖν καὶ τὰ ἐξ Ὀμφάλης Ἴωνος τοῦ τραγῳδιοποιοῦ·

Ἐνιαυσίαν γὰρ δεῖ με τὴν ἑορτὴν λέγειν
οἷον καθημερινήν. — —

LXXIV. Cnopus Erythraeus, ab adulatoribus oppreſſus.

Ἱππίας δ' ὁ Ἐρυθραῖος, ἐν τῇ δευτέρᾳ τῶν Περὶ τῆς Πατρίδος Ἱστοριῶν, διηγούμενος ὡς ἡ Κνωποῦ βασιλεία ὑπὸ τῶν ἐκείνου κολάκων κατελύθη, φησὶ καὶ
a ταῦτα· „Κνωπῷ μαντευομένῳ περὶ σωτηρίας, ὁ θεὸς

Teleſia. Alexis vero, in Mendace, talia loquentem adſentatorem inducens, ait:

Beatus ego, ita me amet Iupiter
Olympius, ita Minerva: non quia
in nuptiis epulabor, o viri;
ſed quia disrumpar, ſi mihi Dii faverint.
Ea mors utinam contingat mihi!

Videtur mihi vero, o Amici, helluo iſte non gravatim etiam illud dicturus fuiſſe ex Ionis tragici Omphale:

Annuum feſtum dicere me oportet
fere quotidianum.

74. Hippias vero Erythraeus, ſecundo libro Hiſtoriarum ſuae Patriae, exponens quo pacto *Cnopi* regnum ab adſentatoribus fuerit everſum, inter alia haec ſcribit: „Cnopo, de ſalute ſua oraculum conſulenti, reſpondit

ἔχρησε, θύειν Ἑρμῇ δολίῳ. καὶ μετὰ ταῦτα ὁρμήσαντος αὐτοῦ εἰς Δελφοὺς, οἱ τὴν βασιλείαν αὐτοῦ καταλῦσαι βουλόμενοι, ἵν' ὀλιγαρχίαν καταστήσωνται· (ἦσαν δ' οὗτοι, Ὀρτύγης καὶ Ἶρος καὶ Ἔχαρος, οἱ ἐκαλοῦντο διὰ τὸ περὶ τὰς θεραπείας [1] εἶναι τῶν ἐπιφανῶν, πρόσκυνες [2] καὶ κόλακες.) συμπλέοντες οὖν τῷ Κνωπῷ, ὡς ἤδη πόρρω τῆς γῆς ἦσαν, δήσαντες τὸν Κνωπὸν ἔρριψαν εἰς τὸ πέλαγος. καὶ καταχθέντες εἰς Χῖον, καὶ δύναμιν παρὰ τῶν ἐκεῖ τυράννων λαβόντες Ἀμφίκλου καὶ Πολυτέκνου, νυκτὸς b κατέπλευσαν εἰς τὰς Ἐρυθράς. κατὰ τὸ αὐτὸ δὲ [3] καὶ τὸ τοῦ Κνωποῦ σῶμα ἐξεβράσθη ταῖς Ἐρυθραῖς κατὰ τὴν ἀκτὴν, ἣ νῦν Λεόποδον καλεῖται. τῆς δὲ γυναικὸς τοῦ Κνωποῦ Κλεονίκης περὶ τὴν τοῦ σώματος κηδείαν γινομένης, ἦν δὲ ἑορτὴ καὶ πανήγυρις ἀγομένη Ἀρτέμιδι Στοφέᾳ, [4] ἐξαίφνης ἀκούεται σάλ-

1 περὶ τοὺς θεράποντας ms. *Ep.* 2 πρόσηνες edd. 3 Abeſt δὲ edd. 4 Στροφέᾳ ex Epit. laudavit Caſ. Στροφαίᾳ utique videtur leg.

Deus, *ſacrum faceret Mercurio doloſo.* Poſt haec quum Delphos proficiſceretur, comitantes eum hi qui regnum eius everſum cupiebant, ut eius loco paucorum erigerent dominatum: (erant autem hi, Ortyges, & Irus, & Echarus; qui, quod in eo maxime erant occupati ut illuſtres viros obſequioſe colerent, *adoratores* & *adulatores* vocabantur:) hi igitur cum rege navigantes, quum iam procul a continente eſſent, vinctum Cnopum in mare proiecerunt. Tum Chium petentes, acceptis ibi ab inſulae tyrannis Amphiclo & Polytecno auxiliis, noctu Erythras reverſi ſunt. Per idem vero tempus cadaver Cnopi a fluctibus prope Erythras in littus erat iectum, eo loco qui Leopodum hodie vocatur. Dumque uxor Cnopi Cleonice in curando funere erat occupata, ſimulque celebrabatur frequenti hominum conventu feſtum *Dianae Stophaeae;* (ſive, *Strophaeae*)

πιγγος βοή· καὶ καταληφθέντος τοῦ ἄστεος ὑπὸ τῶν περὶ τὸν Ὀρτύγην, πολλοὶ μὲν ἀναιροῦνται τῶν τοῦ Κνωποῦ φίλων. καὶ ἡ Κλεονίκη μαθοῦσα, φεύγει εἰς Κολοφῶνα.“

c „Οἱ δὲ περὶ τὸν Ὀρτύγην τύραννοι, [1] ἔχοντες τὴν ἐκ Χίου δύναμιν, τοὺς ἐνισταμένους αὐτῶν τοῖς πράγμασι διέφθειρον· καὶ τοὺς νόμους καταλύσαντες, αὐτοὶ διεῖπον τὰ κατὰ τὴν πόλιν, ἐντὸς τείχους οὐδένα δεχόμενοι τῶν δημοτῶν. [2] ἔξω δὲ πρὸ τῶν πυλῶν δικαστήριον κατασκευάσαντες, τὰς κρίσεις ἐποιοῦντο, ἁλουργὰ μὲν ἀμπεχόμενοι περιβόλαια, καὶ χιτῶνας ἐνδεδυκότες περιπορφύρους. ὑπεδέδεντο δὲ καὶ πολυσχιδῆ σανδάλια τοῦ θέρους· τοῦ δὲ χειμῶνος ἐν γυναι-

d κείοις ὑποδήμασι διετέλουν περιπατοῦντες, κόμας τε ἔτρεφον, καὶ πλοκαμίδας ἔχειν ἤσκουν, διειλημμένοι τὰς κεφαλὰς διαδήμασι μηλίνοις καὶ πορφυροῖς. εἶχον δὲ καὶ κόσμον ὁλόχρυσον, ὁμοίως ταῖς γυναιξίν.

1 τύραννον edd. 2 πολιτῶν Epit.

LXXV. Novi Erythrarum tyranni.

exauditur ſubito tubae cantus; & capta urbe ab Ortyge eiusque ſodalibus, multi trucidantur ex Cnopi amicis: Cleonice vero, re comperta, Colophonem profugit.«

75. »Tum vero Ortyges cum tyrannidis ſociis, copiis ex Chio adiuti, quicumque eorum rebus conſiliisque obſiſtebant, omnes e medio tollebant: & abrogatis legibus, totam rempublicam ipſi per ſe adminiſtrabant, neminem civium intra muros recipientes. Ante portas vero urbis erecto tribunali ius dicebant, purpureis amicti palliis, tunicamque purpura praetextam induti. Sandalia vero, aeſtivo tempore, geſtabant multifida; hieme autem calceis muliebribus ſemper incedebant. Comamque alebant; utque cincinnis criſpus capillus eſſet curabant: capita luteis & purpureis diadematis redimiti. Habebant vero etiam ornamenta ex ſolido auro,

Ἠνάγκαζόν τε τῶν πολιτῶν τοὺς μὲν διφροφορεῖν, τοὺς δὲ ῥαβδουχεῖν, τοὺς δὲ τὰς ὁδοὺς ἀνακαθαίρειν. καὶ τῶν μὲν τοὺς υἱεῖς εἰς τὰς κοινὰς συνουσίας μετεπέμποντο, τοῖς δὲ τὰς ἰδίας γυναῖκας καὶ τὰς θυγατέρας ἄγειν παρήγγελλον· τοὺς δ' ἀπειθοῦντας ταῖς ἐσχάταις τιμωρίαις περιέβαλλον. εἰ δέ τις τῶν ἐκ τῆς ἑταιρίας αὐτῶν ἀποθάνοι, συνάγοντες [1] τοὺς e πολίτας μετὰ γυναικῶν καὶ τέκνων, ἠνάγκαζον θρηνεῖν τοὺς ἀποθανόντας, καὶ στερνοτυπεῖσθαι μετὰ βίας, καὶ βοᾶν ὀξὺ καὶ μέγα ταῖς φωναῖς, ἐφεστηκότος μαστιγοφόρου τοῦ ταῦτα ποιεῖν ἀναγκάζοντος. ἕως Ἱππότης, ὁ Κνωποῦ ἀδελφὸς, μετὰ δυνάμεως ἐπελθὼν ταῖς Ἐρυθραῖς, ἑορτῆς οὔσης, τῶν Ἐρυθραίων προσβοηθούντων, ἐπῆλθε τοῖς τυράννοις, καὶ πολλοὺς αἰκισάμενος τῶν περὶ αὐτοὺς, Ὀρτύγην μὲν φεύγοντα συνεκέντησε καὶ τοὺς μετὰ τούτου, τὰς δὲ f

1 συναγαγόντες ms. *Ep.*

prorſus ut mulieres. Cives iidem cogebant alios ſibi lecticarios eſſe, alios lictores & adparitores, alios vias purgare: &, cum unà epularentur, aliorum filios arceſſebant, aliis ut proprias uxores filiasque ſibi adducerent imperarunt; ſi qui dicto non eſſent audientes, ultimis ſuppliciis adficiebantur. Quod ſi quis ex ipſorum ſodalibus mortem obiiſſet, congregatos cives cum uxoribus & liberis deflere cogebant mortuum, pectoraque valide plangere, & magna acutaque voce leſſum eiulatusque edere, adſtante flagellifero qui ad id faciendum verberibus eos compelleret. Sic illi res ſuas agebant: donec Hippotes, Cnopi frater, cum idonea manu Erythras adveniens, quo tempore feſtum agebatur, adiuvantibus Erythraeis, invaſit tyrannos; multisque ex eorum ſodalibus ſupplicio adfectis, ipſo Ortyge ſo-

γυναῖκας αὐτῶν καὶ τὰ τέκνα δεινῶς αἰκισάμενος, τὴν πατρίδα ἠλευθέρωσεν."

LXXVI. Philippus amat adulatores & risores.

Ἐκ τούτων οὖν ἁπάντων ἔστι συνιδεῖν, ἄνδρες φίλοι, ὅσων κακῶν αἰτία γίνεται κολακεία τῷ βίῳ. Καὶ Θεόπομπος γὰρ ἐν τῇ ἐννεακαιδεκάτῃ[1] τῶν Φιλιππικῶν φησίν· „Ἀγαθοκλέα, δοῦλον γενόμενον, καὶ τῶν ἐκ Θετταλίας Πενεστῶν, Φίλιππος, μέγα a παρ' αὐτῷ δυνάμενον διὰ τὴν κολακείαν, καὶ ὅτι ἐν τοῖς συμποσίοις συνὼν αὐτῷ ὠρχεῖτο καὶ γέλωτα παρεσκεύαζεν, ἀπέστειλε διαφθεροῦντα Περραιβούς, καὶ τῶν ἐκεῖ πραγμάτων ἐπιμελησόμενον. Τοιούτους δ' εἶχεν ἀεὶ περὶ αὐτὸν ἀνθρώπους ὁ Μακεδών, οἷς διὰ φιλοποσίαν καὶ βωμολοχίαν πλείω χρόνον ὡς τὰ πολλὰ συνδιέτριβε καὶ συνήδρευε περὶ τῶν μεγίστων βουλευόμενος." Ἱστορεῖ δὲ περὶ αὐτοῦ καὶ τάδε Ἡγήσανδρος ὁ Δελφὸς, ὡς τοῖς Ἀθήνηῃσιν εἰς τὸ Διομέων[2]

1 ἐν τῇ θ'. ms. *Ep.* 2 Διόμεων edd.

ciisque eius in fuga confossis, uxoribusque eorum ac liberis omni cruciatu adflictis, patriam liberavit."

76. Ex his omnibus intelligere licet, viri amici, quot quantaque mala vitae hominum inferat adulatio. Nam & Theopompus, decimo nono Philippicorum, scribit: »Agathoclem, qui servus fuerat & unus ex Penestis Thessalicis, Philippus, apud quem multum ille valebat propter adsentationem, & quod in conviviis sodalis saltaret & risum regi moveret, misit qui Perrhaebos perderet, & res ipsius ibi curaret. Tales vero homines semper circa se habebat Macedo; quibuscum propter bibacitatem & scurrilitatem plurimum temporis trivit, in eorumque consessu de rebus maximis deliberavit." Narrat de eodem Philippo Hegesander Delphus; scribitque, illum hominibus eis, qui Athenis in Diomen-

Ἡράκλειον ἀθροιζομένοις τοῖς τὰ γέλοια λέγουσιν, b
ἀπέστελλεν [1] ἱκανὸν κερμάτιον, καὶ προσέτασσέ τισιν
ἀναγράφοντας τὰ λεγόμενα ὑπ' αὐτῶν ἀποστέλλειν
πρὸς αὐτόν. Θεόπομπος δ', ἐν ἕκτῃ καὶ εἰκοστῇ Ἱστο-
ριῶν· „Τοὺς Θεσσαλοὺς, φησὶν, εἰδὼς ὁ Φίλιππος
ἀκολάστους ὄντας, καὶ περὶ τὸν βίον ἀσελγεῖς, συνου-
σίας αὐτῶν κατεσκεύαζε, καὶ πάντα τρόπον ἀρέσκειν
αὐτοῖς ἐπειρᾶτο· καὶ γὰρ ὀρχούμενος καὶ κωμάζων
καὶ πᾶσαν ἀκολασίαν ὑπομένων. ἦν δὲ καὶ φύσει
βωμολόχος, καὶ καθ' ἑκάστην ἡμέραν μεθυσκόμενος,
καὶ χαίρων τῶν ἐπιτηδευμάτων τοῖς πρὸς ταῦτα συν- c
τείνουσι, καὶ τῶν ἀνθρώπων τοῖς εὐφυέσι καλουμέ-
νοις, καὶ τὰ γέλοια λέγουσι καὶ ποιοῦσι. πλείους τε
τῶν Θετταλῶν, τῶν αὐτῷ πλησιασάντων, ἡρεῖτο μᾶλ-
λον ἐν [2] ταῖς συνουσίαις ἢ ταῖς δωρεαῖς." Τὰ παρα-

1 ἀπέστειλεν edd. 2 Delendum ἐν censuit Coray.

sium Heracleum convenientes faceta & ridicula loquuntur, magnam nummorum vim misisse; constituisseque nonnullos, qui, quae ab illis dicerentur, scripto consignarent, ad ipsumque mitterent. Theopompus vero, sexto & vigesimo Historiarum libro, scribit: »Thessalos quum nosset Philippus lascivos esse & in omni vita intemperantes, coetus eorum instituebat & convivia, omnibusque modis placere eis studebat: quippe & saltare inter illos, & comissari, & omni lasciviae genere se tradere sustinens. Erat vero etiam ipse ingenio scurrili, & quotidie compotationibus dabat operam, eisque institutis gaudebat quae cum his rebus erant coniuncta, hominibusque iis qui ingenioſi vulgo vocantur, eo quod ridicula dicant faciantque. Et ex Thessalis, qui eum adpropinquabant, plures conviviis, quam muneribus datis, cepit sibique devinxit.« Paria facere

πλήσια ἐποίει καὶ ὁ Σικελιώτης Διονύσιος, ὡς Εὔβουλος ὁ κωμῳδιοποιὸς παρίστησιν ἐν τῷ τυραννου ὁμωνύμῳ δράματι· Pariter Dionyſius.

Ἀλλ' ἔστι τοῖς σεμνοῖς μὲν [1] αὐθαδέστερος,
d καὶ τοῖς κόλαξι πᾶσι τοῖς σκώπτουσί τε
ἑαυτὸν εὐόργητος· ἡγεῖται δὲ δὴ [2]
τούτους μόνους ἐλευθέρους, κἂν δοῦλος ᾖ.

Ἀλλὰ μὴν καὶ τοὺς ἀποβάλλοντας τὰς οὐσίας εἰς μέθας καὶ κύβους, καὶ τὴν τοιαύτην ἀκολασίαν, οὐ μόνον ὁ Διονύσιος ἀνελάμβανεν, ἀλλὰ καὶ ὁ Φίλιππος. Ἱστορεῖ δὲ περὶ ἑκατέρου Θεόπομπος, ἐν μὲν τῇ ἐννάτῃ καὶ τεσσαρακοστῇ γράφων οὕτως· „Φίλιππος τοὺς μὲν κοσμίους τὰ ἤθη καὶ τοὺς τῶν ἰδίων ἐπιμελουμένους ἀπεδοκίμαζε· τοὺς δὲ πολυτελεῖς καὶ
e ζῶντας ἐν κύβοις καὶ πότοις ἐπαινῶν, ἐτίμα. τοιγαροῦν οὐ μόνον αὐτοὺς τοιαῦτ' ἔχειν παρεσκεύαζεν, ἀλ- LXXVII. Philippi ſodales, hominum perditiſſimi.

1 σεμνοῖσιν edd. 2 Totus verſus ſic ſcribitur in editis, αὐτὸν ἀόργητος. ἡγεῖται δὲ, absque δή.

Siculus Dionyſius adſueverat, ut Eubulus comicus in fabula docet cui ab ipſius tyranni nomine titulum fecit:

Contra ſeveros ille eſt contumacior:
generi aſſentantum facilis: inirritabilis
etiam cavillos in ſe iactitantibus;
ſint quamvis ſervi, hos ſolos ingenuos putat.

77. At vero eos quoque, qui facultates ſuas in temulentiam & aleam & reliquam id genus laſciviam dilapidare conſueſſent, non modo Dionyſius apud ſe receptos colligebat, verum etiam Philippus. Narrat de utroque Theopompus, libro quidem nono & quadrageſimo ſic ſcribens: »Modeſtis moribus homines & ad rem familiarem attentos aſpernabatur Philippus: qui in alea & in compotationibus vitam traducerent, hos ſolos laudabat ornabatque. Quare non modo, ut his rebus

λὰ καὶ τῆς ἄλλης ἀδικίας καὶ βδελυρίας ἀθλητὰς ἐποίησεν. τί γὰρ τῶν αἰσχρῶν ἢ δεινῶν αὐτοῖς οὐ προσῆν, ἢ τί τῶν καλῶν καὶ σπουδαίων οὐκ ἀπῆν; οὐχ οἱ μὲν ξυρούμενοι καὶ λεαινόμενοι διετέλουν, ἄνδρες ὄντες; οἱ δ' ἀλλήλοις ἐτόλμων ἐπανίστασθαι, πώγωνας ἔχουσι; καὶ περιήγοντο μὲν δύο καὶ τρεῖς ἑταιρουμένους· αὐτοὶ δὲ τὰς αὐτὰς ἐκείνοις χρήσεις ἑτέροις [1] παρεῖχον. ὅθεν δικαίως ἄν τις αὐτοὺς οὐχ ἑταί- f
ρους, ἀλλ' ἑταίρας ὑπέλαβεν· οὐδὲ στρατιώτας, ἀλλὰ χαμαιτύπας προσηγόρευσεν. ἀνδροφόνοι γὰρ τὴν φύσιν ὄντες, ἀνδρόπορνοι τὸν τρόπον ἦσαν. πρὸς δὲ τούτοις, ἀντὶ μὲν τοῦ νήφειν, τὸ μεθύειν ἠγάπων· ἀντὶ δὲ τοῦ κοσμίως ζῆν, ἁρπάζειν καὶ φονεύειν ἐζήτουν. καὶ τὸ μὲν ἀληθεύειν καὶ ταῖς ὁμολογίαις ἐμμένειν, οὐκ οἰκεῖον αὐτῶν [2] ἐνόμιζον· τὸ δ' ἐπιορκεῖν καὶ φενακίζειν, ἐν τῷ σεμνοτάτῳ ὑπελάμβανον. καὶ

1 ἑτέρας ms. *Epit.* inter lin. 2 αὐτῶν edd.

numquam carerent, curavit: verum etiam reliquae omnis iniquitatis & libidinis athletas eosdem effecit. Ecquid enim turpe vel sceleſtum ab iis abfuit? aut quid honeſtum probumve adfuit? Nonne hi erant, qui, viri cum eſſent, numquam non raſi & deglubrati conſpiciebantur? nonne, qui aliis ad infames libidines abutebantur barbatis hominibus? Et quidem duo vel tria maſcula ſcorta quisque eorum ſecum circumducebat: ipſi vero eadem rurſus miniſteria aliis praebebant. Quare merito illos non amicos regis, ſed amicas, dixiſſes; nec milites, ſed proſtibula, nominaſſes. Nam cum ingenio homicidae eſſent, moribus ſcorta virilia erant. Ad haec, ſobrietatem peroſi, temulentiam amabant; a modeſtia alieni, nil niſi rapinam & caedem meditabantur. Veritatem colere, & ſervare datam fidem, nihil ad ſe pertinere exiſtimabant: peierare vero & decipere, in ſumma laude

a τῶν μὲν ὑπαρχόντων ἠμέλουν, τῶν δὲ ἀπόντων ἐπεθύμουν. καὶ ταῦτα, μέρος τί [1] τῆς Εὐρώπης ἔχοντες; οἶομαι γὰρ τοὺς ἑταίρους, οὐ πλείονας ὄντας κατ' ἐκεῖνον τὸν χρόνον ὀκτακοσίων, οὐκ ἐλάττω καρπίζεσθαι γῆν ἢ μυρίους τῶν Ἑλλήνων, τοὺς τὴν ἀρίστην καὶ πλείστην χώραν κεκτημένους." Καὶ περὶ Διονυσίου δὲ τὰ παραπλήσια ἱστορεῖ ἐν τῇ πρώτῃ πρὸς ταῖς εἴκοσι· „Διονύσιος ὁ Σικελίας τύραννος τοὺς ἀποβάλλοντας τὰς οὐσίας εἰς μέθας καὶ κύβους, καὶ τὴν τοι-
b αύτην ἀκολασίαν. [2] ἠβούλετο γὰρ ἅπαντας εἶναι διεφθαρμένους καὶ Φαύλους· οὓς καὶ εὖ περιεῖπε." Pariter Dionyſii ſodales.

LXXVIII. Riſus & ioci amantes: Demetrius Poliorc.

Καὶ Δημήτριος ὁ Πολιορκητὴς Φιλόγελως ἦν, ὡς ἱστορεῖ Φύλαρχος ἐν τῇ δεκάτῃ [3] τῶν Ἱστοριῶν. Ἐν δὲ τῇ τεσσαρεσκαιδεκάτῃ γράφει οὕτως· „Περιεώρα [4]

1 μέρος τὶ edd. absque interrogatione. 2 ἀκολασίαν εὖ περιεῖπε. ἠβούλετο γὰρ &c. ms. *Ep.* omiſſis deinde iſtis οὓς καὶ εὖ περιεῖπε. 3 Alibi ἐν ἕκτῃ ſcribitur. 4 Vulgo οὕτως, ὥσπερ ἑώρα Δημήτρ.

ponebant. Quae aderant, non curabant: quae vero deerant, ea concupiſcebant: quamquam, quantam Europae partem iam tum poſſidentes! Puto enim, familiares amicosque Philippi, cum non plures eſſent eo tempore quam octingenti, non minorem terrae tractum, cuius fructus perciperent, poſſediſſe, quam decies mille Graeci qui optimos plurimosque fundos poſſiderent. « De *Dionyſio* eadem narrat idem ſcriptor, primo & viceſimo libro. » Dionyſius Siciliae tyrannus, inquit, eos [maxime recipiebat,] qui patrimonium ſuum in compotationes & in aleam & id genus laſciviae prodigerent. Volebat enim, omnes eſſe perditos & flagitioſos: talesque homines adſciſcebat fovebatque. «

78. Erat etiam *Demetrius Poliorcetes* riſus amans, ut tradit Phylarchus decimo Hiſtoriarum libro. In quarto vero poſt decimum ſic ſcribit: »Paſſus eſt Demetrius,

Δημήτριος τοὺς κολακεύοντας αὐτὸν ἐν τοῖς συμποσίοις καὶ ἐπιχεομένους Δημητρίου μὲν μόνου βασιλέως, Πτολεμαίου δὲ μόνου ναυάρχου, [1] Λυσιμάχου δὲ γαζοφύλακος, Σελεύκου δ' ἐλεφαντάρχου. καὶ ταῦτα οὕτως [2] οὐ τὸ τυχὸν συνῆγε μῖσος." Ἡρόδοτος δέ φη-
Amasis. σιν, Ἄμασιν Αἰγυπτίων βασιλέα παιγνιήμονα ἐόν- c
τα σκώπτειν τοὺς συμπότας, καὶ ὅτε δὲ [3] ἰδιώτης, φησὶν, ἦν, φιλοπότης ὑπῆρχε καὶ φιλοσκώμμων, καὶ οὐ κατεσπουδασμένος ἀνήρ. Νικόλαος δ', ἐν τῇ
Sylla. ἑβδόμῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν, Σύλλαν, φησὶ, τὸν Ῥωμαίων στρατηγὸν, οὕτω χαίρειν μίμοις καὶ γελωτοποιοῖς, φιλόγελων γενόμενον, ὡς καὶ πολλὰ γῆς μέτρα αὐτοῖς χαρίζεσθαι τῆς δημοσίας. ἐμφανίζουσι δ' αὐτοῦ τὸ περὶ ταῦτα ἰλαρὸν αἱ ὑπ' αὐτοῦ γραφεῖσαι Σατυρικαὶ κωμῳδίαι τῇ πατρίῳ [4] φωνῇ.

1 Forſ. μόνον ναυάρχου. 2 αὐτῷ pro οὕτως deſiderabat Caſ.
3 Abeſt δὲ edd. 4 πατρώῳ edd.

adulatores ſuos, in conviviis poculum honoris tenentes, Demetrium ſolum regem ſalutare; Ptolemaeum vero, nonniſi claſſis praefectum; Lyſimachum, theſauri cuſtodem; Seleucum, elephantis praefectum. Quae res adeo odium non vulgare ei contraxit." Herodotus vero ait, *Amaſin*, Aegypti regem, ioci amantem fuiſſe, & convivis irridere ſolitum. Eumdemque etiam cum privatus adhuc fuiſſet, & compotationes & iocoſa dicteria amaſſe, ait, nec ſeria ſtrenue curaſſe. Nicolaus vero, ſeptimo & viceſimo Hiſtoriarum libro, *Syllam*, ait, Romanum imperatorem, cum iocum riſumque amaret, ita delectatum eſſe mimis ridiculisque ſcurris, ut multis etiam iugeribus publici agri eos donaret. Oſtendunt vero eius ingenium, huius generis hilaritatis ſtudioſum, *Satyricae* etiam *comoediae* patrio ſermone ab eo conſcriptae.

d Τιρυνθίους δέ φησι Θεόφραστος, ἐν τῷ Περὶ Κωμῳδίας, φιλόγελως [1] ὄντας, ἀχρείους δὲ πρὸς τὰ σπουδαιότερα τῶν πραγμάτων, καταφυγεῖν ἐπὶ τὸ ἐν Δελφοῖς μαντεῖον, ἀπαλλαγῆναι βουλομένους τοῦ πάθους· καὶ τὸν θεὸν ἀνελεῖν αὐτοῖς· Ἢν θύοντες τῷ Ποσειδῶνι ταῦρον ἀγελαστὶ [2] τοῦτον ἐμβάλωσιν εἰς τὴν θάλατταν, παύσεσθαι. [3] Οἱ δὲ, δεδιότες μὴ διαμάρτωσι τοῦ λογίου, τοὺς παῖδας ἐκώλυσαν παρεῖναι τῇ θυσίᾳ. μαθὼν οὖν εἷς, καὶ συγκαταμιχθεὶς, e ἐπείπερ ἐβόων ἀπελαύνοντες αὐτόν· Τί δῆτ'; ἔφη· δεδοίκατε μὴ τὸ σφάγιον ὑμῶν ἀνατρέψω; Γελασάντων δὲ, ἔμαθον ἔργῳ τὸν θεὸν δείξαντα ὡς ἄρα τὸ πολυχρόνιον ἦθος ἀμήχανόν ἐστι θεραπευθῆναι. Σωσικράτης δ', ἐν πρώτῳ Κρητικῶν, ἴδιόν τί φησι περὶ τοὺς Φαιστίους [4] ὑπάρχειν. δοκοῦσι γὰρ ἀσκεῖν ἐκ

LXXIX. Ridendi morbus immedicabilis.

Phaestii faceti.

1 φιλογέλωτας ms. *Ep.* 2 ἀγελαστεὶ edd. cum ms. *A.* 3 παύεσθαι edd. 4 Φαιστείους edd. cum ms. *A.*

79. Narrat Theophraſtus in libro De Comoedia, *Tirynthios*, cum riſum iocumque ita amarent ut ad ſeria negotia tractanda eſſent inutiles, ad Delphicum confugiſſe oraculum, morbo illo liberari cupientes. Quibus Deus reſpondit: *ceſſaturum morbum, ſi taurum Neptuno mactatum in mare iniecìſſent, riſum tenentes.* Illi igitur, veriti ne oraculi promiſſo exciderent, pueros prohibuerunt ne ſacro intereſſent. At unus, re cognita, nihilo minus ſe immiſcuit: quem quum illi cum clamore abigerent, *Quid ergo?* inquit puer; *an veremini, ne vas ego veſtrum evertam, quod ſanguinem victimae recepturum eſt?* Ibi orto riſu, intellexerunt illi, ipſa re oſtendere voluiſſe Deum, inveteratam conſuetudinem nullo remedio emendari poſſe. Soſicrates vero, primo libro Rerum Creticarum, proprium aliquid habere ait *Phaeſtios.* Dicun-

παιδαρίων εὐθὺς τὸ γέλοια λέγειν· διὸ καὶ συμβέβηκεν αὐτοὺς ἀποφθέγγεσθαι πολλάκις εὐκαίρως, διὰ τὴν ἐξ ἀρχῆς συνήθειαν. ὥς τε πάντας τοὺς κατὰ Κρήτην τούτοις ἀνατιθέναι τὸ γέλοιον.

LXXX. Iactantia.

Τῇ δ' ἀλαζονείᾳ μετὰ τὴν κολακείαν χώραν δίδωσιν Ἀναξανδρίδης [1] ὁ κωμῳδιοποιὸς ἐν Φαρμακομάντει, λέγων οὕτως· f

Ὅτι εἰμὶ ἀλαζών, τοῦτ' ἐπιτιμᾷς; ἀλλὰ τί;
νικᾷ γὰρ αὕτη τὰς τέχνας πάσας πολὺ
μετὰ τὴν κολακείαν. ἥδε μὲν γὰρ διαφέρει.

Psomocolaces.

Ψωμοκόλακος δὲ μνημονεύει Ἀντιφάνης [2] ἐν Γηρυτάδῃ, οὕτως·

Ψίθυρός τε καλοῦ, [3] καὶ ψωμοκόλαξ, [4]
καὶ Σαννυρίων·

1 Temere Ἀλεξανδρίδης edd. Et in eisdem peſſime digeſti verſus qui ſequuntur. 2 Ἀριστοφάνης corr. Caſaub. quem ſecutus eſt Brunck. 3 Forſ. τ' ἐκαλοῦ. 4 καὶ κόλαξ edd. cum ms. *A*. Et iunguntur in editis κόλαξ καὶ σαννυρίων. ποῖ φθείρεσθ' &c. quaſi omnia eiusdem poëtae eſſent.

tur enim iam a pueris ad dicenda ridicula exerceri: quare ſaepe accidit, ut falſum aliquid & acutum opportune reſpondeant, propter uſum ab ineunte aetate contractum. Itaque his Cretenſes omnes hoc tribuunt, quod in ridicule dictis excellant.

80. Poſt adſentationem proximum locum *iactantiae* tribuit Anaxandrides comicus, in Pharmacomanti; ſic dicens:

Quod ſum oſtentator, vitio-ne id vertis mihi?
Atqui longe haec ars alias ſuperat, unicam
adſentatricem praeter, quae primas tenet.

Vocabulo *pſomocolax* (id eſt, *buccae-cauſſa-adſentator*) uſus eſt Antiphanes in Gerytade:

Et ſuſurro vocabaris, & pſomocolax.

Item Sannyrio:

Ποῖ φθείρεσθ' ἐπίτριπτοι ψωμοκόλακες;
a Φιλήμων, Ἀνανεουμένῃ·
Ψωμοκόλαξ δ' ἔσθ' οὗτος.
Φιλιππίδης δ' ἐν Ἀνανεώσει·
Ψωμοκολακεύων καὶ παρεισιὼν ἀεί.
Κυρίως δ' ὁ κόλαξ ἐπὶ τούτου κεῖται. κόλον γὰρ ἡ τροφή· ὅθεν καὶ ὁ βουκόλος, καὶ ὁ δύσκολος, ὅς ἐστι δυσάρεστος καὶ σικχός· κοιλία τε, ἡ τὴν τροφὴν δεχομένη. Ψωμοκόλαφον δ' εἴρηκε Δίφιλος, ἐν Θησεῖ, οὕτως· Etymon vocis κόλαξ.

Σὲ μὲν καλοῦσι ψωμοκόλαφον δραπέτην.

LXXXI. Sabrias bombylius.

Τοσαῦτα τοῦ Δημοκρίτου εἰπόντος, καὶ πιεῖν αἰ-
b τήσαντος ἐν τῷ σαβρίᾳ [1] βομβυλιῷ, ὁ Οὐλπιανὸς ἔφη· καὶ τίς ὁ σαβρίας οὗτος; Καὶ μέλλοντος ἀπεραντολογίας πολλὰς διεξιέναι, παρεφάνη πλῆθος

1 ἐν τῷ Σαμβρίᾳ βομβ. ubi Σαμβρία in genit. legendum censuit Casaub. Mox dein rursus ὁ Σαμβρίας edd.

Quo abitis, perditi psomocolaces?
Philemon, in Renovata:
Psomocolax vero hic est.
Philippides, in Renovatione:
Offae caussa adsentans, semperque se ingerens.
Proprie vero vocabulum κόλαξ de tali adsentatore usurpatur. Est enim κόλον, *alimentum*: unde & βουκόλος, (*qui boves alit;*) & δύσκολος, [proprie, *nutritu difficilis,*] *fastidiosus, qui adpetentia cibi caret.* Item κοιλία, *cibi receptaculum. Psomocolaphum* vero Diphilus dixit in Theseo, his verbis:

Te quidem vocant psomocolaphum fugitivum.

81. Haec locutus Democritus cum potum postulasset in *sabria bombylio*, Ulpianus ait: Et quis ille *sabrias* est? Super qua quaestione quum in eo esset ut infinitam exordiretur disputationem, comparebat servo-

οἰκετῶν τὰ πρὸς τὴν ἐδωδὴν εἰσκομίζοντες. περὶ ὧν πάλιν ὁ Δημόκριτος κατὰ τὸ ἀκόλουθον ἔφη· Ἀεί ποτε ἐγὼ, ἄνδρες Φίλοι, τεθαύμακα τὸ τῶν δούλων γένος, ὡς ἐστιν ἐγκρατὲς, τοσαύταις ἐγκαλινδούμενον λιχνείαις. ταύτας γὰρ [1] ὑπερορῶσιν οὐ μόνον διὰ φόβον, ἀλλὰ καὶ κατὰ διδασκαλίαν· οὐ τὴν ἐν Δουλοδιδασκάλῳ Φερεκράτους, ἀλλὰ ἐθισθέντες· οὐχ ὡς ἀπειρημένου τοῦ τοιούτου, καθάπερ ἐν Κῷ τῇ νήσῳ, ὅταν τῇ Ἥρᾳ θύωσιν. φησὶ γὰρ Μακαρεὺς ἐν τῇ τρίτῃ Κωακῶν, [2] ὅτι, ὁπόταν τῇ Ἥρᾳ θύωσιν οἱ Κῶοι, οὔτε εἴσεισιν εἰς τὸ ἱερὸν δοῦλος, οὔτε γεύεταί τινος τῶν παρεσκευασμένων. καὶ Ἀντιφάνης δ' ἐν Δυσπράτῳ φησίν· C

Servorum conditio.

— — — Ὁρᾶν τε κείμενα
ἅμητας ἡμιβρῶτας, [3] ὀρνίθειά τε·

1 Temere ταύτας καὶ ed. Baſ. & Caſ. 2 Κωϊκῶν edd. κολάκων ms. *A*. 3 ἡμιβρώτους ms.

rum multitudo cibos adferentium. De quibus rurſus Democritus, continuato ſermone, haec differuit. Semper ego, Amici, miratus ſum *Servorum genus*, quam ſit continens, cum tot inter cupedines verſetur. Has enim aſpernantur, non modo metu, verum etiam propter disciplinam; non illam, qua Pherecrates utitur in fabula Servorum-magiſtro, ſed quod ita adſuefacti ſunt: nec quod penitus interdicta eis ſint talia, quemadmodum in Co inſula, cum Iunoni ſacra fiunt. Dicit enim Macareus tertio libro Coacorum: »Cum Iunoni ſacra faciunt Coi, non ingreditur templum ſervus, nec guſtat quidquam eorum quae adparata ſunt.« Et Antiphanes in Dysprato [*id eſt*, Venditu-difficili: *alii*, in Miſero, *vertunt*] ait:

Circum adſpicere iacentia
ſemeſa liba & avicularum corpora:

ὧν οὐδὲ λειφθέντων θέμις δούλῳ φαγεῖν,
ὥς φασιν αἱ γυναῖκες.

d Ἐπικράτης δ', ἐν Δυσπράτῳ, ἀγανακτοῦντα ποιεῖ τινα τῶν οἰκετῶν, καὶ λέγοντα·

Τί γὰρ ἔχθιον, ἢ παῖ παῖ καλεῖσθαι παρὰ πότον;
καὶ ταῦτ', ἀγενείῳ μειρακυλλίῳ τινὶ
τὴν ἀμίδα φέρειν, [1] ὁρᾶν τε κείμενα
ἄμητας ἡμιβρῶτας, ὀρνίθειά τε,
ὧν οὐδὲ λειφθέντων θέμις δούλῳ φαγεῖν,
ὥς φασιν αἱ γυναῖκες. ὃς δὲ χοᾶ πίῃ,
γάστριν καλοῦσι· καὶ λάμυρον, ὃς ἂν φάγῃ.
ἡμῶν τι τούτων.

e Ἐκ τῆς παραθέσεως τῶν ἰαμβείων, δῆλός ἐστιν ὁ Ἐπικράτης τὰ τοῦ Ἀντιφάνους μετενεγκών.

LXXXII. Διευχίδας δ' ἐν τοῖς Μεγαρικοῖς· „Περὶ [2] τὰς

1 τὴν τ' ἀμίδα φερ. ms. *Ep.* καὶ τὴν ἀμίδα φέρειν Grot. An τὴν ἀμίδα παραφέρειν? aut παραχρατεῖν? 2 Abeſt vulgo vocula Περὶ, ex coniect. a nobis adiecta.

namque has reliquias ſervo tetigiſſe eſt nefas,
ut mulieres edicunt.

Et Epicrates in Dysprato ſtomachantem aliquem ſervum haec inducit loquentem:

Quid enim miſerius, quam inter potandum, Puer!
puer! inclamari ab imberbi adoleſcentulo,
matulamque ferre, & circum aſpicere iacentia
ſemeſa liba & avicularum corpora?
Namque has reliquias ſervo tetigiſſe eſt nefas,
ut mulieres edicunt. Qui calicem bibit,
venter vocatur: qui quid illorum ederit,
aufert guloſi nomen.

Quorum ex iamborum collatione manifeſtum eſt, ex Antiphane Epicratem ſuos transtuliſſe.

82. Dieuchidas vero, in Megaricis, haec ſcribit:

Araeae insulae.

καλουμένας, φησὶν, Ἀραιὰς (μεταξὺ δὲ τῆς Κνιδίας [1] καὶ τῆς Σύμης εἰσὶν,) γενομένης διαφορᾶς τοῖς συνεξορμήσασι τῷ Τριόπᾳ μετὰ τὸν ἐκείνου θάνατον, καὶ τῶν μὲν εἰς τὸ δωμάτιον [2] ἀναχωρησάντων, οἱ μὲν μετὰ Φόρβαντος μείναντες, εἰς Ἰηλυσὸν ἦλθον· οἱ δὲ μετὰ Περιέργου τὴν Καμειρίδα κατέσχον. τότε λέγεται καταράσασθαι τὸν Περίεργον τῷ Φόρβαντι, καὶ διὰ γὰρ τοῦτο τὰς νήσους Ἀραιὰς κληθῆναι. Ναυαγήσας δὲ ὁ Φόρβας, καὶ Παρθενία ἡ τοῦ Φόρβαντος καὶ τοῦ Περιέργου ἀδελφὴ, διενήξατο [3] εἰς Ἰηλυσὸν περὶ τὸν καλούμενον τόπον Σχεδίαν. Καὶ αὐτοῖς περιτυχὼν Θαμνεὺς, ὃς ἐτύγχανε κατὰ τὴν Σχεδίαν κυνηγετῶν, ἦγεν ὡς ξενίσων εἰς οἶκον, καὶ τὸν οἰκέτην ἀπέστειλεν ἀπαγγελοῦντα τῇ γυναικὶ ταπιτήδεια παρασκευάζειν, ὡς ἄγοντος αὐτοῦ ξένους. ἐλθὼν δ' εἰς

Phorbantis sacro non interfunt servi.

f

1 Κνίδας edd. cum ms. *A.* Κνίδου ms. *Epit.* 2 Vocab. haud immerito suspectum Casaubono. 3 διενήξαντο malles.

»Circa *Araeas* insulas (sunt hae inter Cnidum & Symen) orto post Triopae obitum inter eos, qui cum illo expeditionem susceperant, dissidio, aliisque domum repetentibus; *Phorbas* cum suis manens, Ialysum venit; *Periergus* vero cum suis Camiridis portum tenuit. Tunc dicitur Phorbantem diris imprecationibus prosecutus esse Periergus; indeque aiunt *Araeas* (ab eisdem illis *imprecationibus*) nominatas insulas esse. Igitur naufragium passus *Phorbas*, cum Parthenia, Phorbantis & Periergi sorore, Ialysum enatavit; & eo loco, cui Schedia nomen, terram attigit. In quos incidens Thamneus, qui forte circa Schediam venabatur, domum suam eos deduxit hospitio excepturus, praemisso servo qui uxori nunciaret, ut pararet necessaria hospitibus quos esset adducturus. Verum cum domum perveniset, nihilque

a οἶκον, ὡς οὐδὲν εὗρε παρεσκευασμένον, αὐτὸς ἐπιβαλὼν τὸν σῖτον ἐπὶ τὸν ἀλετῶνα καὶ τ' ἄλλα τἀκόλουθα, ἔπειτα ἀλέσας ἐξένισεν αὐτούς. καὶ ὁ Φόρβας οὕτως ἐπὶ τῷ ξενισμῷ ἥσθη, ὡς καὶ τὸν βίον τελευτῶν ἐπέσκηψε τοῖς Φίλοις, δι' ἐλευθέρων τοὺς ἐναγισμοὺς ἐπιτελεῖν αὐτῷ· καὶ τὸ ἔθος διαμένειν ἐν τῇ θυσίᾳ τοῦ Φόρβαντος. ἐλεύθεροι γάρ εἰσιν οἱ διακονοῦντες· δούλῳ δὲ προσελθεῖν οὐκ ἔστιν ὅσιον."

LXXXIII. Olim servi nulli.

Ἐπεὶ δὲ καὶ τοῦτ' ἐστὶ τῶν ὑπὸ τοῦ Οὐλπιαb νοῦ προβεβλημένων, καὶ τὸ περὶ τοὺς Οἰκέτας, φέρ' εἴπωμέν τι καὶ ἡμεῖς ἀναπεμπασάμενοι [1] περὶ αὐτῶν, ἐξ ὧν πάλαι τυγχάνομεν ἀνεγνωκότες. Φερεκράτης μὲν γάρ, ἐν Ἀγρίοις, φησίν·

Οὐ γὰρ ἦν τότ' οὔτε Μάνης, οὔτε σηκὶς [2] οὐδενὶ δοῦλος· ἀλλ' αὐτὰς ἔδει μοχθεῖν ἅπαντ' ἐν οἰκίᾳ. [3]
εἶτα πρὸς τούτοισιν ἦλων [4] ὄρθριαι τὰ σιτία,

1 ἀναπεμπασμένοι edd. 2 σάχις editt. vett. quod in Σάχης mutavit Cas. 3 Vulgo ἅπαντα τἀν τῇ οἰκίᾳ. 4 εἶλον edd.

offendisset paratum, ipse frumentum in molam conjectum moluit; reliquisque rebus paratis, cibavit hospites. Qua hospitali benignitate ita delectatus Phorbas est, ut in extremo vitae spiritu iniungeret amicis, ut per liberos homines inferias sibi fieri curarent. Qui mos constanter dein in Phorbantis sacro duravit: ministrant enim liberi homines; servisque accedere nefas habetur. «

83. Quoniam vero inter quaestiones ab Ulpiano propositas est etiam haec ipsa, *de* SERVIS; age, de his quoque verba faciamus, ex veterum scriptis memoria repetentes quae de illis olim legimus. Igitur Pherecrates, in Agrestibus (*sive*, Feris hominibus) dicit:

Non erat tum Manes ulli, nec domi genitus
servus: sed ipsas oportebat domestica laborare omnia:
ad haec frumenta molebant primo diluculo,

ὥστε τὴν κώμην ὑπηχεῖν θιγγανουσῶν τὰς μύλας.

Καὶ Ἀναξανδρίδης δε, ἐν Ἀγχίσῃ, φησίν·

Fortuna clavum verſat.

Οὐκ ἔστι δούλων, ὦ γαθὲ, οὐδαμοῦ πόλις· c
τύχη δὲ πάντα μεταφέρει τὰ σώματα.
πολλοὶ δὲ νῦν μέν εἰσιν οὐκ ἐλεύθεροι,
εἰς ταὔριον δὲ Σουνιεῖς· εἶτ' εἰς τρίτην
ἀγορᾶ κέχρηνται. τὸν γὰρ οἴακα στρέφει
δαίμων ἑκάστῳ.

LXXXIV.

Mariandyni ſponte ſerviunt.

Ποσειδώνιος δέ φησιν ὁ ἀπὸ τῆς Στοᾶς, ἐν τῇ τῶν Ἱστοριῶν ἑνδεκάτῃ· „Πολλούς τινας, ἑαυτῶν οὐ δυναμένους προΐστασθαι διὰ τὸ τῆς διανοίας ἀσθενὲς, ἐπιδοῦναι ἑαυτοὺς εἰς τὴν τῶν συνετωτέρων ὑπηρεσίαν, ὅπως παρ' ἐκείνων τυγχάνοντες τῆς εἰς τὰ ἀναγκαῖα d ἐπιμελείας, αὐτοὶ πάλιν ἀποδιδῶσιν ἐκείνοις δι' αὐτῶν ἅπερ ἂν ὦσιν ὑπηρετεῖν δυνατοί. Καὶ τούτῳ τῷ τρόπῳ Μαριανδυνοὶ [1] μὲν Ἡρακλεώταις ὑπετάγησαν,

1 Μαρυανδηνοὶ ms. *Epit.* & h. l. & deinde. Variant editt. vett.

ut molam tractantium ſtrepitu perſonaret vicus.

Et Anaxandrides in Anchiſe ait:

Nulla uspiam ſervorum, amice, eſt civitas:
ſed fortuna hominum varie commutat ſtatum.
Multi hodie libertatis expertes agunt,
qui Sunienſes cras erunt, perendie
fori participes. Sic gubernaculum, ut lubet,
Fortuna cuique verſat.

84. Poſidonius vero Stoicus, Hiſtoriarum libro undecimo, ait: »Repertos eſſe multos, qui, quod ſe ipſi gubernare non poſſent propter ingenii tarditatem, prudentioribus ſe miniſtros traderent, ut illi curam ſui haberent rebusque ſibi neceſſariis proſpicerent, ipſi viciſſim illis operam ſuam, quibuscumque rebus poſſent, praeſtarent. Eaque ratione *Mariandyni* ſubiecti ſunt *He-*

διὰ τέλους ὑποσχόμενοι θητεύσειν παρέχουσιν αὐτοῖς τὰ δέοντα· προσδιαστειλάμενοι, μηδενὸς αὐτῶν ἔσεσθαι πρᾶσιν ἔξω τῆς Ἡρακλεωτῶν χώρας, ἀλλ' ἐν αὐτῇ μόνον τῇ ἰδίᾳ χώρᾳ." Τάχ' οὖν διὰ τοῦτο καὶ Εὐφορίων ὁ ἐποποιὸς τοὺς Μαριανδυνοὺς δωροφόρους κέκληκεν.

e Δωροφόροι καλεοίαθ' [1] ὑποφρίσσοντες ἄνακτας.

Λέγει δὲ καὶ Καλλίστρατος ὁ Ἀριστοφάνειος, ὅτι „Τοὺς Μαριανδυνοὺς ὠνόμαζον μὲν δωροφόρους, ἀφαιροῦντες τὸ πικρὸν τῆς ἀπὸ τῶν οἰκετῶν προσηγορίας· καθάπερ Σπαρτιάται μὲν ἐποίησαν ἐπὶ τῶν Εἰλώτων, [2] Θετταλοὶ δ' ἐπὶ τῶν Πενεστῶν, Κρῆτες δ' ἐπὶ τῶν Κλαρωτῶν. Καλοῦσι δὲ οἱ Κρῆτες τοὺς μὲν κατὰ πόλιν οἰκέτας, χρυσωνήτους· ἀμφαμιώτας δὲ, τοὺς f κατ' ἀγρὸν, ἐγχωρίους μὲν ὄντας, δουλωθέντας δὲ κα-

Servorum varia conditio apud Cretenſes.

1 καλέονται edd. 2 Εἱλώτων edd.

racleotis, perpetuo ſe illis miniſteria facturos polliciti, ſi, quae ad vitam neceſſaria ſunt, ſibi illi ſuppeditarent; diſerte quidem inſuper & hoc pacti, ne umquam extra Heracleotarum fines venderentur, ſed in ſola propria terra ſervirent." Ac ea fortaſſe de cauſſa Euphorion, epicus poëta, *dorophoros* (id eſt, *dona ferentes*) Mariandynos adpellavit.

Dona ferentes adpelles, paventes dominos.

Dicit vero etiam Calliſtratus Ariſtophaneus: »*Dona ferentes* adpellatos ab Heracleotis eſſe Mariandynos, quo demeretur id quod in *ſervorum* nomine acerbum eſt: quemadmodum Spartani fecerunt cum Hilotis, Theſſali cum Peneſtis, & Cretenſes cum Clarotis. Vocant autem Cretenſes ſervos qui in oppidis ſerviunt, *chryſonetos*; (id eſt, *auro emtos*;) *amphamiotas* vero, qui in agris degunt, qui indigenae quidem ſunt, ſed bello capti & in ſervitutem redacti: eosdem vero, quoniam ſorte dis-

τὰ πόλεμον· διὰ τὸ κληρωθῆναι δὲ, Κλαρώτας.“ Ὁ Ἔφορος δ', ἐν τρίτῃ Ἱστοριῶν· „Κλαρώτας, φησὶ, Κρῆτες καλοῦσι τοὺς δούλους, ἀπὸ τοῦ γενομένου περὶ αὐτῶν κλήρου. τούτοις δ' εἰσὶ νενομισμέναι τινὲς ἑορταὶ ἐν Κυδωνίᾳ, ἐν αἷς οὐκ εἰσίασιν εἰς τὴν πόλιν ἐλεύθεροι, ἀλλ' οἱ δοῦλοι πάντων κρατοῦσι, καὶ κύριοι μαστιγοῦν εἰσι τοὺς ἐλευθέρους.“ Σωσικράτης δ', ἐν δευτέρῳ Κρητικῶν· „Τὴν μὲν κοινὴν, φησὶ, δουλείαν οἱ Κρῆτες καλοῦσι μνοίαν· τὴν δὲ ἰδίαν, ἀφαμιώτας· τοὺς δὲ περιοίκους, ὑπηκόους.“ Τὰ παραπλήσια a ἱστορεῖ καὶ Δωσιάδας, ἐν τετάρτῳ Κρητικῶν.

LXXXV. Penestae, servi Thessalorum.

Θετταλῶν δὲ λεγόντων Πενεστὰς [1] τοὺς μὴ γόνῳ δούλους, διὰ πολέμου [2] δ' ἡλωκότας, Θεόπομπος ὁ κωμικὸς ἀποχρησάμενος τῇ φωνῇ φησί·

— Δεσπότου Πενεστοῦ ῥυσσὰ βουλευτήρια.

1 Πενέστας penacute edd. Et sic deinde iidem Πενέστου, Πενέσται, Πενέστης. 2 διὰ πόλεμον edd.

tributi sunt, *clarotas* adpellant.« Ephorus vero, tertio Historiarum libro, scribit: *Clarotas* Cretenses vocant servos, a *sorte*, qua illi distribuuntur. Sunt vero horum in gratiam in oppido Cydonia festi quidam dies instituti, quibus oppidum non ingrediuntur liberi homines, sed omnia in potestate sunt servorum, hisque etiam ius est liberos homines flagris caedendi.« Soscrates vero, Rerum Creticarum libro secundo: »Publicum servitium, inquit, Cretenses *μνοίαν* vocant; privata vero mancipia, *aphamiotas;* perioecos vero, *subditos.*« Pariaque his Dosiadas tradit, Rerum Creticarum libro quarto.

85. *Pĕnestas* Thessali vocant non qui natalibus servi sunt, sed qui bello capti. Abusus vero eo vocabulo Theopompus comicus dixit:

Domini penestae rugosi consiliarii.

Φιλοκράτης δ', ἐν δευτέρῳ Θετταλικῶν, εἰ γνήσια τὰ συγγράμματα, καλεῖσθαί φησι τοὺς Πενεστὰς [1] καὶ Θετταλοικέτας. Ἀρχέμαχος δ', ἐν τῇ τρίτῃ Εὐβοϊκῶν· „Βοιωτῶν, φησὶ, τῶν τὴν Ἀρναίαν κατοικη-
b σάντων, [2] οἱ μὴ ἀπάραντες εἰς τὴν Βοιωτίαν, ἀλλ' ἐμφιλοχωρήσαντες, παρέδωκαν ἑαυτοὺς τοῖς Θετταλοῖς δουλεύειν καθ' ὁμολογίας· [3] ἐφ' ᾧ οὔτε ἐξάξουσιν αὐτοὺς ἐκ τῆς χώρας, οὔτε ἀποκτενοῦσιν, αὐτοὶ δὲ τὴν χώραν αὐτοῖς ἐργαζόμενοι τὰς συντάξεις ἀποδώσουσιν. οὗτοι οὖν οἱ κατὰ τὰς ὁμολογίας καταμείναντες, καὶ παραδόντες ἑαυτοὺς, ἐκλήθησαν τότε Μενέσται, νῦν δὲ Πενεσταί. καὶ πολλοὶ τῶν κυρίων ἑαυτῶν εἰσιν εὐπορώτεροι." Καὶ Εὐριπίδης δὲ ἐν Φρίξῳ, λάτριας αὐτοὺς
c ὀνομάζει διὰ τούτων·

Λάτρις πενεστὴς ἁμὸς [4] ἀρχαίων δόμων.

1 Πενέστας h. l. ms. *Ep.* cum edd. Idemque deinde Πενέσται, & Πενέστης. 2 κατοικισάντων utique malim. 3 καθ' ὁμολογίαν ms. *Ep.* 4 ἀμὸς edd.

Philocrates vero, ſecundo libro Rerum Theſſalicarum, ſi genuinum illius opus eſt, vocari Peneſtas etiam Θετταλοικέτας, ait. Archemachus vero, Rerum Euboicarum libro tertio, ſcribit: »Ex Boeotis qui Arnaeam condiderant, hi qui in Boeotiam non redierunt, ſed quibus placuit in illa regione manere, tradiderunt ſe Theſſalis, quibus ſervirent his conditionibus, ut ius non eſſet dominis ipſos vel interficiendi vel in aliam terram deportandi; ipſi vero agros eorum colentes, annuum illis cenſum penderent. Hi igitur, his conditionibus manentes, ſeque tradentes, *meneſtae* tunc (a *manendo*) nominati ſunt, nunc vero *peneſtae* adpellantur. Suntque eorum multi dominis ſuis ditiores.« Euripides vero, in Phrixo, *latrias* illos vocat, cum ait:

Latris peneſtes noſter antiquae domus.

LXXXVI. Timaeus de servis adv. Aristotelem.

Τίμαιος δ' ὁ Ταυρομενίτης, ἐν τῇ ἑνάτῃ τῶν Ἱστοριῶν· „Οὐκ ἦν, φησὶ, πάτριον τοῖς Ἕλλησιν ὑπὸ ἀργυρωνήτων τὸ παλαιὸν διακονεῖσθαι.“ γράφων οὕτως· „Καθόλου δὲ ἠτιῶντο τὸν Ἀριστοτέλη διημαρτηκέναι τῶν Λοκρικῶν ἐθῶν. οὐδὲ γὰρ κεκτῆσθαι νόμον εἶναι τοῖς Λοκροῖς, ὁμοίως δὲ οὐδὲ Φωκεῦσιν, οὔτε θεραπαίνας, οὔτε οἰκέτας, πλὴν ἐγγὺς τῶν χρόνων. ἀλλὰ πρώτῃ τῇ Φιλομήλου γυναικὶ, τοῦ καταλαβόντος Δελφοὺς, δύο θεραπαίνας ἀκολουθῆσαι. παραπλησίως δὲ καὶ Μνάσωνα, τὸν τοῦ Ἀριστοτέλους ἑταῖρον, χιλίους οἰκέτας κτησάμενον, διαβληθῆναι παρὰ τοῖς Φωκεῦσιν, ὡς τοσούτους τῶν πολιτῶν τὴν ἀναγκαίαν τροφὴν ἀφῃρημένον. εἰθίσθαι [1] γὰρ ἐν ταῖς οἰκίαις [2] διακονεῖν τοὺς νεωτέρους τοῖς πρεσβυτέροις.“ d

LXXXVII. Platonis locus de Servis.

Πλάτων δ', ἐν ἕκτῳ Νόμων, φησί· „Τὰ τῶν οἰκετῶν χαλεπὰ πάντη. σχεδὸν γὰρ πάντων Ἑλλή-

1 εἴθισται edd. 2 ἐν ταῖς οἰκειακαῖς ms. *A*. ἐν ταῖς οἰκιακαῖς edd.

86. Timaeus vero Tauromenita, nono Historiarum libro ait: »Non erat patrio more receptum olim apud Graecos, servorum pretio-emtorum uti ministerio.« Porro sic scribit: »Prorsus vero erraſſe contendebant Aristotelem, & mores nescivisse Locricorum populorum. Nec enim in institutis fuisse Locrorum, quemadmodum nec Phocensium, ancillas aut servos possidere, nisi recenti admodum memoria. Primam enim fuisse Philomeli uxorem, eius qui Delphos cepit, quam duae ancillae sequerentur. Similiter vero male apud Phocenses audisse Mnasonem, Aristotelis familiarem, quod mille servos aleret: totidem enim civibus necessaria alimenta eum eripere, aiebant. Consuesse enim in domibus famulari iuniores senioribus.«

87. Plato vero, sexto libro de Legibus, ait: »Quaestio de Servis non vacat sane difficultate. Ex omni au-

νων ἡ Λακεδαιμονίων εἰλωτεία [1] πλείστην ἀπορίαν παράσχοιτ' ἂν καὶ ἔριν, τοῖς μὲν [2] ὡς εὖ, τοῖς δ' ὡς
e οὐκ εὖ γεγονυῖα ἐστίν. ἐλάττω δὲ ἡ Ἡρακλεωτῶν δουλεία τῆς τῶν Μαριανδυνῶν καταδουλώσεως ἔριν ἂν ἔχοι, τὸ Θετταλῶν δ' αὖ [3] πενεστικὸν ἔθνος. εἰς ἃ καὶ πάντα [4] ἀποβλέψαντας ἡμᾶς τί χρὴ ποιεῖν περὶ κτήσεως οἰκετῶν; Οὐ γὰρ ὑγιὲς οὐδὲν ψυχῆς δούλης. οὐ δεῖ γὰρ οὐδὲν ὑγιὲς [5] πιστεύειν αὐτοῖς τὸν νοῦν κεκτημένον. ὁ δὲ σοφώτατος τῶν ποιητῶν φησίν·

Ἥμισυ γάρ τε νόου ἀπαμείρεται εὐρύοπα Ζεὺς
f ἀνδρῶν, οὓς ἂν δὴ κατὰ δούλιον ἦμαρ ἕλῃσι.

Χαλεπὸν οὖν τὸ κτῆμα ἔργῳ [6] πολλάκις ἐπιδέδεικται, περί τε τὰς Μεσσηνίων συχνὰς ἀποστάσεις,

1 Εἰλωτία edd. 2 ἐρεινίοις μὲν ed. Ven. cum ms. *A.* quod ex ἔριν ἐνίοις μὲν corruptum videri poterat. 3 Commodius τ' αὖ apud Plat. 4 πάντας ed. Ven. cum ms. *A.* πάντα τὰ τοιαῦτα ed. Baſ. & Caſ. ex Plat. 5 Importune h. l. repetitam vocem ὑγιὲς ignorant Platonis libri. 6 Rectius apud Plat. χαλεπὸν οὖν τὸ κτῆμα. ἔργῳ γὰρ πολλάκις.

tem ſervorum genere, qui apud Graecos ſerviunt, nullum eſt quod maiorem dubitationem habeat, & de quo maior ſit hominum diſſenſio, quam Hilotarum ſervitus apud Lacedaemonios, aliis probantibus illud inſtitutum, damnantibus aliis. Minorem vero contentionem habere videtur ſervorum apud Heracleotas conditio e Mariandynorum ſubiectione; itemque Peneſtarum genus apud Theſſalos. Quae omnia reſpicientes, quidnam facere debebimus de ſervorum poſſeſſione? Nihil enim ſani eſt in anima ſervili: neque quidquam, quod alicuius momenti ſit, credere eorum fidei debet is cui mens conſtat. Sapientiſſimus vero poëtarum ait:

Dimidium enim mentis aufert late-ſonans Iupiter
viro, quando eum ſervilis dies corripuerit.

Difficilem igitur & periculoſam eſſe poſſeſſionem, ipſa re ſaepius cognitum eſt, cum in crebris Meſſeniorum

καὶ περὶ τὰς τῶν ἐκ μιᾶς φωνῆς πολλοὺς οἰκέτας κτωμένων πόλεις, ὅσα κακὰ συμβαίνει. καὶ ἔτι τὰ τῶν λεγομένων περιδείνων [1] περὶ τὴν Ἰταλίαν παντοδαπῶν κλοπῶν ἔργα καὶ παθήματα. Πρὸς ἃ τις ἅπαντα βλέψας διαπορήσειε, τί χρὴ δρᾶν περὶ ἁπάντων τῶν τοιούτων. Δύο δὴ λείπεσθον μηχανά· [2] μὴ πατριώτας ἀλλήλων εἶναι τοὺς μέλλοντας δουλεύσειν, [3] ἀσυμφώνους τε ὅτι μάλιστα εἰς δύναμιν· τρέφειν δ' αὐτοὺς ὀρθῶς, μὴ μόνον [4] ἐκείνων ἕνεκα, πλέον δ' ἑαυτῶν προτιμῶντας, ὑβρίζειν τε ἥκιστα εἰς αὐτούς. Κολάζειν δὲ ἐν δίκῃ δούλους δεῖ· καὶ μὴ νουθετοῦντας, ὡς ἐλευθέρους, θρύπτεσθαι ποιεῖν. τὴν δὲ οἰκέτου πρόσρησιν [5] χρὴ σχεδὸν ἐπίταξιν πᾶσαν γίγνεσθαι· καὶ μὴ a

1 Temere περὶ δούλων ed. Ven. & Baſ. περιδίνων ora Baſ. & ed. Caſ. ex Plat. 2 μηχαναὶ ed. Ven. cum ms. *A*. 3 ῥᾷον δουλεύειν ed. Baſ. & Caſ. 4 μόναν edd. 5 πρόῤῥησιν edd.

defectionibus, tum in civitatibus quae multos habent eiusdem linguae ſervos: (in his, inquam, cognitum eſt) quanta mala e ſervorum poſſeſſione oriantur. Eodem pertinent continua furta & omnis generis calamitates, a *peridînis*, qui dicuntur, excitatae, (id eſt, *vagabundis praedonibus*) qui circa Italiam verſantur. Quae cuncta reſpiciens aliquis, merito dubitet, quid de talibus omnibus ſit faciendum. Adverſus illa quidem incommoda, duo nobis relicta ſunt remedia: (alterum,) ne populares inter ſe ſint qui ſervire debent, &, quoad fieri poteſt, ne eiusdem quidem inter ſe linguae ſint homines: (alterum,) ut recte alamus eos, non modo ipſorum cauſſa, ſed multo etiam magis noſtra cauſſa; nec ulla eos iniuria adficiamus. Puniendi vero ſunt ſervi, ubi poenam commeruerunt: non nuda admonitione caſtigandi, ut liberi homines; ſic enim molliores ſegnioresque eos facturi eſſemus. Omne vero dictum, quo ſervos adloquimur, fere imperium ſit aliquod: neque ullo

προσπαίζοντας μηδαμῆ μηδαμῶς οἰκέταις, μήτ' οὖν θηλείαις, μήτε ἄῤῥεσιν. ἃ δὴ πρὸς δούλους φιλοῦσι
b πολλοὶ σφόδρα ἀνοήτως θρύπτοντες, χαλεπώτερον ἀπεργάζεσθαι τὸν βίον ἐκείνοις τε, ἄρχεσθαι· καὶ ἑαυτοῖς, ἄρχειν."

LXXXVIII. Chii primi servos pretio emunt.

Πρώτους δ' ἐγὼ τῶν Ἑλλήνων οἶδα ἀργυρωνήτοις δούλοις χρησαμένους Χίους, ὡς ἱστορεῖ Θεόπομπος ἐν τῇ ἑβδόμῃ καὶ δεκάτῃ τῶν Ἱστοριῶν. „Χῖοι πρῶτοι τῶν Ἑλλήνων μετὰ Θετταλοὺς καὶ Λακεδαιμονίους ἐχρήσαντο δούλοις· τὴν μέντοι κτῆσιν αὐτῶν οὐ τὸν αὐτὸν τρόπον ἐκείνοις. Λακεδαιμόνιοι μὲν γὰρ καὶ Θετταλοὶ φανήσονται κατασκευασάμενοι τὴν δουλείαν
c ἐκ τῶν Ἑλλήνων, τῶν οἰκούντων πρότερον τὴν χώραν, ἣν ἐκεῖνοι νῦν ἔχουσιν· οἱ μὲν, Ἀχαιῶν· Θετταλοὶ δὲ, Περῥαιβῶν καὶ Μαγνήτων. καὶ προσηγόρευσαν τοὺς καταδουλωθέντας, οἱ μὲν εἵλωτας, οἱ δὲ πενεστάς. [1] Χῖοι δὲ βαρβάρους κέκτηνται τοὺς οἰκέτας,

1 Rursus πενέστας edd. cum ms. *Ep.*

modo iocari oportet cum mancipiis, sive foeminae sint, sive mares; quo in genere multi stulte admodum mollius cum servis agentes, difficiliorem reddere vitam solent & illis ad obediendum, & sibi ad imperandum."

88. Primos verò Graecorum, qui *pretio emtis servis* usi sint, *Chios* novi ego fuisse; de quibus Theopompus scribit decimo septimo Historiarum libro: »Chii primi post Thessalos & Lacedaemonios servis sunt usi: ad quorum possessionem quidem non eâdem viâ pervenerunt. Lacedaemonios enim & Thessalos servitia sua sibi parasse novimus e Graecis, regionem eam, quam ipsi nunc tenent, prius habitantibus: illi quidem, ex Achaeis; Thessali vero, e Perrhaebis & Magnetibus. Et nominarunt redactos a se in servitutem, illi quidem Hilotas, hi Penestas. Chii vero barbaris utuntur servis, quos

καὶ τιμὴν αὐτῶν καταβάλλοντες. " Ὁ μὲν οὖν Θεό-
Puniuntur Chii defectione servorum. πομπος ταῦθ' ἱστόρησεν. ἐγὼ δὲ τοῖς Χίοις ἡγοῦμαι
διὰ τοῦτο νεμεσῆσαι τὸ δαιμόνιον· χρόνοις γὰρ ὕστε-
ρον ἐξεπολεμήθησαν διὰ δούλους. Νυμφόδωρος γοῦν ὁ
Συρακόσιος, [1] ἐν τῷ τῆς Ἀσίας Παράπλῳ, [2] τάδ'
ἱστορεῖ περὶ αὐτῶν. „ Τῶν Χίων οἱ δοῦλοι ἀποδιδρά-
σκουσιν αὐτοὺς, καὶ εἰς τὰ ὄρη ὁρμώμενοι, τὰς ἀγροι- d
κίας ἑαυτῶν [3] κακοποιοῦσιν πολλοὶ συναθροισθέντες. ἡ
γὰρ νῆσος αὐτοῖς [4] ἐστι τραχεῖα καὶ κατάδενδρος. Μι-
κρὸν δὲ πρὸ ἡμῶν οἰκέτην τινὰ [5] μυθολογοῦσιν αὐτοὶ οἱ
Χῖοι ἀποδράντα, ἐν τοῖς ὄρεσι τὰς διατριβὰς ποιεῖσθαι·
ἀνδρεῖον δέ τινα ὄντα, καὶ τὰ πολέμια εὐτυχῆ, [6] τῶν
δραπετῶν ἀφηγεῖσθαι ὡς ἂν βασιλέα στρατεύματος.
καὶ πολλάκις τῶν Χίων ἐπιστρατευσάντων ἐπ' αὐτὸν,

1 Συρακούσιος edd. 2 Alibi Περίπλῳ, quod verum videtur. 3 αὐτῶν, ed. Casaub. Paulo ante sic malim: ἀποδιδρ. αὐτοὺς εἰς τὰ ὄρη, ὅθεν ὁρμώμενοι. 4 Abest αὐτοῖς edd. 5 τινὰ, ὃν μυθολογοῦσι edd. cum ms. *A*. 6 τὰ πολέμια τῇ ψυχῇ τῶν δραπ. edd. cum ms. *A*. Duas voces τῇ ψυχῇ omisit Epitomator.

soluto pro eis pretio possident." Haec igitur Theopompus scripsit. Ego vero arbitror, Chiis idcirco infensum fuisse divinum numen: nam insequentibus temporibus bello a servis petiti oppressique sunt. Nymphodorus quidem Syracusius, in Asiae Paraplo, [*sive*, Periplo, *id est*, Asiae Circumnavigatione] haec de eis narrat. »Chiorum servi, desertis dominis, profugiunt in montana; unde magno numero congregati impetum faciunt in villas, quas ipsi habitaverant, multaque damna inferunt. Est enim insula Chius aspera & sylvis obsita. Parum vero ante nostram aetatem servum quemdam narrant ipsi Chii, deserto domino, montes occupasse; &, cum esset vir fortis & felix in bello, fugitivos duxisse haud secus atque rex exercitum ducit. Contra quem quum saepe cum exercitu egressi essent Chii,

καὶ οὐδὲν ἀνύσαι δυναμένων, ἐπεὶ αὐτοὺς ἑώρα μάτην
e ἀπολλυμένους ὁ Δρίμακος (τοῦτο γὰρ ἦν ὄνομα τῷ [1] δραπέτῃ) λέγει πρὸς αὐτοὺς τάδε· Ὑμῖν, ὦ Χῖοί τε καὶ κύριοι, τὸ μὲν γινόμενον πρᾶγμα παρὰ τῶν οἰκετῶν [2] οὐδέποτε μὴ παύσεται. [3] πῶς γὰρ, ὁπότε κατὰ χρησμὸν γίνεται θεοῦ δόντος; ἀλλ' ἐὰν ἐμοὶ πεισθήσεσθε, καὶ ἐᾶτε ἡμᾶς ἡσυχίαν ἄγειν, ἐγὼ ὑμῖν ἔσομαι πολλῶν ἀγαθῶν ἀρχηγός."

LXXXIX.

Chii pacifcuntur cum duce rebellium.

„Σπεισαμένων οὖν τῶν Χίων πρὸς αὐτὸν, καὶ ἀναχὰς ποιησαμένων χρόνον τινὰ, κατασκευάζεται μέτρα καὶ σταθμὰ καὶ σφραγίδα ἰδίαν. καὶ δείξας τοῖς Χίοις εἶπε, [4] διότι, λήψομαι ὅ τι ἂν [5] παρά τι-
f νος ὑμῶν λαμβάνω, τούτοις τοῖς μέτροις καὶ σταθμοῖς· καὶ λαβὼν τὰ ἰσανὰ, ταύτῃ τῇ σφραγίδι τὰ ταμιεῖα [6] σφραγισάμενος καταλείψω. τοὺς δὲ ἀποδιδράσκοντας ὑμῶν δούλους, ἀνακρίνας τὴν αἰτίαν,

1 αὐτῷ δραπ. ed. Ven. αὖ τῷ δραπ. ms. Ven. qui fortaſſe αὐτῷ τῷ δραπ. debuerat. 2 περὶ τῶν οἰκ. ms. *Ep.* 3 παύσεται vulgo. 4 ἔφη edd. 5 ὅταν edd. cum ms. *Ep.* ὅτ' ἂν ms. *A.* ὅταν τι corrigebat Caſ. 6 τὰ τίμια edd. τὰ τιμιεῖα ms. *A.* τὰ ταμεῖα ms. *Ep.*

nec vero quidquam profeciſſent: videns Drimacus (id nomen fugitivo erat) fruſtra illos perire, his verbis eos eſt adlocutus: *Vobis, o Chii, olim domini noſtri, haec quae a ſervis patimini finem numquam habebunt. Qui enim poſſint, cum ex oraculo fiant a Deo edito? At, me ſi audiveritis, nosque ſiveritis agere otium, ego vobis multorum bonorum auctor ero.*"

89. »Igitur foedus cum eo quum iniiſſent Chii, induciasque in aliquod tempus eſſent pacti; menſuras ille & pondera & proprium ſigillum ſibi fieri curavit. Atque haec oſtendens Chiis, dixit: *Quidquid a quopiam veſtrûm cepero, his menſuris hisque ponderibus capiam: & poſtquam quae ſatis ſint cepero, hoc ſigillo horrea obſignata relinquam. Servorum autem, qui vobis aufugient, cauſſam cogno-*

ἐὰν μέν μοι δοκῶσιν ἀνήκεστόν τι παθόντες ἀποδεδρακέναι, ἔξω μετ' ἐμαυτοῦ· ἐὰν δὲ μηδὲν λέγωσι δίκαιον, ἀποπέμψω πρὸς τοὺς δεσπότας. Ὁρῶντες οὖν a
οἱ λοιποὶ οἰκέται τοὺς Χίους ἡδέως τὸ πρᾶγμα προσδεξαμένους, πολλῷ ἔλαττον ἀπεδίδρασκον, φοβούμενοι τὴν ἐκείνου κρίσιν. καὶ οἱ ὄντες [1] δὲ μετ' αὐτοῦ δραπέται, πολὺ μᾶλλον ἐφοβοῦντο ἐκεῖνον ἢ τοὺς ἰδίους αὐτῶν δεσπότας, καὶ πάντ' αὐτῷ τὰ δέοντα ἐποίουν, πειθαρχοῦντες ὡς ἂν στρατηγῷ. ἐτιμωρεῖτο τε [2] γὰρ τοὺς ἀτακτοῦντας, καὶ οὐδενὶ ἐπέτρεπε συλᾶν ἀγρὸν, οὐδὲ ἄλλο ἀδικεῖν οὐδὲ ἕν, ἄνευ τῆς αὐτοῦ γνώμης. ἐλάμβανε δὲ ταῖς ἑορταῖς ἐπιπορευόμε- b
νος ἐκ τῶν ἀγρῶν οἶνον καὶ ἱερεῖα τὰ καλῶς ἔχοντα, ὅσα δ' ἂν αὐτοῖς δοίησαν οἱ κύριοι· καὶ εἴ τινα αἴσθοιτο ἐπιβουλεύοντα αὐτῷ ἢ ἐνέδρας κατασκευάζοντα, ἐτιμωρεῖτο."

1 καὶ ὄντες, absque artic. edd. cum ms. *A*. 2 Deeſt τε edd.

ſcam: quos ſi comperero ea cauſſa profugiſſe, quod indigne & non ferendo modo tractati fuerint a dominis, apud me retinebo; ſi qui iuſtam fugae cauſſam proferre non potuerint, hos ad ſuos dominos remittam. Videntes igitur reliqui ſervi Chios libenter conditiones iſtas accipere, multo ad profugiendum tardiores fiebant, iudicium illius viri metuentes. Et qui cum illo erant fugitivi, multo magis ipſum timebant, quam olim dominos: & omnia eius imperia exſequebantur, haud ſecus atque imperatori obedientes. Puniebat enim immorigeros, neque cuiquam permittebat, ut aut agros ſpoliaret, aut aliam quamcumque faceret iniuriam, niſi ſuo ex mandato. Diebus vero feſtis agros obiens, accipiebat vinum & opimas victimas, & ſi quid aliud domini largirentur: ſin inſidias ſibi quempiam intelligeret ſtruentem aut exitium parantem, ab eo poenas exigebat."

XC. Generosa mors praedonis, olim servi.

Εἶτ' (ἐκήρυξε γὰρ ἡ πόλις χρήματα δώσειν πολλὰ τῷ αὐτὸν λαβόντι, ἢ τὴν κεφαλὴν κομίσαντι) οὗτος ὁ Δρίμακος πρεσβύτερος γενόμενος, καλέσας τὸν ἐρώμενον τὸν ἑαυτοῦ εἴς τινα τόπον, λέγει αὐτῷ, ὅτι, Ἐγώ σε πάντων ἀνθρώπων ἠγάπησα μάλιστα, καὶ σύ μοι εἶ καὶ παῖς καὶ υἱὸς, καὶ τὰ ἄλλα πάν-c τα. ἐμοὶ μὲν οὖν χρόνος ἱκανὸς βεβίωται· σὺ δὲ νέος εἶ, καὶ ἀκμὴν ἔχεις τοῦ ζῆν. τί οὖν ἐστίν; ἄνδρα σε δεῖ γενέσθαι καλὸν κἀγαθόν. ἐπεὶ γὰρ ἡ πόλις τῶν Χίων δίδωσι τῷ ἐμὲ ἀποκτείναντι χρήματα πολλὰ, καὶ ἐλευθερίαν ὑπισχνεῖται, δεῖ σε ἀφελόντα μοῦ τὴν κεφαλὴν εἰς Χῖον ἀπενεγκεῖν, καὶ λαβόντα παρὰ τῆς πόλεως τὰ χρήματα, εὐδαιμονεῖν. Ἀντιλέγοντος δὲ τοῦ νεανίσκου, πείθει αὐτὸν τοῦτο ποιῆσαι. καὶ ὃς, ἀφελόμενος αὐτοῦ τὴν κεφαλὴν, λαμβάνει παρὰ τῶν d Χίων τὰ ἐπικηρυχθέντα χρήματα. καὶ θάψας τὸ

90. »Progressu temporis, cum publice magnam pecuniae vim pollicita esset civitas ei qui vel vivum Drimacum caperet vel occisi caput adferret, iam grandior natu ille amasium suum in secretum locum vocatum, tali modo adlocutus est: *Ego te omnium hominum dilexi maxime, ac tu mihi & famulus & filius es & reliqua omnia. Iam vero satis temporis vixi equidem: tu autem iuvenis adhuc es, & in aetatis flore. Quid ergo? Virum te oportet esse fortem bonumque. Quoniam igitur Chiorum civitas ei, qui me occiderit, & magnam pecuniae vim & libertatem pollicita est, volo te abscissum meum caput in urbem deferre, & accepta a civitate pecunia, beatam posthac agere vitam.* Et reluctanti quidem iuveni, idque se facturum neganti, tandem ut id faceret persuasit. Is igitur, amputato viri capite, pecuniam accipit a Chiis publice promissam: &, sepulto

σῶμα τοῦ δραπέτου, εἰς τὴν ἰδίαν ἐχώρησεν. Καὶ οἱ Χῖοι, πάλιν ὑπὸ τῶν οἰκετῶν ἀδικούμενοι καὶ διαρπαζόμενοι, μνησθέντες τῆς τοῦ τετελευτηκότος ἐπιεικείας, ἡρῷον ἱδρύσαντο κατὰ τὴν χώραν, καὶ ἐπωνόμασαν, Ἥρωος εὐμενοῦς. καὶ αὐτῷ ἔτι καὶ νῦν οἱ δραπέται ἀποφέρουσιν ἀπαρχὰς πάντων ὧν ἀφέλωνται. [1] Φασὶ δὲ καὶ καθ' ὕπνους ἐπιφαινόμενον πολλοῖς τῶν Χίων προσημαίνειν οἰκετῶν ἐπιβουλάς. καὶ οἷς ἂν ἐπεφάνη, [2] οὗτοι θύουσιν αὐτῷ ἐλθόντες ἐπὶ τὸν τόπον, οὗ τὸ ἡρῷον ἐστὶν αὐτοῦ." e

Praedo post mortem consecratus.

XCI. Ὁ μὲν οὖν Νυμφόδωρος ταῦτα ἱστόρησεν. ἐν πλείοσι δὲ ἀντιγράφοις ἐξ ὀνόματος αὐτὸν καλούμενον οὐχ εὗρον. Οὐδένα δὲ ὑμῶν ἀγνοεῖν οἶμαι, οὐδὲ ἃ [3] ὁ καλὸς Ἡρόδοτος ἱστόρησεν περὶ Πανιωνίου τοῦ Χίου· καὶ ὧν ἐκεῖνος ἔπαθεν δικαίως, ἐλευθέρων παί-

Chii castratos vendunt.

1 ὑφέλωνται ms. *Ep.* & initio superscriptum ἀ. Oportebat puto ὧν ἂν ὑφέλωνται. 2 ἐπιφανῇ malebam. 3 οὐδὲ ὃ ὁ καλὸς edd.

cadavere, suam in patriam rediit. Chii vero, quum rursus iniuriis & rapinis adfligerentur a fugitivis, memores aequitatis lenitatisque defuncti illius, Heroum illi in agro suo exstruxerunt, adpellaruntque *Herois benevoli*. Eidemque ad hunc usque diem fugitivi primitias offerunt omnium quae depraedantur. Aiunt vero, multis eum etiam Chiorum per somnum adparere, de insidiis servorum eos praemonentem. Et, quibus ille adparuit, hi locum adeuntes ubi consecratum eius heroum est, sacra illi faciunt. «

91. Haec igitur narrat Nymphodorus: in pluribus vero exemplaribus nomen hominis non reperi declaratum. Neminem vero vestrûm ignorare ea arbitror quae elegans Herodotus de Panionio Chio memoriae prodidit; & quaenam ille perpessus sit iure merito, qui in-

δων ἐκτομὰς ποιησάμενος, καὶ τούτους ἀποδόμενος. Νικόλαος δ' ὁ Περιπατητικὸς, καὶ Ποσειδώνιος ὁ Στωϊκὸς, ἐν ταῖς Ἱστορίαις, ἑκάτερος τοὺς Χίους φησὶν ἐξανδραποδισθέντας ὑπὸ Μιθριδάτου τοῦ Καππάδοκος παραδοθῆναι τοῖς ἰδίοις δούλοις δεδεμένους, ἵν' εἰς τὴν Κόλχων [1] γῆν κατοικισθῶσιν. οὕτως αὐτοῖς ἀληθῶς τὸ δαιμόνιον ἐμήνισε, πρώτοις χρησαμένοις ὠνητοῖς ἀνδραπόδοις, τῶν πολλῶν αὐτουργῶν ὄντων κατὰ τὰς διακονίας. μή ποτ' οὖν διὰ ταῦτα καὶ ἡ παροιμία· „Χῖος δεσπότην ὠνήσατο·" ἣ κέχρηται Εὔπολις ἐν Φίλοις. Proverb. *Chius emit dominum.*

XCII.

Athenienſium leges favent ſervis.

Ἀθηναῖοι δὲ, καὶ τῆς τῶν δούλων προνοοῦντες τύχης, ἐνομοθέτησαν, καὶ ὑπὲρ δούλων γραφὰς ὕβρεως εἶναι. Ὑπερίδης γοῦν ὁ ῥήτωρ, ἐν τῷ κατὰ Μαντιθέου αἰκίας, [2] φησίν· „Ἔθεσαν οὐ μόνον ὑπὲρ τῶν ἐλευ-

1 Temere Κόλχον ed. Caſaub. 2 Temere Εἰκίας ed. Caſaub. 2. & 3.

genuos pueros caſtravit, & pretio vendidit. Nicolaus vero Peripateticus, & Poſidonius Stoicus, ſuis in Hiſtoriis tradunt uterque, Chios ſubiugatos a Mithridate Cappadoce propriis ſervis vinctos eſſe traditos, ut in Colchorum terram deportarentur. Ita vero illis ſuccenſuit Deus, quod primi ſervis uſi eſſent pretio emtis, cum tamen plurimi praeſto fuiſſent liberi homines, qui, quo victum ſibi pararent, ſuam illis operam erant locaturi. Fortaſſe igitur inde etiam obtinuit proverbium, *Chius ſibi dominum emit;* quo uſus eſt Eupolis, in fabula Amicis.

92. Athenienſes vero, ſervilis etiam ſortis rationem habentes, legem ſciverunt, ut de iniuria quae ſervis etiam eſſet illata, daretur actio. Itaque Hyperides orator, in oratione contra Mantitheum Iniuriarum, ait: »Lege ſanxerunt, ut non modo pro liberis hominibus,

θέρων, ἀλλὰ καὶ ἐάν τις εἰς δούλου σῶμα ὑβρίσῃ, γραφὰς εἶναι κατὰ τοῦ ὑβρίσαντος." Τὰ ὅμοια εἴρηκε καὶ Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος πρώτῳ, καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. Μαλακὸς δ', ἐν ταῖς Σιφνίων Ὥροις, [1] ἱστορεῖ, ὡς τὴν Ἔφεσον δοῦλοι τῶν Σαμίων ᾠκησαν, [2] χίλιοι τὸν ἀριθμὸν ὄντες· οἳ καὶ τὸ πρῶτον ἀποστάντες εἰς τὸ ἐν τῇ νήσῳ ὄρος, κακὰ πολλὰ ἐποίουν τοὺς Σαμίους. ἔτει δὲ ἕκτῳ μετὰ ταῦτα ἐκ μαντείας οἱ Σάμιοι ἐσπείσαντο τοῖς b οἰκέταις ἐπὶ συνθήκαις· καὶ ἀθῶοι [3] ἐξελθόντες τῆς νήσου, ἐκπλεύσαντες κατέσχον τὴν Ἔφεσαν, καὶ οἱ Ἐφέσιοι ἐκ τούτων ἐγένοντο.

Ephesus a servis fugitivis condita.

XCIII.

Διαφέρειν δὲ φησι Χρύσιππος δοῦλον οἰκέτου, γράφων ἐν δευτέρῳ περὶ Ὁμονοίας, διὰ τὸ τοὺς ἀπελευθέρους μὲν, δούλους ἔτι εἶναι· οἰκέτας δὲ τοὺς μὴ τῆς κτήσεως ἀφειμένους. „Ὁ γὰρ οἰκέτης, φησὶ,

Varia servorum nomina.

1 ὅροις edd. 2 Rectius fuerit ᾤκισαν. 3 ἀθρόοι ms. *Ep.*

verum etiam si quis in servi corpus iniuriam aut contumeliam admisisset, actio daretur contra eum qui iniuriam feciſſet." Paria Lycurgus dicit oratione prima in Lycophronem, & Demosthenes in oratione contra Midiam. Malacus vero, in Siphniorum Annalibus, narrat, conditam esse Ephesum a servis Samiis, mille numero: qui, postquam primum in montem secessissent, qui in insula est, multis malis Samios adfecerant. Sexto vero post anno oraculi monitu Samii pacem certis legibus cum eis composuerunt: & illi illaesi insula abeuntes, Ephesum navibus adpulerunt: ex eisque ortum cepere Ephesii.

93. Differre autem inter δοῦλον & οἰκέτην ait Chrysippus, secundo libro De Concordia; eo quod liberti quidem, δοῦλοι adhuc sint; οἰκέται vero dicantur, qui e domini potestate non sint manumissi. » Οἰκέτης enim, inquit,

δοῦλός ἐστι κτήσει κατατεταγμένος. " Καλοῦνται δ'
c οἱ δοῦλοι, ὡς μὲν Κλείταρχός φησιν ἐν ταῖς Γλώσσαις, ἄζοι, καὶ θεράποντες, καὶ ἀκόλουθοι, καὶ διάκονοι, καὶ ὑπηρέται· ἔτι δὲ πάλμονες καὶ λάτρεις. Ἀμερίας δὲ, ἐρκίτας, φησὶ, καλεῖσθαι τοὺς κατὰ τοὺς ἀγροὺς οἰκέτας. Ἕρμων δὲ ἐν Κρητικαῖς Γλώτταις, μνῶτας, τοὺς εὐγενεῖς [1] οἰκέτας· Σέλευκος δ' ἄζους, τὰς θεραπαίνας καὶ τοὺς θεράποντας· ἀποφράσην δὲ, τὴν δούλην, καὶ βολίζην· σίνδρωνα [2] δὲ, τὸν δουλέκδουλον· ἀμφίπολον δὲ, τὴν περὶ τὴν δέσποιναν θεράπαιναν· πρόπολον δὲ, τὴν προπορευομένην.
d Πρόξενος δ', ἐν δευτέρῳ Λακωνικῆς Πολιτείας, ἐπικαλεῖσθαι, φησὶ, Χαλκίδας παρὰ Λακεδαιμονίοις τὰς θεραπαίνας. Ἴων δ' ὁ Χῖος, ἐν Λαέρτῃ, τὸν οἰκέτην ἐπὶ δούλου τέθεικεν, εἰπών·

Οἴμοι· [3]

δόμον, [4] οἰκέτα, κλεῖσον ὑπόπτερος, μή τις ἔλθῃ

1 ἐγγενεῖς Eustath. 2 σίνδρονα edd. 3 Ἴοι μοι ms. *A*. 4 δόμων edd.

est δοῦλος qui in domini est potestate. « Vocantur vero servi, ut ait Clitarchus in Glossis, etiam ἄζοι, & θεράποντες, & ἀκόλουθοι, & διάκονοι, & ὑπηρέται: praeterea vero & πάλμονες, & λάτρεις. Amerias vero, ἐρκίτας, ait, vocari *servos qui in agris degant.* Hermon vero, in Creticis Glossis, μνῶτας ait esse *servos ingenuos.* [sive, *indigenas.*] Seleucus vero: ἄζους, *famulas & famulos: ἀποφράσην* vero & βολίζην, *servam* seu *ancillam: σίνδρωνα, servum servo genitum: ἀμφίπολον, ancillam quae circa heram versatur; πρόπολον, quae ante heram ambulat.* Proxenus vero, secundo libro de Lacedaemoniorum Republica, famulas apud Lacedaemonios, ait, *Chalcidas* cognominari. Ion vero Chius, in Laërte, vocabulum οἰκέτης pro eo quod δοῦλος est posuit, dicens:

Heu mihi! tamquam ales properans famule,

βροτῶν. —

Ἀχαιὸς δ', ἐν Ὀμφάλῃ, περὶ τοῦ Σατύρου λέγων, φησίν·

— Ὡς εὔδουλος, ὡς εὔοικος ἦν.

ἰδίως λέγων, ὡς χρηστὸς ἐς τοὺς δούλους ἐστὶ καὶ τοὺς οἰκέτας. Ὅτι δὲ οἰκέτης ἐστὶν ὁ κατὰ τὴν οἰκίαν διατρίβων, κἂν ἐλεύθερος ᾖ, κοινόν. e

XCIV. Priscae felicitatis iocosa descriptio, apud Cratinum.

Οἱ δὲ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ, περὶ τοῦ ἀρχαίου βίου διαλεγόμενοι, ὅτι οὐκ ἦν τότε δούλων χρεία, τοιάδε ἐκτίθενται. Κρατῖνος μὲν ἐν Πλούτοις·

— — — Οἷς δὴ ἦρ'
βασιλεὺς Κρόνος τὸ παλαιόν·
ὅτε τοῖς ἄρτοις ἠστραγάλιζον,
μᾶζαι δ' ἐν ταῖσι παλαίστραις
Αἰγιναῖαι κατεβέβληντο
δρυπεπεῖς, [1] βώλοις [2] τε κομῶσαι.

1 δρυπετεῖς edd. Rectius fuerit δρυπέπεις. 2 κώλοις e sua Epit. ci-

ciclaude domum; ne quis intret mortalium.

Achaeus vero in Omphale, de satyro loquens, ait:

Quam εὔδουλος, quam εὔοικος erat!

cum proprie dicere vellet, fuisse eum *erga servos & famulos benignum.* Οἰκέτην vero dici etiam quemlibet in domo quadam viventem, etsi liber homo sit, satis notum est.

94. Veteris vero Comoediae poëtae, ubi de prisca vita loquuntur, ostensuri nullum tunc servorum fuisse usum, talia proponunt. Cratinus, in Plutis; (*seu*, Divitiis:)

— — *Quibus nimirum*
rex Saturnus erat olim:
quum panibus pro talis luderent,
& mazae in palaestris
Aeginaeae exhiberentur
bene coctae, massisque luxuriantes.

Κράτης δ' ἐν Θηρίοις·

Apud Cratetem.

Α. Ἔπειτα δοῦλον οὐδὲ εἷς
κεκτήσεται, οὐδὲ δούλην·
ἀλλ' αὐτὸς αὑτῷ δῆτ' ἀνὴρ
γέρων διακονήσει;

f Β. Οὐ δῆτ'· ὁδοιποροῦντα γὰρ [1]
τάδε πάντ' ἐγὼ ποιήσω.

Α. Τί δῆτα τοῦτ' αὐτοῖς πλέον; [2]

Β. Πρόσεισιν αὐθέκαστον
τῶν σκευαρίων ὅταν καλῇ
τι. Παρατίθου, ὦ τράπεζα· [3]
αὐτὴ παρασκεύαζε σαυ-
τήν. Μάττε, θυλακίσκε.
Ἔγχει, κύαθε. ποῦσθ' ἡ κύλιξ;
διάνιζε σύ γε σεαυτήν. [4]
Ἀνάβαινε, μάζα. Τὴν χύτραν
χρὴ ἐξεράν τὰ τεῦτλα. [5]

tavit Caſaub. Inde κολίαις corrigebat Heringa, βόλοις vero Toup. 1 Vulgo: οὐ δῆτα. ὁδοιπόρου, τὰ γὰρ ταῦτα πάντ' &c. 2 πλεῖον vulgo. 3 Vulgo παρατιθῶ. τράπεζα αὕτη παρασκ. 4 λίαν νίζουσα σεαυτήν edd. λιανίζουσα σεαυτήν. ms. *A.* νίζε σεαυτήν ms. *Ep.* 5 ἐξάραι τὰ τεῦτλα ed. Caſ. ἐξ ἆραι τὰ τευτλ. ms. *Ep.* ἐξάραντα τεῦτλ. ed. Ven. & Baſ. ἐξαιραντα τεῦτλ. ms. *A.*

Crates vero, in Beſtiis:

A. *Ita-ne nulli ſervus futurus eſt, ancilla nulla? verum etiam ſenex miniſtrabit ſibi?*

B. *Haud ita ſane: efficiam enim, ut haec ſe moveant omnia.*

A. *Quid vero inde lucrabimur?* B. *Accedet ſponte vas quodcumque vocaveris. Adpone te, menſa! ipſa te para! Panarium, ſubige mazam! Infunde, cyathe! Ubi eſt calyx? lava te ipſum! Adſcende, maza! Olla, betas exprome!*

Ἰχθῦ, βάδιζ'. — Ἀλλ' οὐδέπω
τἀπὶ θάτερ' ὀπτὸς εἰμί. —
Οὐκοῦν μεταστρέψας σεαυ-
τὸν ἄλειφας εἰσάλειψον. [1]

Ἑξῆς δὲ μετὰ ταῦτα ὁ τὸν ἐναντίον τούτῳ παραλαμ- a
βάνων λόγον, φησίν·

Ἀλλ' ἀντίθες τοι· [2] ἐγὼ γὰρ αὐτὰ τάμπαλιν [3]
τὰ θερμὰ λουτρὰ πρῶτον ἄξω τοῖς ἐμοῖς
ἐπὶ κιόνων ὥσπερ διὰ τοῦ παιωνίου [4]
ἐπὶ τῆς θαλάττης, ὥσθ' ἑκάστῳ ῥεύσεται
εἰς τὴν πύελον. ἐρεῖ δέ· Θ' ὕδωρ ἀναχαιτιεῖ. [5]
ἔπειτ' ἀλάβαστος [6] εὐθέως ἥξει μύρου
αὐτόματος, ὁ σπόγγος τε, καὶ τὰ σάνδαλα.

XCV. Βέλτιον δὲ τούτων Τηλεκλείδης, Ἀμφικτύοσι·

Apud Teleclidem. Λέξω τοίνυν, βίον ἐξ ἀρχῆς b
ὃν ἐγὼ θνητοῖσι παρεῖχον.

1 ἀλείπαζ' εἰσαλείφων edd. ἀλειπασεις αλειφων ms. *A.* σεαυτὸν ἄλειφε ms. *Ep.* ἀλείφατ' εἰσάλειφε corr. Hering. 2 ἀντίθες τόδ' edd. 3 πάμπαλιν ms. *A.* 4 Abeſt ille verſus edit. Ven. & Baſ. 5 ἀνεχχέτει edd. ἀνεχετει ms. *A.* ἀναχαίτε vel ἀναχαίτει Epit. 6 ἀλάβαστρος edd.

Accede, piſcis! — At altera parte nondum ſum aſſus. — Ergo verte te, oleoque te inunge!

Continuo vero deinde is qui viciſſim huic reſpondet, ait:

At tu contra cogita: ego enim ipſa viciſſim
calida balnea primum in mea derivabo
ſuper columnis velut per Paeonium
ad mare; ita ut fluxura ſit aqua cuique
ſuum in labrum. Dein dicet: & inhibebit fluxum.
Poſt ſtatim alabaſtrum veniet unguenti
ſponte ſua, itemque ſpongia, & ſandalia.

95. His autem melius Teleclides, in Amphictyonibus:

Fari incipiam, quale ego quondam
dederim mortalibus aevum.

Εἰρήνη μὲν πρῶτον ἁπάντων
ἦν ὥσπερ ὕδωρ κατὰ χειρός.
Ἡ γῆ δ' ἔφερ' οὐ δέος οὐδὲ νόσους,
ἀλλ' αὐτόματ' ἦν τὰ δέοντα.
Οἴνῳ γὰρ ἅπας ἔρρει χάραδρα.
Μᾶζαι δ' ἄρτοις ἐμάχοντο
περὶ τοῖς στόμασιν τῶν ἀνθρώπων,
ἱκετεύουσαι καταπίνειν,
εἴ τι Φιλοῖεν τὰς λευκοτάτας.
Οἱ δ' ἰχθύες, οἴκαδ' ἰόντες,
c ἐξοπτῶντες σφᾶς αὐτοὺς ἂν
παρέκειντ' ἐπὶ ταῖσι τραπέζαις.
Ζωμοῦ δ' ἔρρει παρὰ τὰς κλίνας
ποταμὸς, κρέα θερμὰ κυλίνδων·
ὑποτριμματίων δ' ὀχετοὶ τούτων
τοῖς βουλομένοισι παρῆσαν·

Pax primum aderat passim, tamquam
manibus quae affunditur unda.
Morbo atque metu libera tellus
vitae bona sponte ferebat.
Vino enim omnis torrens fluebat.
Mazae panibus dimicabant
ipsa circum hominum ora,
devorari modo flagitantes,
si cuperent illi candidissimas.
Pisces vero, domum euntes,
seque ipsos assantes videres
mensis adpositos.
Iusculi manabat lectulorum ad pedes
flumen, carnes fervidas volvens:
intritorumque rivi cunctis,
qui voluissent, praesto aderant;

ὥστ' ἀφθονία τὴν ἔνθεσιν ἦν
ἄρδονθ' ἁπαλὴν [1] καταπίνειν.
Λεκανίσι καὶ σίδ' ἀνάπαιστα [2] παρῆν,
ἡδυσματίοις κατάπαστα.
Ὀπταί τε κίχλαι μετ' ἀμητίσκων
εἰς τὸν Φάρυγ' [3] εἰσεπέτοντο·
τῶν δὲ πλακούντων ὠστιζομένων
περὶ τὴν γνάθον ἦν ἀλαλητός.
Μήτρας δὲ τόμοις καὶ χναυματίοις
οἱ παῖδες ἂν ἐστραγάλιζον. [4]
Οἱ δ' ἄνθρωποι πίονες ἦσαν
τότε, καὶ μέγα χρῆμα γιγάντων.

XCVI.

Apud Pherecratem.

Πρὸς τῆς Δήμητρος ὑμῖν, ὦ ἑταῖροι, εἰ ταῦτα οὕτως ἐγίνετο, χρεία τίς ἡμῖν ἦν οἰκετῶν; Ἀλλὰ γὰρ αὐτουργοὺς εἶναι ἐθίζοντες ἡμᾶς οἱ ἀρχαῖοι διὰ τῶν

1 ἔνθεσιν ἢ νάρδον ἁπαλὴν edd. cum ms. *A*. 2 καὶ σίδ' ἀνάσπαστα corr. Dalech. καὶ σιδ' ἂν ἄπαυστα Villebr. καὶ χρέα ἁλίπαστα Casaub. Omisit Epit. Mihi non liquet. 3 φάρυγγ' vulg. 4 ἀνεστραγάλιζον edd. cum ms. *A*. ἂν ἑστραγάλιζον malim.

ut abunde offam cuique liceret
rigatam devorare molleinque.
In patinis [*elixa copiose*] *aderant,*
condimentis consperſa.
Aſſique turdi cum placentulis
hominum in gulam involabant.
liborumque manducatorum
ſtrepitu dentes reſonabant.
Vulvae fruſtis cupediisque
pueri, ut talis, ludebant.
Homines pingui corpore erant tunc,
ſtaturâque utique gigantes.

96. Per Cererem, quaeso a vobis, Amici! haec si ita essent, quid opus nobis esset famulis? At nimirum, ut nobis ipsi ministraremus adsuefacere nos voluerunt

ποιημάτων ἐπαίδευον, εὐωχοῦντες λόγοις. Ἐγὼ δ', ἐπειδὴ ὥσπερ λαμπάδιον καταισείσαντος τοῦ θαυμα-
e σιωτάτου Κρατίνου τὰ προκείμενα ἔπη, καὶ ὡς [1] οἱ μετ' αὐτὸν γενόμενοι μιμησάμενοι ἐπεξειργάσαντο, ἐχρησάμην τῇ τάξει τῶν δραμάτων ὡς ἐδιδάχθη· καὶ, εἰ μὴ ἐνοχλῶ τι ὑμῖν, (τῶν γὰρ Κυνικῶν Φροντὶς οὐδὲ ἡ σμικροτάτη) ἀπομνημονεύσω κατὰ τὴν τάξιν καὶ τὰ τοῖς ἄλλοις εἰρημένα ποιηταῖς. ὧν εἷς ἐστιν ὁ Ἀττικώτατος Φερεκράτης, ὃς ἐν μὲν τοῖς Μεταλλεῦσι φησίν·

Α. Πλούτῳ δ' ἐκεῖν' [2] ἦν πάντα συμπεφυρμένα,
ἐν πᾶσιν ἀγαθοῖς πάντα τρόπον εἰργασμένα.
Ποταμοὶ μὲν ἀθάρης καὶ μέλανος ζωμοῦ πλέοι
f διὰ τῶν στενωπῶν τονθολυγοῦντες [3] ἔρρεον
αὐταῖσι μυστίλαισι· καὶ ἱαστῶν τρύφη· 5

1 ἅπερ pro καὶ ὡς corrigit Casaubonus. Mihi potius desiderari participium aliquod videbatur ad verbum ἐχρησάμην relatum. 2 Forſ. ἐκεῖ. 3 τονθορυγοῦντες apud Polluc.

veteres, erudireque nos carminibus ſuis, dum verbis lautas nobis epulas adponunt. Ego vero quoniam, [ut vobis monſtrarem] quo pacto poſteriores poëtae, poſtquam ſupra adpoſitos verſus Cratinus veluti lampada tollens edidit, imitati ſint illos & amplificaverint, uſus ſum temporum ordine quibus exhibitae fabulae ſunt; etiam quae ab aliis poëtis dicta ſunt, niſi vobis moleſtus fuero, (nam Cynicos hos ne tantillum quidem curo) ordine commemorabo. In his igitur eſt ille Atticâ urbanitate abundans *Pherecrates*, qui in Metallicis haec dicit:

A. *Divitiis omnia ibi promiſcue cumulata erant,*
bonisque omnibus quovis modo abundantia.
Nam amnes pulte nigroque iure pleni
per vias cunctas fluebant murmurantes,
cum ipſis cochlearibus & panum fruſtulis;

ὥστ' εὐμαρῆ τε καὐτόματον τὴν ἔνθεσιν [1]
χωρεῖν λιπαρὰν κατὰ τοῦ λάρυγγος τοῖς νεκροῖς.
Φύσκαι δὲ, καὶ ζέοντες ἀλλάντων τόμοι
παρὰ τοῖς ποταμοῖς σίζοντ' ἐκέχυντ' ἀντ' ὀστράκων.
Καὶ μὴν παρῆν τεμάχη μὲν ἐξωπτημένα,
καταχυσματίοισι παντοδαποῖσιν εὐτρεπῆ. [2]
Σκελίδες [3] δ' ὁλόκνημοι πλησίον τακερώταται,
ἐπὶ πινακίσκοις· [4] καὶ δίεφθ' ἁκροκώλια,
ἥδιστον ἀτμίζοντα, καὶ χόλικες [5] βοός·
καὶ πλευρὰ δελφάκεϊ ἐπεξανθισμένα,
χναυρότατα, [6] παρέκειτ' ἐπ' ἀμύλοις καθήμενα.
παρῆν δὲ χόνδρος γάλακτι κατανενιμμένος,
ἐν καταχύτλοις λεκάναισι, καὶ πύου τόμοι. [7]
Β. Οἴμ', ὡς ἀπολεῖς μ', ἐνταῦθα διατρίβουσ' ἔτι,

1 Vulgo ὥστ' εὐμαρῆ ἦγεν. αὐτόματ' εἰς τὴν ἔνθεσιν. 2 Apud Pollucem proxime inſeritur hic verſus:
τεύτλοισί τ' ἐγχέλεια συγκεκαλυμμένα.
3 Alibi vulgo σχελίδες, & ſic h. l. ms. *Epit.* 4 Commodius πιναχίσκων apud Polluc. 5 χόλιξ Polluc. 6 χαυνότερ' ἐπέκειτ' apud Poll. 7 Monſtroſe καὶ πόντομ' edd. καὶ πυοτομοι ms. *A.* καὶ ἀμύλου τόμοι Poll.

ut facile ſuaque ſponte offa
pinguis deſcenderet mortuorum in gulam.
Tum lucanicae & ferventia hillarum fruſta,
oſtreorum vice, prope fluvios ſparſa ſtridebant.
Aderantque piſcium toſta cybia,
ſcitamentis omnigenis probe adparata.
Proximae erant integrae pernae tenerrimae
in lancibus, & bis elixi trunculi,
ſuaviſſimo vapore, & bovis viſcera:
& coſtae porcellorum, rutilo colore,
aderant lautiſſimae, placentis inſidentes.
Aderatque multo lacte diluta alica
in patinis hauſtra aequantibus, & coloſtri fruſta.
B. *Eheu! ut me enecas, mulier! quod hîc adhuc moreris,*

παρὸν κολυμβᾶν ὡς ἔχετ' εἰς τὸν τάρταρον.
b Α. Τί δῆτα λέξεις, τἀπίλοιπ' ἤνπερ πύθῃ;
Ὀπταὶ κίχλαι γὰρ ἀνάβραστοι [1] ἠρτυμέναι
περὶ τὸ στόμ' ἐπέτοντ', ἀντιβολοῦσαι καταπιεῖν,
ὑπὸ μυρρίναισι κἀνεμώναις κεχυμέναι.
Τὰ δὲ μῆλ' ἐκρέμαντο τὰ καλὰ τῶν καλῶν ἰδεῖν
ὑπὲρ κεφαλῆς, ἐξ οὐθενὸς πεφυκότα.
Κόραι δ' ἐν ἀμπεχόναισι τριχάπτοις, [2] ἀρτίως
ἠβυλλιῶσαι, καὶ τὰ ῥόδα κεκαρμέναι,
πλήρεις κύλικας οἴνου μέλανος ἀνθοσμίου
c ἤντλουν διὰ χώνης τοῖσι βουλομένοις πιεῖν.
Καὶ τῶν δ' ἕκαστος εἰ φάγοι τι, ἢ πίοι,
διπλάσι' ἐγένετ' εὐθὺς ἐξαρχῆς πάλιν.

XCVII. Apud eundem Pherecratem.

Κἀν τοῖς Πέρσαις δὲ φησί·
Τίς δ' ἐσθ' ἡμῖν τῶν σῶν ἀροτῶν

1 ἀνάβραστ' edd. cum ms. *A*. Rectius fuerit ἀναβραστοὶ acute.
2 Temere τριχύφοις edd.

cum vobis liceat e veſtigio in tartarum immergi.
A. *Quid ergo dices, caetera ſi audiveris?*
Nam aſſi turdi fervidi & laute adparati
circa os volitabant, deglutiri ſupplicantes,
inter myrtos & anemonas diffuſi.
Mala autem pendebant longe pulcerrima
ſuper capite, nusquam adhaerentia.
Puellae pallis indutae ſubtiliſſimis,
recens pubeſcentes, & roſas detonſae,
plenos vini calices rubri odorati
infundebant per infundibulum bibere volentibus.
Horumque omnium ſi quid comediſſet bibiſſetve quispiam,
rurſus ſtatim duplo copioſius aderat.

97. Idemque in Perſis ait:
Quid vero nobis tuis aratoribus

ἢ ζυγοποιῶν ἔτι χρεία,
ἢ δρεπανουργῶν, ἢ χαλκοτύπων,
ἢ σπέρματος, ἢ χαρακισμοῦ;
Αὐτόματοι γὰρ διὰ τῶν τριόδων
ποταμοὶ, λιπαροῖς ἐπιπάστοις
ζωμοῦ μέλανος καὶ Ἀχιλλείοις
μάζαις κοχυδοῦντες, ἐπιβλὺξ
ἀπὸ τῶν πηγῶν τῶν τοῦ Πλούτου
ῥεύσονται, [1] σΦῶν ἀρύτεσθαι.
Ὁ Ζεὺς δ' ὕων οἴνῳ καπνίᾳ,
κατὰ τοῦ κεράμου βαλανεύσει·
ἀπὸ τῶν δὲ τεγῶν ὀχετοὶ βοτρύων
μετὰ ναστίσκων [2] πολυτύρων
ὀχετεύσονται, θερμῷ [3] σὺν ἔτνει
καὶ λειριοπολΦανεμώναις.

1 ῥεύσοντας edd. cum ms. *A*. 2 Vulgo μετ' ἀμητίσκων καὶ νατίσκων. Et corrupte νασίσκων edd. 3 θερμοὶ vulgo.

aut iugorum fabris adhuc eſt opus,
aut falcium fabris, aut aerariis,
aut ſemine, aut vallorum ſepto?
Iam enim ultro cuncta per trivia
iuris nigri rivi,
pinguibus placentis Achillaeisque
mazis exundantes,
copioſe Pluti e fontibus profluent,
modo ut haurire ex illis liceat.
Iupiterque pluens vinum capniam,
in tecta velut balneum effundet:
tum ex tectis rivi uvarum
mixti tortulis caſeo pinguibus
decurrent, calido cum pulmento
& liliobulbanemonis.

Τὰ δένδρη τὰ ἐν τοῖς ὄρεσι [δὴ] [1]
χορδαῖς ὀπταῖς ἐριφείοις
e Φυλλοροήσει, καὶ τευθιδίοις
ἁπαλοῖς, κίχλαις τ' ἀναβράστοις. [2]

XCVIII.

Apud Aristophanem.

Τί δεῖ πρὸς τούτοις ἔτι παρατίθεσθαι τὰ ἐκ Ταγηνιστῶν τοῦ χαρίεντος Ἀριστοφάνους; πάντες γὰρ τῆς [3] κατ' Ἀχαρνεῖς αὐτοῦ πλήρεις ἐστέ. Τῶν δὲ Μεταγένους ἐκ Θουριοπερσῶν μνημονεύσας, καταπαύσω τὸν λόγον, μακρὰ χαίρειν εἰπὼν ταῖς Νικοφῶντος Σειρῆσιν, ἐν αἷς τάδε γέγραπται·

Nicophontem.

— — Νιφέτω μὲν ἀλφίτοις, [4]
ψακαζέτω δ' ἄρτοισιν, ὑέτω δ' ἔτνει·
ζωμὸς διὰ τῶν ὁδῶν κυλινδείτω [5] κρέα·
πλακοῦς ἑαυτὸν ἐσθίειν κελευέτω.

f Ἀλλ' ὄγε Μεταγένης τάδε φησίν·

Metagenem.

1 Vocula ex coniect. a nobis adiecta. 2 ἀναβραστοῖς malim. 3 Aut τῶν oportebat, aut intercidit aliquid. 4 ἀλφίτοισι vulgo: ubi ἀλφίτοισι νῦν corrigit Casaub. 5 καλινδείτω edd.

Arboresque in montibus cunctae
hoedorum toſtis lactibus
defluent, & ſepiolis teneris,
& turdis ferventibus.

98. Iam quid poſt haec opus eſt feſtivi *Ariſtophanis* ex Tageniſtis verſus adponere, aut illos ex Acharnenſibus, quos memoria omnes tenetis? Poſtquam vero Metagenis commemoravero ex Thurioperſis verſiculos, finem faciam dicendi, valere iubens *Nicophontis* Sirenes, in quibus ſic ſcriptum eſt:

— — *Ningat polentis,*
roreſcat panibus, pluatque pulte!
iuſculum per vias volvat carnes!
placenta ipſa comedi ſe iubeat!

Metagenes vero haec dicit:

Ὁ μὲν ποταμὸς ὁ Κρᾶθις ἡμῖν καταφέρει
μάζας μεγίστας, αὐτομάτας μεμαγμένας.
Ὁ δ' ἕτερός γε, ὁ Σύβαρις καλούμενος
ποταμὸς, ὠθεῖ κῦμα ναστῶν, καὶ κρεῶν, [1]
ἑφθῶν τε βατίδων, εἰλυομένων αὐτόσε. [2]
Τὰ δὲ μικρὰ ταυτὶ ποτάμι', ἐντεῦθεν ῥέει [3]
τευθῖσιν ὀπταῖς καὶ φάγροις καὶ καράβοις·
ἐντευθενὶ δ' ἀλλᾶσι καὶ περικόμμασι,
τηδὶ δὲ Φυλλίσι, [4] τῇδε δ' αὖ ταγηνίαις.
τεμάχη δ' ἄνωθεν αὐτόματα πεπνιγμένα
εἰς τὸ στόμ' αἴττει· [5] τὰ δὲ [6] παρ' αὐτὼ τὼ πόδε.
ἄμυλοι δὲ περινάουσιν ἡμῖν ἐν κύκλῳ.

Οἶδα δ' ὅτι καὶ οἱ Θουριοπέρσαι, καὶ τὸ τοῦ Νικοφῶντος δρᾶμα ἀδίδακτά ἐστι· διόπερ καὶ τελευταίων αὐτῶν ἐμνήσθην.

1 Vitiatum nonnihil esse hunc versum & proxime praecedentem, claudicans metrum arguit. 2 αὐτόθεν edd. 3 Vulgo ποτάμι' ἓν μὲν ἐντεῦθεν ῥέει. 4 τηδὶ δ' ἀφύλοισι edd. τιδιδ' ἀφύλισι ms. Ven. Omisit Epit. Τῇδε δὲ ἐφθοῖσι vel τῇδ' ἐφθαλέοισι corrigebat Casaub. 5 ἔῤῥει edd. 6 τάδε edd.

Alter fluvius Crathis defert nobis
mazas maximas, ultro a se ipsis subactas.
Alter vero, Sybaris qui adpellatur,
fluctum propellit placentarum, & carnium,
& elixarum raiarum; quae omnia huc volvuntur.
Minores vero hi fluvioli, hinc quidem vehunt
loligines tostas, & phagros, & locustas;
illinc lucanicas & minutalia;
hîc porro moreta, illic frixa bellaria.
Superne vero piscium cybia, sua sponte elixa,
in buccam irruunt: alia ante ipsos adsunt pedes.
Amylatae vero placentulae undique nos cingunt.

Caeterum & Metagenis fabulam Thurioperſas, itemque Nicophontis quam dixi fabulam, numquam in scena exhibitas esse novi: quare etiam postremo loco eas nominavi.

XCIX. Esurit Cynulcus.

Ταῦτα τοῦ Δημοκρίτου σαφῶς καὶ τορῶς διεξελθόντος, ἐπῄνουν μὲν οἱ δαιταλεῖς· ὁ δὲ Κύνουλκος
b ἔφη, Ἄνδρες σύσσιτοι, σφόδρα με λιμώττοντα οὐκ ἀηδῶς ὁ Δημόκριτος εἱστίασε, ποταμοὺς διαπεραναμένους ἀμβροσίας καὶ νέκταρος· ὑφ' ὧν ἀρδευθεὶς τὴν ψυχὴν, πάνυ πεινάλεος γεγένημαι, λόγους αὐτὸ μόνον καταβροχθίσας. ὥστε ἤδη παυσάμενοί ποτε τῆς τοσαύτης ἀπεραντολογίας, καὶ κατὰ τὸν Παιανιέα ῥήτορα τοιούτων τινῶν μεταλάβωμεν „ἃ μήτ' ἰσχὺν ἐντίθησι, μήτ' ἀποθνήσκειν ἐᾷ."

[Ἀλλ'] [1] ἐν κενῇ γὰρ γαστρὶ τῶν καλῶν ἔρως
c οὐκ ἔστι· πεινῶσι γὰρ ἡ Κύπρις πικρά·

Ἀχαιὸς φησιν, ἐν Αἴθωνι Σατυρικῷ. παρ' οὗ ὁ σοφὸς Εὐριπίδης λαβὼν ἔφη·

Ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶντι δ' οὔ.

Πρὸς ὃν ὁ Οὐλπιανὸς ἀεί ποτε διαπολεμῶν ἔφη·

1 Abest vulgo Ἀλλ' particula.

99. Quae quum Democritus clara acutaque voce esset prolocutus, laudarunt convivae; Cynulcus vero ait: Viri, mensae sodales! Admodum mihi esurienti non iniucundas quidem dapes adposuit Democritus, traiectis ambrosiae & nectaris amnibus: at eisdem humectata mihi adpetentia est, & magis adaucta fames, cum nil nisi verba deglutiverim. Quare finem tandem faciamus infinitae huius loquacitatis, & eorum aliquid capiamus, quae, *si minus robur addunt corpori, tamen mori non patiuntur*, ut verbis utar Paeanensis oratoris.

At vacuo in ventre pulcrorum amor non inest:
acerba enim Cypris esurientibus:

quod Achaeus ait in Aethone Satyrico; a quo mutuatus sapiens Euripides dicit,

Saturis Venus adest, non esurientibus.

Cui Ulpianus quavis occasione adversari solitus, respondit:

Πλήρης μὲν λαχάνων ἀγορὴ, πλήρης δὲ καὶ ἄρτων. Σὺ δὲ, ὦ κύων, ἀεὶ λιμώττεις, καὶ οὐκ ἐᾷς ἡμᾶς λόγων καλῶν καὶ ἀφθόνων μεταλαμβάνειν, μᾶλλον δὲ σιτεῖσθαι. Τροφὴ γὰρ ψυχῆς λόγοι καλοί. Καὶ ἅμα στραφεὶς πρὸς τὸν οἰκέτην· Λεῦκε, ἔφη, κἂν d ἐκθατνίσματά τινα ἄρτων ἔχῃς, δὸς τοῖς κυσίν. Καὶ ὁ Κύνουλκος· Εἰ μὲν εἰς ἀκροάσεις λόγων, ἔφη, παρεκεκλήμην, ἠπιστάμην ἥκειν ἀγορᾶς πληθυούσης. οὕτως γάρ τις τῶν σοφῶν [1] τὴν τῶν δείξεων ὥραν ἐκάλει· καὶ αὐτὸν οἱ πολλοὶ διὰ τοῦτο Πληθαγόραν ὠνόμαζον. „ Εἰ δὲ λουσάμενοι λόγαρια δειπνοῦμεν,

μικρὰς τίθημι συμβολὰς, ἀκροώμενος· “

κατὰ τὸν Μένανδρον. διὸ παραχωρῶ σοι, ὦ γάστρων, τῆς τοιαύτης ἐμφορεῖσθαι σιτήσεως.

Πεινῶντι δ' ἀνδρὶ [2] μάζα τιμιωτέρα e

1 σοφιστῶν ms. *Ep.* quod verum videtur. 2 Πεινῶντι γὰρ ἀνδρὶ vulgo.

At plenum eſt forum oleribus, plenum item panibus.

Tu vero, o canis, ſemper eſuris: nosque non finis pulcris & copioſis ſermonibus frui, &, vere dicam, cibari. Cibus enim animi, ſunt boni pulcrique ſermones. Simul ad famulum converſus: Leuce, inquit: quod ſi reiectamenta quaedam panum habes, da his canibus. Et Cynulcus: Si ad audiendos, inquit, ſermones fuiſſem invitatus, non ignorabam *pleno foro* me venturum. Sic enim recitationum horam nominavit ſapientum [*ſive*, ſophiſtarum] nonnemo, qui idcirco Plethagoras vulgo eſt adpellatus.

Quod ſi vero loti ſermunculos coenamus,
nonnullam ego ſymbolam audiendo contuli:

ut cum Menandro loquar. Quare te, lurco, nihil prohibeo quo minus hoc cibi genere ſatieris: ſed,

Eſurienti homini maza pretioſior

χρυσοῦ τε καὶ ἐλέφαντος,
κατὰ τὸν τοῦ Ἐρετριέως Ἀχαιοῦ Κύκνον. [1]

C.

Καὶ ἅμα ταῦτα λέγων, οἷός τ' ἦν ἀπανίστασθαι. ἐπιστραφεὶς δὲ, καὶ θεασάμενος πλῆθος ἰχθύων, καὶ ἄλλων παντοδαπῶν ὄψων παρασκευὴν εἰσκυκλουμένην, τύψας τῇ χειρὶ τὸ προσκεφάλαιον, ἀνέκραγεν· Fames patientiam suadet.

Τέτλαθι δὴ πενίη, καὶ ἀνάσχεο μωρολογούντων·
f ὄψων γὰρ πλῆθός σε δαμᾷ καὶ λιμὸς ἀτερπής.

Ἐγὼ γὰρ ἤδη ὑπὸ τῆς ἐνδείας οὐ διθυράμβους φθέγγομαι κατὰ τὸν Σωκράτην, ἀλλ' ἤδη καὶ ἔπη. λιμῶδες γὰρ ὄντως ἡ ῥαψῳδία. κατὰ γὰρ Ἀμειψίαν, ὃς ἐν Σφενδόνῃ ἔφη, περὶ σοῦ μαντευσάμενος, ὦ Λαρήνσιε·

Κ' οὐδεὶς σοῦ 'στιν τῶν πλουτούντων, [2]
μὰ τὸν Ἥφαιστον, προσόμοιος,
a καλλιτράπεζος, καὶ βουλόμενος
λιπαρὸν ψωμὸν [3] καταπίνειν.

1 κύκλον vulgo. 2 Κοὐδεὶς σοί τις τῶν πλουσίων edd. 3 ζωμὸν edd.

& auro & ebore;
ut Eretrienſis Achaeus ait, in Cygno.

100. Haec dicens Cynulcus, iam in eo erat ut ſurgeretque abiretque. Sed converſus, ubi ingentem vim piſcium aliamque obſoniorum cuiusvis generis copiam vidit inferri; cervical manu pulſans, exclamavit:

At patiens eſto paupertas, & ſtultos tolera loquaces!
Obſoniorum enim copia te domat, diraque fames.

Iam enim ego, ob paupertatem, non modo *dithyrambos loquor*, ut ait Socrates, ſed & heroica carmina. Famelica enim res eſt carminum recitatio. Nam, quod Ameipſias in Funda ait, de te vaticinatus, Larenſi:

Nemo tui omnium divitum,
ita me Vulcanus, ſimilis eſt,
lautâ menſâ, adſuetusque
pinguem offam ingerere.

Ὁρῶ γὰρ [1] θαῦμ' ἄπιστον, ἰχθύων γένη
περὶ τὴν ἄκραν παίζοντα, κωβίους, σπάρους,
ψήττας, ἐρυθίνους, κεστρέας, πέρκας, ὄνους,
θύννους, μελανούρους, σηπίας, αὐλωπίας,
τρίγλας, ἐλεδώνας, σκορπίους· — —

Φησὶν Ἡνίοχος, ἐν Πολυπράγμονι. δεῖ οὖν κἀμὲ, κατὰ [2] τὸν κωμικὸν Μεταγένην ἐπειπόντα,

Εἰς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ δείπνου·
τετλάναι.

Cl.

Supplementum disputationis *de Servis.*

Σιωπήσαντος δ' αὐτοῦ, ὁ Μασούριος [3] ἔφη· Ἀλλ', ἐπειδὴ ὑπολείπεταί τινα περὶ τοῦ ἀμφὶ τοὺς οἰκέτας λόγου, συμβαλοῦμαί τι καὶ αὐτὸς „μέλος εἰς ἔρωτα" τῷ σοφῷ καὶ φιλτάτῳ Δημοκρίτῳ. Φίλιππος ὁ Θεαγγελεὺς, ἐν τῷ Περὶ Καρῶν καὶ Λελέγων συγγράμματι, καταλέξας τοὺς Λακεδαιμο-

Leleges.

1 Malles cum Casaubono: - - Ὁρῶ
ἅπαντα, θαῦμ' ἄπιστον, ἰχθύων γένη.
2 Forsan ἐπεὶ κατὰ τὸν κωμ. 3 Μασσούριος h. l. edd.

Miraculum enim incredibile cerno, piscium cuncta genera circa promontorium ludentia, gobios, sparos, passeres, erythinos, mugiles, percas, asellos, thunnos, melanuros, sepias, aulopias, mullos, eledonas, scorpios: —

ut est apud Heniochum in Curioso. Oportet igitur me quoque, quod monebat Metagenes, *patientem esse;* recte enim idem adiicit comicus,

Optimum esse augurium, decertare pro coena.

101. Ibi cum ille tacuisset, Masurius inquit: Quoniam supersunt nonnulla ex disputatione de SERVIS, conferam & ego *aliquod carmen in amorem* sapienti amicissimoque Democrito. Philippus Theangelensis, in libro DE Caribus & Lelegibus, postquam Lacedaemoniorum

νίων εἵλωτας, [1] καὶ τοὺς Θετταλικοὺς πενέστας· καὶ Κᾶρας, φησὶ, τοῖς Λέλεξιν ὡς οἰκέταις χρήσασθαι πάλαι τε καὶ νῦν. Φύλαρχος δ', ἐν ἕκτῃ Ἱστοριῶν·
c καὶ Βυζαντίους, φησὶν, οὕτω Βιθυνῶν δεσπόσαι, [2] ὡς Bithyni.
Λακεδαιμονίους τῶν εἱλώτων. Περὶ δὲ τῶν παρὰ Λακεδαιμονίοις ἐπευνάκτων καλουμένων (δοῦλοι δ' εἰσὶ Epeunacti.
καὶ οὗτοι) σαφῶς ἐκτίθεται Θεόπομπος διὰ τῆς δευτέρας καὶ τριακοστῆς τῶν Ἱστοριῶν, λέγων οὕτως·
„Ἀποθανόντων πολλῶν Λακεδαιμονίων ἐν τῷ πρὸς Μεσσηνίους πολέμῳ, οἱ περιλειφθέντες εὐλαβηθέντες, μὴ καταφανεῖς γένωνται τοῖς ἐχθροῖς ἐρημωθέντες, ἀνεβίβασαν τῶν εἱλώτων ἐφ' ἑκάστην στιβάδα τῶν
d τετελευτηκότων τινάς. οὓς καὶ πολίτας ὕστερον ποιήσαντες, προσηγόρευσαν ἐπευνάκτους, ὅτι κατετάχθησαν ἀντὶ τῶν τετελευτηκότων εἰς τὰς στιβάδας." Ὁ δ' αὐτὸς ἱστορεῖ καὶν τῇ τριακοστῇ καὶ τρίτῃ τῶν Ἱστοριῶν, παρὰ Σικυωνίοις κατωνακοφό- Catonacophori.

1 εἵλωτας h. l. edd. 2 δεσπότας edd.

Hilotas commemoravit, & Theſſalicos Peneſtas: Caras etiam *Lelegibus*, ait, ut ſervis & olim uſos eſſe, atque etiam nunc uti. Phylarchus vero ſexto Hiſtoriarum libro ſcribit, Byzantios ita *Bithynorum* dominos eſſe, ut Hilotarum Lacedaemonios. De *Epeunactis* vero qui vocantur apud Lacedaemonios (ſunt autem & hi, ſervorum genus) perſpicue Theopompus diſſerit ſecundo & trigeſimo Hiſtoriarum libro, ubi ait: »Quum multi periiſſent Lacedaemoniorum in bello cum Meſſeniis, veriti ſuperſtites ne eo ſolitudinis ſe redactos cognoſcerent hoſtes, in ſingula eorum qui obierant ſtrata Hilotas aliquot traduxerunt: quos deinde etiam civitate donatos, *Epeunactos* vocarunt, quoniam loco mortuorum in ſtrata ipſorum fuiſſent transducti.« Narrat vero idem tertio & trigeſimo Hiſtoriarum libro, apud Sicyonios *catonaco-*

ρους [1] καλεῖσθαι δούλους τινὰς, παραπλησίους ὄντας τοῖς ἐπευνάκτοις. τὰ παραπλήσια ἱστορεῖ καὶ Μέναιχμος ἐν τοῖς Σικυωνιακοῖς, κατωνακοφόρους καλεῖσθαι δούλους τινὰς, παραπλησίους ὄντας τοῖς ἐπευνάκτοις. Ἔτι Θεόπομπος ἐν τῇ δευτέρᾳ τῶν Φιλιππικῶν, Ἀρκαδίους [2] φησὶ κεκτῆσθαι προσπελατῶν, ε ὥσπερ εἱλώτων, τριάκοντα μυριάδας.

CII.

Mothaces apud Lacedaemonios:

Οἱ δὲ μόθακες καλούμενοι παρὰ Λακεδαιμονίοις, ἐλεύθεροι μέν εἰσιν, οὐ μὴν Λακεδαιμόνιοι. λέγει δὲ περὶ αὐτῶν Φύλαρχος ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν οὕτως· „Εἰσὶ δ' οἱ μόθακες σύντροφοι τῶν Λακεδαιμονίων. ἕκαστος γὰρ τῶν πολιτικῶν παίδων, [3] ὡς ἂν καὶ τὰ ἴδια ἐκποιῶσιν, οἱ μὲν ἕνα, οἱ δὲ δύο, τινὲς δὲ πλείους ποιοῦνται συντρόφους αὐτῶν. εἰσὶν οὖν οἱ μόθακες ἐλεύθεροι μὲν, οὐ μὴν Λα-

1 καταναξοφόρους vulgo, & sic mox iterum. 2 Ἄρκαδας h. l. ms. *Ep.* Alibi vero Ἀριαῖοι vocantur, ubi Ἀρδιαῖοι corr. Caſ. Unde & h. l. Ἀρδιαίους forte legendum. 3 τῶν πολιτῶν παῖδας edd. Intercidiſſe nonnihil videtur.

phoros nominari ſervos quosdam, ſimiles epeunactis. Paria refert Menaechmus in Sicyoniacis: catonacophoros vocari ſervos quosdam, ſimiles epeunactis. Rurſus Theopompus, ſecundo libro Philippicorum, Arcadios [*ſive*, Ardiaeos] ait poſſidere Prospelatarum, veluti Hilotarum, triginta myriadas.

102. Qui vero *Mothaces* apud Lacedaemonios vocantur, liberi quidem ſunt homines, at non item cives Lacedaemonii. De his Phylarchus, quinto & viceſimo Hiſtoriarum libro, haec ſcribit: »Sunt autem *Mothaces* coalumni Lacedaemoniorum. Quilibet enim ex filiis civium, [*ſive*, Quilibet enim ex civibus pueros,] prout fert res eorum familiaris, alii unum, alii duo, nonnulli etiam plures coalumnos ſibi adſciſcunt. Sunt igitur Mothaces, liberi quidem; ſed non cives Lacedaemonii:

f κεδαιμόνιοι· μετέχουσι δὲ τῆς παιδείας πάσης. Τούτων ἕνα φασὶ γενέσθαι καὶ Λύσανδρον τὸν καταναυμαχήσαντα τοὺς Ἀθηναίους, πολίτην γενόμενον δι' ἀνδραγαθίαν." Μύρων δὲ ὁ Πριηνεὺς, ἐν δευτέρῳ Μεσσηνιακῶν· „Πολλάκις, φησὶν, ἠλευθέρωσαν Λακεδαιμόνιοι δούλους· καὶ οὓς μὲν ἀφέτας ἐκάλεσαν, οὓς δὲ ἀδεσπότους, οὓς δὲ ἐρυκτῆρας, δεσποσιοναύτας ἄλλους, οὓς εἰς τοὺς στόλους κατέταξαν· ἄλλους δὲ νεοδαμώδεις, ἑτέρους ὄντας τῶν εἱλώτων." Θεόπομπος a δ', ἐν ἑβδόμῳ Ἑλληνικῶν, περὶ τῶν εἱλώτων λέγων, ὅτι καὶ Ἐλεάται καλοῦνται, γράφει οὕτως· „Τὸ δὲ τῶν Εἱλώτων ἔθνος, παντάπασιν ὠμῶς διάκειται καὶ πικρῶς. εἰσὶ γὰρ οὗτοι καταδεδουλωμένοι πολὺν ἤδη χρόνον ὑπὸ τῶν Σπαρτιατῶν· οἱ μὲν αὐτῶν ἐκ Μεσσήνης [1] ὄντες· οἱ δὲ Ἐλεάται, κατοικοῦντες πρότερον τὸ καλούμενον Ἕλος τῆς Λακωνικῆς."

quorum de genere Lyſander.

1 Μεσήνης ms. *Ep.*

participes autem fiunt univerſae inſtitutionis. Quorum unum fuiſſe aiunt *Lyſandrum*, eum qui Athenienſes navali proelio ſuperavit; eumdemque ob virtutem civitate donatum. « Myron vero Prienenſis, ſecundo libro Rerum Meſſeniacarum, ſcribit: »Saepius a Lacedaemoniis liberati ſunt ſervi: quorum alios *aphetas* nominarunt, alios vero *adeſpotos*, alios *eryctéras*, alios *deſpoſionautas*, quos in navium claſſes diſtribuerunt, alios *neodamodes*, qui diverſi ſunt ab Hilotibus.« Theopompus vero ſeptimo libro Rerum Graecarum, de Hilotibus loquens, fuiſſe etiam *Eleatas* nominatos ſcribit, his verbis: »Hilotum vero gens prorſus crudeliter & acerbe tractatur. Sunt autem hi a multo tempore in ſervitutem redacti a Spartiatis: & eorum alii quidem Meſſena ſunt oriundi; alii vero Eleates, qui olim *Helos* quod vocatur Laconiae (oppidum) incoluerant. «

CIII. Servorum multitudo apud Graecos.

Τίμαιος δ' ὁ Ταυρομενίτης, ἐκλαθόμενος ἑαυτοῦ, [1] (ἐλέγχει δ' αὐτὸν εἰς τοῦτο Πολύβιος ὁ Μεγαλοπολίτης διὰ τῆς δωδεκάτης τῶν Ἱστοριῶν,) οὐκ εἶναι, ἔφη, σύνηθες τοῖς Ἕλλησι δούλους κτᾶσθαι· b αὐτὸς εἰπὼν ὁ Ἐπιτίμαιος (οὕτως δ' αὐτὸν καλεῖ Ἴστρος ὁ Καλλιμάχιος [2] ἐν ταῖς Πρὸς αὐτὸν Ἀντιγραφαῖς) εἰπὼν γὰρ [3] ὅτι Μνάσων ὁ Φωκεὺς πλείους ἐκέκτητο δούλους τῶν χιλίων. καὶν τῇ τρίτῃ δὲ τῶν Ἱστοριῶν ὁ Ἐπιτίμαιος ἔφη, οὕτως εὐδαιμονῆσαι τὴν Κορινθίων πόλιν, ὡς κτήσασθαι δούλων μυριάδας ἓξ καὶ τεσσαράκοντα. δι' ἃς ἡγοῦμαι καὶ τὴν Πυθίαν αὐτοὺς κεκληκέναι χοινικομέτρας. Κτησικλῆς δ', ἐν τρίτῃ Χρονικῶν, [τῇ πεντε] καιδεκάτῃ [4] πρὸς ταῖς ἑκα- c τὸν, φησὶν, ὀλυμπιάδι [5] Ἀθήνησιν ἐξετασμὸν γενέσθαι ὑπὸ Δημητρίου τοῦ Φαληρέως τῶν κατοικούντων

1 αὐτοῦ ms. *A.* 2 Καλλιμάχειος ms. *Ep.* 3 εἰπὼν καὶ ὅτι ed. Baſ. & Caſ. 4 τῇ δεκάτῃ ed. Caſ. καὶ δεκάτῃ (absque τῇ πεντε) ed. Ven. & Baſ. cum ms. *A.* τῇ ἐκκαιδεκάτῃ malebat Caſaub. τῇ ὀκτωκαιδεκάτῃ Scalig. 5 ὀλυμπιάδα ms. *A.* Quare ſupra videtur debuiſſe κατὰ τὴν πεντεκαιδεκάτην.

103. Timaeus vero Tauromenita, ſui ipſius oblitus, (quo nomine eum etiam reprehendit Polybius Megalopolita duodecimo Hiſtoriarum libro) non eſſe uſitatum Graecis, inquit, poſſidere ſervos; cum tamen ipſe dixerit *Epitimaeus*, (ſic eumdem adpellat Iſter Callimachius in Contradictionibus adverſus eum editis) ipſe igitur cum dixerit, Mnaſeam Phocenſem ſervos poſſediſſe amplius mille. Idemque Epitimaeus tertio Hiſtoriarum libro dixerat, ita opulentam fuiſſe Corinthiorum civitatem, ut poſſideret ſervorum ſex & quadraginta myriadas. Quare etiam Pythiam puto *choenicometras* illos adpellaſſe. Creſicles vero, tertio libro Chronicorum ſcribit, Olympiade [quinta] & decima cum centeſima Athenis Demetrium Phalereum recenſum inſtituiſſe in-

τὴν Ἀττικήν· καὶ εὑρεθῆναι Ἀθηναίους μὲν δισμυρίους πρὸς τοῖς χιλίοις, μετοίκους δὲ μυρίους, οἰκετῶν δὲ μυριάδας τεσσαράκοντα. Νικίας δ' ὁ Νικηράτου, ὡς ὁ καλὸς ἔφη Ξενοφῶν ἐν τῷ Περὶ Πόρων, χιλίους ἔχων οἰκέτας ἐμίσθωσεν αὐτοὺς εἰς τὰ ἀργυρεῖα Σωσίᾳ τῷ Θρᾳκὶ, ἐφ' ᾧ ὀβολὸν ἕκαστον τελεῖν τῆς ἡμέρας. Ἀριστοτέλης δ' ἐν Αἰγινητῶν Πολιτείᾳ, καὶ παρὰ τούτοις, φησὶ, γενέσθαι ἑπτὰ καὶ τεσσαράκοντα μυριάδας δούλων. Ἀγαθαρχίδης δ' ὁ Κνίδιος, ἐν τῇ ὀγδόῃ καὶ τριακοστῇ τῶν Εὐρωπιακῶν, Δαρδανεῖς, φησὶ, δούλους κεκτῆσθαι, τὸν μὲν χιλίους, τὸν δὲ καὶ πλείους. τούτων δ' ἕκαστον ἐν μὲν εἰρήνῃ γεωργεῖν· ἐν πολέμῳ δὲ λοχίζεσθαι, ἡγεμόνα νέμοντας τὸν ἴδιον δεσπότην.

CIV. Apud Romanos.

Πρὸς ταῦτα ἀπαντήσας ὁ Λαρήνσιος, ἔφη· Ἀλλὰ Ῥωμαίων ἕκαστος, (οἶδας δ' ἀκριβῶς ταῦτα, ὦ

colarum Atticae: inventosque esse civium Atheniensium millia viginti & unum, inquilinorum millia decem, servorum quadraginta millia. Nicias vero, Niceratı filius, ut elegans Xenophon refert in libro de Reditibus, cum mille servos haberet, Sosiae Thraci eos elocavit ad fodinas argentarias, ea conditione, ut in singulos dies obolus ex eorum unoquoque rediret ad dominum. Aristoteles vero in Aeginetarum Republica scribit, fuisse apud hos septem & quadraginta servorum millia. Agatharchides Cnidius, octavo & trigesimo libro Rerum Europiacarum, Dardanos, ait, possidere servos, alium mille, alium etiam plures. Horum quemque pacis tempore colere agros; in bello vero centuriari, & arma ferre duce domino.

104. Ad haec reponens Larensius, ait: At Romanorum quilibet (tu ipse satis nosti, optime Masuri!) in-

καλὲ Μασούριε [1]) πλείστους ὅσους κεκτημένος οἰκέ- e
τας. καὶ γὰρ μυρίους καὶ δισμυρίους, καὶ ἔτι πλείους
δὲ πάμπολλοι κέκτηνται· οὐκ ἐπὶ προσόδοις δὲ, ὥσπερ
ὁ τῶν Ἑλλήνων ζάπλουτος Νικίας· ἀλλ' οἱ πλείους
τῶν Ῥωμαίων συμπροϊόντας ἔχουσι τοὺς πλείστους.
Καὶ αἱ πολλαὶ δὲ αὗται Ἀττικαὶ μυριάδες τῶν οἰκε-
τῶν δεδεμέναι εἰργάζοντο τὰ μέταλλα. Ποσειδώνιος
γοῦν, οὗ συνεχῶς μέμνησαι, ὁ Φιλόσοφος, καὶ ἀπο-
στάντας φησὶν αὐτοὺς καταφονεῦσαι μὲν τοὺς ἐπὶ
τῶν μετάλλων φύλακας· καταλαβέσθαι δὲ τὴν ἐπὶ f
Σουνίῳ ἀκρόπολιν, καὶ ἐπὶ πολὺν χρόνον πορθῆσαι τὴν
Bella Servilia. Ἀττικήν. Οὗτος δ' ἦν ὁ καιρὸς, ὅτε καὶ ἐν Σικελίᾳ
ἡ δευτέρα τῶν δούλων ἐπανάστασις ἐγένετο· πολλαὶ
δὲ αὗται ἐγένοντο, καὶ ἀπώλοντο οἰκετῶν ὑπὲρ τὰς
ἑκατὸν μυριάδας. Σύγγραμμά τε ἐκδέδωκε Περὶ τῶν
Δουλικῶν Πολέμων Καικίλιος ὁ ῥήτωρ ὁ ἀπὸ Καλῆς

1 Rurſus Μασσούριε edd.

finitam ſervorum alit multitudinem. Sunt enim multi admodum, qui decem millia, atque etiam viginti, quin & maiorem numerum poſſideant: & quidem non redituum cauſſa, ut ille Graecorum ditiſſimus Nicias; ſed plerique Romanorum, cum foras exeunt, maximum ſervorum numerum comites habent. Et multae illae quidem Atticorum ſervorum myriades in metallis vincti opus faciebant. Itaque Poſidonius philoſophus, quem tu adeo frequenter commemoras, tradit rebellantes eos aliquando, interfectis metallorum praefectis, Sunii arcem occupaſſe, & multo tempore devaſtaſſe Atticam. Accidit id per idem tempus, quo in Sicilia altera ſervorum defectio concitata eſt. Multae vero eorum ſeditiones tumultusque fuere, in quibus perierunt ſervorum ultra decies centena millia. Quibus de Bellis Servilibus librum edidit Caecilius rhetor Calactinus. Atque etiam

ἀκτῆς. Καὶ Σπάρτακος δὲ ὁ μονομάχος, ἐκ Καπύης πόλεως Ἰταλικῆς ἀποδρὰς κατὰ τὰ Μιθριδατικὰ, πολὺ πλῆθος ἀποστήσας οἰκετῶν (ἦν δὲ καὶ αὐτὸς οἰκέτης, Θρᾴξ τὸ γένος [1]) κατέδραμε πᾶσαν Ἰταλίαν
a χρόνον οὐκ ὀλίγον, πολλῶν δούλων καθ' ἑκάστην ἡμέραν συῤῥεόντων ὡς αὐτόν. καὶ εἰ μὴ ἀπέθανεν ἐν τῇ πρὸς Λικίννιον Κράσσον παρατάξει, οὐ τὸν τυχόντα ἂν ἱδρῶτα τοῖς ἡμεδαποῖς παρεσχήκει, ὡς ὁ κατὰ τὴν Σικελίαν Εὔνους.

CV. Scipionis frugalitas.

Σώφρονες δ' ἦσαν καὶ πάντα ἄριστοι οἱ ἀρχαῖοι Ῥωμαῖοι. Σκιπίων [2] γοῦν, ὁ Ἀφρικανὸς ἐπίκλην, ἐκπεμπόμενος ὑπὸ τῆς συγκλήτου ἐπὶ τὸ καταστήσασθαι τὰς κατὰ τὴν οἰκουμένην βασιλείας, ἵνα τοῖς προσήκουσιν ἐγχειρισθῶσιν, πέντε μόνους ἐπήγετο οἰ-
b κέτας, ὡς ἱστορεῖ Πολύβιος καὶ Ποσειδώνιος. καὶ ἑνὸς ἀποθανόντος κατὰ τὴν ὁδοιπορίαν, ἐπέστειλε τοῖς

1 Θρᾴξ γένος edd. absque artic. 2 Σκηπίων ed. Ven. cum msstis: & sic deinde.

Spartacus gladiator, tempore belli Mithridatici, ex Capua Italiae urbe profugus, magno servorum numero ad defectionem solicitato, (fuerat autem & ipse servus, Thrax genere) universam Italiam longo tempore vastavit, multis ad eum servis quotidie confluentibus. Qui nisi in pugna adversus Licinium Crassum pugnata cecidisset, haud parum sudoris hominibus nostris erat expressurus, quemadmodum in Sicilia fecit Eunus.

105. Moderati vero & omni virtutis genere excellentes fuerant veteres Romani. *Scipio* certe, cui *Africano* cognomen erat, cum a Senatu esset missus ad constituenda orbis terrarum regna, ut his traderentur ad quos iure pertinerent, nonnisi quinque servos secum habebat, ut narrat Polybius & Posidonius. E quibus cum unus in itinere esset mortuus, literis datis man-

οἰκείοις ἄλλον ἀντ' ἐκείνου πριαμένους πέμψαι αὐτῷ.

Iulii Caesaris moderatio.

Ἰούλιος δὲ Καῖσαρ, ὁ πρῶτος πάντων ἀνθρώπων περαιωθεὶς ἐπὶ τὰς Βρεττανίδας νήσους μετὰ χιλίων σκαφῶν, τρεῖς οἰκέτας τοὺς πάντας συνεπήγετο, ὡς Κόττας ἱστορεῖ, ὁ τότε ὑποστρατηγῶν αὐτῷ, ἐν τῷ Περὶ τῆς Ῥωμαίων Πολιτείας συγγράμματι, ὃ τῇ

Smindyrides Sybarita.

πατρίῳ ἡμῶν γέγραπται φωνῇ. Ἀλλ' οὐ Σμινδυρίδης ὁ Συβαρίτης τοιοῦτος, ὦ Ἕλληνες· ὃς, ἐπὶ τὸν Ἀγαρόστης τῆς Κλεισθένους θυγατρὸς ἐξορμῶν γάμον, ὑπὸ χλιδῆς καὶ τρυφῆς χιλίους συνεπήγετο οἰκέτας, ἁλιεῖς καὶ ὀρνιθευτὰς καὶ μαγείρους. οὗτος δ' ὁ ἀνὴρ καὶ ἐνδείξασθαι βουλόμενος ὡς εὐδαιμόνως ἔζη, ὡς ἱστορεῖ Χαμαιλέων ὁ Ποντικὸς ἐν τῷ Περὶ Ἡδονῆς· (τὸ δ' αὐτὸ βιβλίον καὶ ὡς Θεοφράστου φέρεται) οὐκ, ἔφη, τὸν ἥλιον ἐτῶν εἴκοσιν οὔτ' ἀνατέλλοντα οὔτε δυόμενον ἑωρακέναι. καὶ τοῦτ' ἦν αὐτῷ μέγα καὶ

c

davit familiaribus, ut illius loco alium ſibi emerent mitterentque. *Iulius* vero *Caeſar*, qui primus omnium hominum in Britannicas inſulas cum mille navium claſſe traiecit, tres ſervos, non amplius, ſecum habebat; ut Cotta narrat, qui eius fuit legatus, in libro quem de Romanorum Republica patrio ſermone conſcripſit. At non talis *Smindyrides* fuit *Sybarita*, o Graeci! homo ita deditus luxuriae deliciisque, ut, cum ad nuptias proficiſceretur Agaroſtae, Cliſthenis filiae, mille ſecum duceret famulos, piſcatores, aucupes & coquos. Idem, declaraturus quam beatus viveret, ut Chamaeleon Ponticus tradit in libro DE Voluptate, (quem librum Theophraſto auctori tribuunt nonnulli) dicere ſolebat, *intra viginti annos ſe ſolem nec orientem vidiſſe, nec occidentem.* Hoc nempe ei magnum & admirabile erat ad vitam

θαυμαστὸν πρὸς εὐδαιμονίαν. οὗτος, ὡς ἔοικε, πρωὶ μὲν
ἐκάθευδεν, ὀψὲ δ' ἠγείρετο, καθ' ἀμφότερα δυστυχῶν.
d Ὁ δὲ Ποντικὸς Ἑστιαῖος καλῶς ἐκαυχᾶτο, μήτε
ἀνατέλλοντα, μήτε καταδυόμενον ποτὲ τὸν ἥλιον ἑω-
ρακέναι, διὰ τὸ παιδείᾳ παντὶ καιρῷ προσέχειν, ὡς
ὁ Νικαεὺς Νικίας ἱστορεῖ ἐν ταῖς Διαδοχαῖς.

CVI. Hostium bona instituta adoptant Romani.

Τί οὖν; οὐκ εἶχε καὶ Σκιπίων καὶ ὁ Καῖσαρ οἰ-
κέτας; Εἶχον· ἀλλ' ἐφύλασσον τοὺς πατρίους νόμους,
καὶ κεκολασμένως ἔζων, τηροῦντες τὰ τῆς πολιτείας
ἔθη. συνετῶν γάρ ἐστιν ἀνδρῶν, ἐμμένειν τοῖς παλαιοῖς
ξηλώμασιν, δι' ὧν στρατευόμενοι κατεστρέφοντο τοὺς
e ἄλλους· καὶ λαμβάνοντες ἅμα τοῖς δοριαλώτοις [1] καὶ
εἴ τι χρήσιμον καὶ καλὸν ὑπῆρχε παρ' ἐκείνοις εἰς μί-
μησιν. ὅπερ ἐν τοῖς πάλαι χρόνοις ἐποίουν οἱ Ῥωμαῖοι.
διαφυλάττοντες γὰρ ἅμα καὶ τὰ πάτρια, μετῆγον
παρὰ τῶν χειρωθέντων εἴ τι λείψανον καλῆς ἀσκήσεως

1 δορυαλώτοις edd.

beatam momentum. Hic, ut videtur, mane cubitum ibat, ſera vero veſpera expergiſcebat; utrimque infelix. *Heſtiaeus* vero *Ponticus* honeſte gloriari poterat, *ſe neque orientem neque occidentem ſolem vidiſſe umquam*; quia nimirum literarum ſtudiis omni tempore incubuiſſet, ut Nicias Nicenus refert in Succeſſionibus.

106. Quid ergo? Scipio & Caeſar nonne ſervos habuere? Habuere: ſed patrias leges obſervarunt, & moderate vixerunt, morum reipublicae tenaces. Eſt enim prudentium virorum, antiqua obſervare inſtituta ea, quibus bellum gerentes ſuperarunt alios; ita tamen, ut cum captivis ſimul, ſi quid utile & honeſti apud illos fuerit, id accipiant & imitentur. Atque hoc fecerunt priſcis temporibus Romani. Simul enim patria tenentes inſtituta, ſimul ab his quos bello ſubegerunt, ſi quas apud eos reliquias bonarum artium reperiſſent, ad ſe eas trans-

εὕρισκον, τὰ ἄχρηστα ἐκείνοις ἐῶντες, ὅπως μήδ' εἰς ἀνάκτησιν ὧν ἀπέβαλον ἐλθεῖν ποτε δυνηθῶσιν. Παρὰ γοῦν τῶν Ἑλλήνων μηχανὰς καὶ ὄργανα πολιορκητικὰ μαθόντες, τούτοις αὐτῶν περιεγένοντο· Φοινίκων τε τὰ ναυτικὰ εὑρόντων, τούτοις αὐτοὺς κατεναυμάχησαν. ἔλαβον δὲ καὶ παρὰ Τυρρηνῶν τὴν σταδίαν f
μάχην Φαλαγγηδὸν ἐπιόντων· [1] καὶ παρὰ Σαυνιτῶν δὲ ἔμαθον θυρεοῦ χρῆσιν, παρὰ δὲ Ἰβήρων, γαίσων. καὶ ἄλλα δὲ παρ' ἄλλων μαθόντες, ἄμεινον ἐπεξειργάσαντο. μιμησάμενοί τε κατὰ πάντα τὴν Λακεδαιμονίων πολιτείαν, διετήρησαν αὐτὴν [2] μᾶλλον ἢ ἐκεῖνοι. Νῦν δὲ τὴν ἐκλογὴν τῶν χρησίμων ποιούμενοι [3] παρὰ τῶν ἐναντίων, συναποφέρονται καὶ τὰ μοχθηρὰ ζηλώματα.

CVII. Πάτριος μὲν γὰρ ἦν αὐτοῖς, ὥς φησι Ποσειδώ- a
νιος, καρτερία, καὶ λιτὴ δίαιτα, καὶ τῶν ἄλλων τῶν

1 ἐπιόντα ms. *Epit.* 2 αὐτοὶ edd. 3 οὐ ποιούμενοι corrigit Cas.

tulerunt, inutilia illis relinquentes, ne umquam recuperare illi ea, quae amisissent, possent. A Graecis quidem cum opera instrumentaque expugnandarum urbium accepissent, his eisdem illos superarunt: cum nauticam artem Poeni invenissent, eâdem ipsos Romani bello navali devicerunt. Acceperant vero etiam a Thuscis stataria pugnam, qua densis ordinibus in hostem fit impetus; a Samnitibus scuti usum; ab Hispanis usum gaesi: aliaque ab aliis postquam didicerant, meliora ea ipsi effecerunt. Et quum omnibus in rebus Lacedaemoniorum imitati essent disciplinam; diutius eam, quam illi ipsi, conservarunt. Nostris vero diebus, dum utilia instituta ab hostibus adoptant, simul cum his prava etiam eorumdem studia reportant.

107. Patriae quidem enim illis erant hae virtutes, ut ait Posidonius, tolerantia laborum, & tenuitas victus,

ὑπὸ τὴν κτῆσιν ἀφελὴς καὶ ἀπερίεργος χρῆσις. ἔτι δὲ εὐσέβεια θαυμαστὴ περὶ τὸ δαιμόνιον, δικαιοσύνη τε, [1] καὶ πολλὴ τοῦ πλημμελεῖν εὐλάβεια πρὸς πάντας ἀνθρώπους, μετὰ τῆς κατὰ γεωργίαν ἀσκήσεως. Τοῦτο δ' ἔστιν ἐκ τῶν πατρίων θυσιῶν, ὧν ἐπιτελοῦμεν, ἰδεῖν. ὁδούς τε γὰρ πορευόμεθα τεταγμένας καὶ ὡρισμένας· καὶ τεταγμένα φέρομεν, καὶ λέγομεν ἐν b ταῖς εὐχαῖς, καὶ δρῶμεν ἐν ταῖς ἱερουργίαις· ἀφελῆ τε ταῦτα καὶ λιτά· καὶ οὐδὲν πλέον τῶν κατὰ φύσιν οὔτε ἠμφιεσμένοι καὶ περὶ τὰ σώματα ἔχοντες, οὔτε ἀπαρχόμενοι. [2] ἐσθῆτάς τε ἔχομεν καὶ ὑποδέσεις εὐτελεῖς, πίλους τε ταῖς κεφαλαῖς περικείμεθα προβατείων [3] δερμάτων δασεῖς, κεράμεα δὲ καὶ χαλκᾶ τὰ διακονήματα κομίζομεν· κἂν τούτοις βρωτὰ καὶ ποτὰ πάντων ἀπεριεργότατα· ἄτοπον ἡγούμενοι, τοῖς μὲν

Prisca Romanorum moderatio.

1 δικαιοσύνη δὲ καὶ edd. 2 ἀπερχόμενοι edd. 3 προβατίων edd.

& in omnibus rebus, quas possiderent, in earumque usu simplicitas quaedam, ab omni nimia aut curiosiore diligentia abhorrens. Ad haec mira adversus Deum pietas, & iustitia, & ne quid adversus homines quoscumque peccarent diligens cautio, cum agriculturae studio ac labore. Intelligere hoc quidem ex patriis sacris, quae peragimus, licet. Nam in his peragendis & vias conficimus statutas definitasque; &, quae offerimus, quae in precibus verba fundimus, quae facimus, statuta sunt & definita omnia. Sunt autem cuncta haec simplicia & tenuia: neque enim vel in amictu vel in reliquo corporis cultu, neque in eis ipsis quae Diis offerimus, modum naturae excedimus. Nam vestibus utimur & calceis vilibus; & pileos capitibus imponimus ex ovium pellibus hirtos; & fictilia atque aenea vasa ferimus, quibus ad ministerium utimur: & his cibus potusque inest minime exquisitus; absurdum quippe repu-

θεοῖς πέμπειν κατὰ τὰ πάτρια, αὐτοῖς δὲ χορηγεῖν κατὰ τὰ ἐπείσακτα. καίτοι γε τὰ μὲν εἰς ἡμᾶς δαπανώμενα, τῇ χρείᾳ μετρεῖται· τὰ δ' εἰς τοὺς θεοὺς, c ἀπαρχαί τινές εἰσι.

CVIII. Fannia lex sumtuaria.

[1] Μούκιος γοῦν Σκευόλας τρίτος ἐν Ῥώμῃ τὸν Φάνιον [2] ἐτήρει νόμον, Κόϊντος Αἴλιος [3] Τουβέρων, καὶ Ῥούτιλιος Ῥοῦφος, ὁ τὴν πάτριον Ἱστορίαν γεγραφώς. Ἐκέλευε δ' ὁ νόμος, τριῶν μὲν πλείονας τῶν ἔξω τῆς οἰκίας μὴ ὑποδέχεσθαι· κατὰ ἀγορὰν δὲ τῶν πέντε. τοῦτο δὲ τρὶς τοῦ μηνὸς ἐγένετο. ὀψωνεῖν δὲ πλείονος τῶν δυεῖν δραχμῶν καὶ ἡμίσους, οὐκ ἐπέτρεπε. κρέως δὲ καπνιστοῦ δεκαπέντε τάλαντα δαπανᾶν εἰς τὸν ἐνιαυτὸν ἐπεχώρει, καὶ ὅσα γῆ φέρει λάχανα, καὶ ὀσπρίων ἐψήματα. Σμικρᾶς δὲ πάνυ τῆς δα- d

1 Intercidisse h. l. nonnulla videntur. 2 Rectius fuerat Φάννιον. 3 Vulgo Ναύτιος Καικίλιος Τουβ.

tamus, Diis quidem ea offerre quae patria instituta iubent, nobis ipsis autem ea adponenda curare quae sint nova & adscititia. Itaque, quae in nos impendimus, ea usus necessitate metimur: quae vero Diis offerimus, sunt eorum primitiae quaedam.

108. *Fanniam* quidem *legem* qui studiose observaverint, tres commemorantur nobiles Romae viri, *Mucius Scaevola*, *Q. Aelius Tubero*, & *Rutilius Rufus*, is qui patriam conscripsit Historiam. Scitum autem illa lege erat, ne praeter domesticos convivae plures tribus coena exciperentur: nundinarum autem diebus, (quae ter agebantur per mensem) ne plures quinque. Tum vetitum erat eadem lege, ne amplius duabus drachmis cum dimidia in obsonium impenderetur. Carnis fumo induratae quindecim talenta quotannis absumere licebat, & quae terra edit olera, coctaque legumina. Cum autem nimis exiguus ille sumtus esset, quoniam venalium re-

πάνης ὑπαρχούσης, διὰ τὸ τοὺς παρανομοῦντας καὶ ἀφειδῶς ἀναλίσκοντας ἀνατετιμηκέναι τὰ ὤνια, πρὸς τὸ ἐλευθεριώτερον νομίμως προήρχοντο. ὁ μὲν γὰρ Τουβέρων παρὰ τῶν ἐν τοῖς ἰδίοις ἀγροῖς, ὄρνιθας ὠνεῖτο δραχμιαίους. ὁ δὲ Ῥουτίλιος παρὰ τῶν ἁλιευόντων αὐτοῦ δούλων τριωβόλου τὴν μνᾶν τοῦ ὄψου, καὶ μάλιστα τοῦ Θουριανοῦ [1] καλουμένου. μέρος δέ ἐστι τοῦτο
e θαλασσίου κυνὸς, οὕτω καλούμενον. ὁ δὲ Μούκιος παρὰ τῶν εὐχρηστουμένων ὑπ' αὐτοῦ [2] πρὸς τὸν αὐτὸν τύπον ἐποιεῖτο τὴν διατίμησιν. Ἐκ τοσούτων οὖν μυριάδων ἀνθρώπων οὗτοι μόνοι τὸν νόμον ἐνόρκως ἐτήρουν, καὶ δῶρον οὐδὲ τὸ μικρότατον ἐδέχοντο· [3] οὗτοι δ' ἄλλοις ἐδίδοσαν, καὶ φίλοις τοῖς ἀπὸ παιδείας ὁρμωμένοις, μεγάλα. καὶ γὰρ ἀντείχοντο τῶν ἐκ τῆς Στοᾶς δογμάτων.

1 Θυριανοῦ mss. 2 Inferunt ὠνούμενος ed. Baſ. & Caſaub.
3 Forſan ἔδέχοντο οὗτοι. αὐτοὶ δ' ἄλλοις &c.

rum pretia, propter hos qui ſpretâ lege profuſiores ſumtus faciebant, multum fuerant adaucta, illi quos dixi viri ad liberaliorem quamdam rationem ſalva lege progreſſi ſunt. *Tubero* enim ab agrorum ſuorum villicis gallinas emebat ſingulis drachmis. *Rutilius* vero a ſervis ſuis piſcatoribus libram piſcium tribus obolis emebat; maxime *thuriani ſalſamenti*, quod vocamus: quod canis marini pulpamentum eſt. *Mucius* autem cum his, quos beneficiis ſibi devinctos habebat, ſimili ratione pretium rerum venalium erat pactus. Ex tot igitur hominum myriadibus hi ſoli erant, qui legem bona fide ſervarent. lidemque a nemine munus vel minimum accipiebant: ipſi vero in alios, in eos maxime qui ex eadem prodierant diſciplina, maxima munera conferebant. Erant autem Stoicae diſciplinae addicti.

CIX.

Lucullus luxuriam introducit.

Τῆς δὲ πολυτελείας τῆς νῦν ἀκμαζούσης πρῶτος ἡγεμὼν ἐγένετο Λεύκολλος, ὁ καταναυμαχήσας Μιθριδάτην, ὡς Νικόλαος ὁ Περιπατητικὸς ἱστορεῖ. ἀφικόμενος γὰρ εἰς τὴν Ῥώμην μετὰ τὴν ἧτταν τὴν Μιθριδάτου, ἔτι τε τὴν Τιγράνου τοῦ Ἀρμενίου, καὶ θριαμβεύσας, λόγον τε ἀποδοὺς τῶν τοῦ πολέμου πράξεων, ὤκειλεν [1] εἰς πολυτελῆ δίαιταν ἐκ τῆς παλαιᾶς σωφροσύνης, καὶ πρῶτος τρυφῆς εἰσηγητὴς Ῥωμαίοις [2] ἐγένετο, καρπωσάμενος δυοῖν [3] βασιλέων τῶν προειρημένων πλοῦτον. Κάτων δὲ ἐκεῖνος, ὡς Πολύβιος ἱστορεῖ ἐν τῇ πρώτῃ καὶ τριακοστῇ τῶν Ἱστοριῶν, ἐδυσχέραινε καὶ ἐκεκράγει, ὅτι τινὲς τὰς ξενικὰς τρυφὰς εἰσήγαγον εἰς τὴν Ῥώμην, τριακοσίων μὲν δραχμῶν κεράμιον ταρίχων Ποντικῶν ὠνησάμενοι, καὶ μειράκια δ' εὔμορφα ὑπερβαλλούσης ἀγρῶν τιμῆς. [4] „Πρότερον δὲ οὕτως ὀλιγοδεεῖς ἦσαν οἱ τὴν Ἰταλίαν κατοι-

f

a

1 ᾤκει μὲν editt. vett. cum ms. *A.* ἦκει μὲν ed. Caſ. 2 Ῥωμαίων ms. *Ep.* 3 δυεῖν mss. 4 ἀργυρίου τιμῆς corrigit Coray.

109. Luxuriae vero & magnificentiae, quae hac aetate obtinet, primus auctor *Lucullus* fuit, is qui Mithridatem navali proelio devicit, ut tradit Nicolaus Peripateticus. Nam poſtquam Romam rediiſſet, victo & Mithridate, & Tigrane Armeniae rege, triumphaſſetque, & rerum a ſe geſtarum rationem expoſuiſſet; ex antiqua moderatione in ſumtuoſam vivendi rationem eſt delapſus, & primus apud Romanos luxuriam invexit, cum duorum quos dixi regum opibus frueretur. Olim vero Cato ille, ut narrat Polybius Hiſtoriarum libro primo & trigeſimo, indignatus clamaverat, *eſſe nonnullos qui peregrinam luxuriam in urbem inveherent, trecentis drachmis doliolum ſalſamentorum Ponticorum ementes, & formoſos pueros maiori, quam quo agri veneant, pretio.* »Priſcis autem temporibus ita parce vivebant Italiae incolae, ut

κοῦντες, ὥστε καὶ καθ' ἡμᾶς ἔτι, φησὶν ὁ Ποσειδώνιος, οἱ σφόδρα εὐκαιρούμενοι τοῖς βίοις, ἦγον τοὺς υἱοὺς ὕδωρ μὲν ὡς τὸ πολὺ [1] πίνοντας, ἐσθίοντας δ' ὅ τι ἂν τύχῃ. καὶ πολλάκις, φησὶν, πατὴρ ἢ μήτηρ υἱὸν ἠρώτα, πότερον ἀπίους ἢ κάρυα βούλεται δειπνῆσαι· καὶ τούτων τι φαγὼν ἠρκεῖτο καὶ ἐκοιμᾶτο. "
b Νῦν δὲ, ὡς ὁ Θεόπομπος ἱστορεῖ ἐν τῇ πρώτῃ τῶν Φιλιππικῶν, οὐδείς ἐστι καὶ τῶν μετρίως εὐπορουμένων, ὅστις οὐ πολυτελῆ μὲν τράπεζαν παρατίθεται, μαγείρους δὲ καὶ θεραπείαν ἄλλην πολλὴν κέκτηται, καὶ πλείω δαπανᾷ τὰ καθ' ἡμέραν, ἢ πρότερον ἐν ταῖς ἑορταῖς καὶ ταῖς θυσίαις ἀνήλισκον.

Ἐπεὶ δὲ εἰς ἱκανὸν μῆκος προὔβη τὰ τῶν ἀπομνημονευθέντων, αὐτοῦ καταπαύσωμεν τὸν λόγον.

1 ὡς ἐπιτοπολὺ ed. Baſ. & Caſ.

noſtra etiam aetate (ait Poſidonius) homines admodum opulenti filios ſuos adſuefecerint aquam utplurimum bibere, & cibo uti viliſſimo. Saepe quidem (inquit) pater aut mater interrogabat filium, *utrum pyris an nucibus vellet veſci?* Et hac ille coena contentus, cubitum ibat. « At nunc, quod (de ſua aetate loquens) Theopompus ait Philippicorum libro primo, nemo eſt, etiam ex his qui modicas opes poſſident, quin ſumtuoſam ſibi adponi menſam curet, & coquos & magnum aliorum ſibi miniſtrantium numerum alat, & ſingulis diebus maiores ſumtus faciat, quam olim feſtis diebus ad ſacrificia impendebantur.

Sed quoniam, quae adhuc diſputata ſunt, iuſtam menſuram complent, finem huic libro hîc imponamus.

SERIES TITULORUM
LIBRI QUARTI
quales in superioribus Editionibus exhibentur.

		PAG. ed. Caſ.	CAP. ed. noſtr.
Καράνου δεῖπνον.	*Carani nuptiale epulum.*	128. c	2
Δεῖπνον Κότυος.	*Cotyis convivium, filiae ſuae nuptias cum Iphicrate celebrantis.*	131. a	7
Δεῖπνον Ἀττικόν.	*Attica coena.*	131. f	8
Διάφορα Συμπόσια.	*Coenae diverſae.*	132. c	*ib. & ſq.*
Ἀναστοματικά.	*Appetentiam irritantia.*	133. a	10
Ὄρχησις συμποτῶν.	*Compotantium ſaltatio.*	134. a	12
Παρῳδία.	*Parodia.*	134. d	13
Λακεδαιμονίων δίαιτα.	*Laconica Convivia.*	138. b	15
Λακεδαιμονίων Καρνεῖα.	*Lacedaemoniorum Carnea.*	141. e	19
Δίαιτα Λακεδαιμονίων.	*Lacedaemoniorum diaeta ac frugalitas.*	141. f	20
Κρητῶν δίαιτα.	*Cretenſium Syſſitia.*	143. a	22
Περσῶν δίαιτα.	*Perſarum luxuria, & Graecorum frugalitas.*	143. f	23
Δεῖπνον Φιλοξένου.	*Philoxeni Coena.*	146. f	28
Κλεοπάτρας δεῖπνον.	*Coena Cleopatrae.*	147. e	29
Ἀρκαδικὸν δεῖπνον.	*Arcadica coena.*	148. f	31
Ναυκρατιτῶν δεῖπνον·	*Naucratitarum coena.*	149. d	32
καὶ Αἰγυπτίων·	*Cocnae Aegyptiacae.*	150. b	33
καὶ Γαλατῶν·	*Gallorum coenae.*	150. d	34

		PAG. ed. Caſ.	CAP. ed. noſtr.
Θρᾳκῶν·	*Thracum coena.*	150. f	35
Κελτῶν·	*Celtarum coena.*	151. e	36
Πάρθων·	*Parthorum coena.*	152. f	38
Ῥωμαίων·	*Romanorum coena.*	153. c	*ib.*
Γερμανῶν.	*Germanorum coena.*	153. e	39
Μονομαχία καὶ ὄρχησις.	*Monomachia ac ſaltatio.*	154. a	40
Βρόχος.	*Suſpendii luſus.*	155. e	42
Κυνικὸν δεῖπνον.	*Cynica coena.*	156. c	44
Φακῆ.	*Lenticula.*	156. d	*ib.*
Φιλαργυρίας διαβολή.	*Avaritiae vituperatio.*	159. a	49
Φακῆ.	*Lenticula.*	159. e	50
δίαιτα Πυθαγόρειος.	*Pythagorica frugalitas.*	160. f	52
διασυρτικὰ Φιλοσόφων.	*Philoſophorum obtrectatio.*	161. f	53
Ἡδυλόγοι καὶ ἄσωτοι.	*Suaviloquentes & lurcones.*	164. e	58
Μαγειρικὰ σκεύη.	*Vaſa culinaria.*	169. b	68
Ἡδύσματα.	*Condimenta.*	170. a	69
Τραπεζοποιοί.	*Menſarum ſtructores.*	170. d	70
Δήλιοι, μάγειροι.	*Delii, coqui.*	172. f	73
Δελφοὶ, καρυκοποιοί.	*Delphi, conditores.*	173. c	74
Ὄργανα μουσικά.	*Inſtrumenta muſica.*	174. a	75
περὶ τοῦ, Αὐτόματος δέ οἱ ἦλθε.	*De verſu,* Ultro vero bonus ad illum venit Menelaus.	177. c	4
Μενέλαος, οὐ μαλακός.	*Menelaus non mollis fuit.*	178. a	5
κοσμιότης Ὁμηρικοῦ δαιτομόνος.	*Modeſtia convivarum Homericorum.*	179. a	6
Συμπόσιον Ὁμηρικοῦ Μενελάου.	*Convivium Homerici Menelai.*	180. c	9
Μουσικὴ Ἀλεξανδρέων.	*Alexandrinorum Muſica.*	183. d	81
σπουδὴ τῶν παλαιῶν περὶ τὴν Μουσικήν.	*Priſcorum ſtudium in Muſica.*	184. c	84

TITULI LIBRI QUINTI.

		PAG. ed. Caſ.	CAP. ed. noſtr.
Παλαιοὶ συνδειπνοῦντες.	*Antiqui Convivatores.*	185. a	1
Συμπόσιον Ὁμηρικὸν καὶ Πλατωνικόν.	*Convivium Homericum & Platonicum.*	186. d	3
Ξενοφῶντος συμπόσιον.	*Convivium Xenophontis.*	187. f	13
Αὐλή.	*Aula, ſive Atrium.*	189. b	15
Μενελάου συμπόσιον.	*Menelai convivium.*	190. a	16
Πλάτωνος καὶ Ὁμήρου συμπόσιον.	*Platonis & Homeri convivium.*	192. a	18
Ἀντίοχος ὁ Ἐπιμανής.	*Antiochus Epimanes.*	193. c	21
Ἀντιόχου πομπεία.	*Antiochi Pompa.*	194. c	22
Φιλαδέλφου πομπή.	*Ptolemaei Philadelphi pompa.*	196. a	25
Φιλαδέλφου πλοῦτος.	*Philadelphi divitiae.*	203. c	36
Φιλοπάτορος ναῦς.	*Philopatoris Naves.*	203. e	37
Ἱέρωνος ναῦς.	*Navis Hieronis.*	206. d	40
Ἀντιγόνου τριήρης.	*Antigoni ſacra Triremis.*	209. e	44
Ἐγγυθήκη.	*Engytheca. Incitega.*	209. f	45
Ἀντιόχου συμπόσιον.	*Antiochi convivium.*	210. d	46
Ἀλεξάνδρου συμπόσιον.	*Alexandri convivium.*	211. a	47
Ἀθηνίων φιλόσοφος, τυραννήσας.	*Athenion philoſophus, tyrannidem exercens Athenis.*	211. d	*ib.*
Ἀπελλικῶν.	*Apellicon Teius.*	214. d	53
Σωκράτους ψευδοστρατείαι.	*Falſa opinio de militia Socratis.*	215. c	55
Ξενοφῶν παρὰ τοὺς χρόνους ἁμαρτάνων.	*Xenophon contra temporum rationes peccat.*	216. c	56
Πλάτων παρὰ τοὺς χρόνους ἁμαρτάνων.	*Plato contra temporum rationes peccat.*	217. c	57

		PAG. ed. Caſ.	CAP. ed. noſtr.
Σωκράτης.	*Socrates.*	218. e	60
Φιλόσοφοι κακηγόροι.	*Philoſophi maledici.*	220. a	62
Γοργών.	*Gorgon.*	221. b	64
Ὀπισθονόμοι βοῦς.	*Opiſthonomi boves.*	221. e	*ib.*
κατὰ Γραμματικῶν.	*Adverſus Grammaticos.*	222. a	65

TITULI LIBRI SEXTI.

Τραγῳδία.	*Tragoedia.*	222. a	1
Ἀποδοῦναι, καὶ Δοῦναι.	*Reddere, & Dare.*	223. d	3
Ἰχθυοπῶλαι.	*Piſcium venditores.*	224. c	4
Πίναξ.	*Lanx.*	228. c	13
Τήγανον.	*Sartago.*	228. e	14
Ἀργυρώματα.	*Argentea vaſa.*	229. b	15
σπάνις Χρυσοῦ.	*Auri raritas.*	231. b	19
Γαλάται Βρέννου.	*Galli cum Brenno.*	234. b	25
Παράσιτοι.	*Paraſiti.*	234. c	26
Κόλακες.	*Adulatores.*	248. c	53
Φιλοκόλακες.	*Adulatoribus quinam ſint delectati.*	259. f	76
Φιλογέλωτες.	*Ridiculis qui delectati fuerint.*	261. b	78
Ἀλαζών.	*Oſtentator & arrogans.*	261. f	80
Δοῦλοι.	*Servi.*	262. b	81
Ἀγαθὰ αὐτόματα.	*Bona ſponte ſua prodeuntia.*	267. e	94
Κυνικὸς πεινῶν.	*Cynicus eſuriens.*	270. b	99
Δούλων πλῆθος.	*Servorum multitudo.*	271. d	101
Ῥωμαίων ἐγκώμιον.	*Romanorum encomium.*	273. a	105

21452
Athenaeus Naucratita
Deipnosophistarum libri XV; with Latin version of Casaubon; ed. by Schweighäuser. Vol.2.
LGr
A866S

University of Toronto Library

DO NOT REMOVE THE CARD FROM THIS POCKET

Acme Library Card Pocket
LOWE-MARTIN CO. LIMITED